Епископ Порфирий (Успенский)

ИСТОРИЯ АФОНА

ТОМ II

Духовная Академия



ЕПИСКОП ПОРФИРИЙ
(Успенский)

ИСТОРИЯ АФОНА

в 2-х томах

ТОМ II

МОСКВА
2007

ПО БЛАГОСЛОВЕНИЮ
Святейшего Патриарха Московского
и всея Руси
АЛЕКСИЯ II

ИНФОРМАЦИОННАЯ ПОДДЕРЖКА:
Интернет-портал
«Православная книга России»
www.pravkniga.ru

Научный редактор: к.и.н. П.В. Кузенков

Еп. Порфирий (Успенский)

История Афона. Том II. — М.: Издательство «ДАРЪ», 2007. — 656 с.

ISBN 978-5-485-00114-8
ISBN 978-5-485-00115-5

Во второй том «Истории Афона» еп. Порфирия (Успенского) включены *Оправдания* ко 2-му отделению 3-й части (репринт), в которых собраны тексты источников по истории монашеского Афона с начала XIII до середины XIX в., а также *Указатели* и *Приложения* ко всей книге, составленные специально для нового издания. Красочные иллюстрации дадут читателю возможность совершить небольшое путешествие по Святой Горе.

ISBN 978-5-485-00114-8
ISBN 978-5-485-00115-5

© Издательство «ДАРЪ», 2007

ИСТОРІЯ АѲОНА.

ЧАСТЬ III.

АѲОНЪ МОНАШЕСКІЙ.

Отдѣленіе второе.

II. Оправданія исторіи Аѳона.

(т. е. приложенія къ этому отдѣленію).

ИЗДАНІЕ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ

подъ редакціею П. А. Сырку.

Gens aeterna, in qua nemo nascitur.

Plinius.

ОПРАВДАНІЯ

ИСТОРІИ АѲОНА МОНАШЕСКАГО.

Ν

Περὶ διαφορᾶς καὶ καταστάσεως ἡσυχιῶν *).

Εἰσὶ ἐν πάσαις ταῖς τῶν ἐπιστημῶν καταστάσεσιν, ὃ καὶ πᾶσι γνώριμον, γνωμῶν καὶ βουλῶν διαφοραί· οὐ γὰρ πάντων πάντα τὰ τέλη δι' ἔνδειαν σπουδῆς καὶ ἀπορίαν δυνάμεως. — Εἰσὶν οὖν οἱ ἐπὶ τὸν βυθὸν τοῦτον εἰσερχόμενοι

(Τάξεις ὀκτώ· αἱ μὲν ἑπτὰ τοῦ ἑβδόμου αἰῶνος,
ἡ δὲ ὀγδόη τοῦ ὀγδόου).

1	2	3	4	5	6	7	8
οἱ μὲν ἐξ ἰδιορρυθμίας τῷ πληροῦν τὸ ἴδιον θέλημα,	οἱ δὲ διὰ φιλοδοξίαν,	δι' ασθένειαν γλώττης,	διὰ κράσεως θυμοῦ,	διὰ πλῆθος προσπαθείας,	ἵνα εὐθύνας τίσωσι,	ἵνα σπουδαῖοι γένωνται,	ἵνα πῦρ προσλάβωνται.

Ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. Δός μερίδα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ.

Ἐπιτηρεῖ ὁ ἐν ἡσυχίᾳ τὰς τῶν νοητῶν θηρίων ὥρας· πότε καὶ πῶς οἱ ἐξ ἐναντίας λογισμοὶ προσβαίνονται. χωρὶς γὰρ τοῦ εἰδέναι ταῦτα οὐ δυνήσῃ ἁρμο-

*) Русскій переводъ этой статьи смотри въ § 98 Исторіи Аѳона, стр. 212—215.

ζούσας παγίδας ἱστᾶν, κἀντεῦθεν τῶν θηρεύσεων ἀποτύχῃς. — Εἰ ἀπέστη ἀπὸ σοῦ ἀκηδία, περιττὸν τὸ ἐργόχειρον· δεῖ οὖν προσευχῇ ἀεννάῳ προσκεῖσθαι.

Ἔργα τῶν ἡσυχαζόντων τέσσαρα·

1	2	3	4
οἳ μὲν διὰ τὸ τὰ πάθη ἐλαττῶσαι,	οἳ δὲ τῇ ψαλμῳδίᾳ προσασχολεῖσθαι,	τῇ προσευχῇ προσκαρτερεῖν,	οἳ δὲ τῇ θεωρίᾳ προσανέχειν.
+	+	+	+
τῶν ἀρχομένων.	τῶν προκοπτόντων.	τῶν προκοψάντων.	τῶν τελείων.

Μηδεὶς ὑπὸ θυμοῦ καὶ οἰκείας ὑποκρίσεως καὶ μνησικακίας ὀχλούμενος ἴχνος ἡσυχίας ἰδεῖν τολμήσῃ ποτέ.

Διττὴ ἡ ἔκστασις,
ἢ πόλεμος πορνείας ἢ τόπων μετακίνησις.

Ἐπὶ τῆς ἡσυχίας ιβ στάδια καὶ σημεῖά εἰσι, καθὼς ιβ μακαρισμοί·

Φυλακὴ ἄσυλος.

1 Νοῦς ἀκύμαντος.	2 Ἡγνισμένη ἄγνοια.	3 Ἁρπαγὴ πρὸς Κύριον.	4 Κολάσεων παράστασις.
	5 Θανάτου ἐπίδειξις.	6 Προσευχὴ ἀκόρεστος. (Πορνείας τῆξις).	
7 Θάνατος κόσμῳ. (Προσπαθείας ἄγνοια).	8 Γαστριμαργίας ἀνορεξία.	9 Θεολογίας ὑπόθεσις.	10 Διακρίσεως πηγή.
	11 Δάκρυον ὑποσπονδον.	12 Πολυλογίας ἀπώλεια	

Αὕτη τοῦ πλούτους ἡ πενία τῶν μὴ μετὰ λόγου ταύτην μετερχομένων αὖθις. Πλοῦτος μὲν τῶν μετὰ λόγου, πενία δὲ τῶν μὴ μετὰ λόγου.

Δ.

Ὀργῆς αὔξησις. Μνησικακίας ἀποθήκη. Ἀγάπης μείωσις. Τύφου πρόσληψις.

Τῶν δὲ νομίμως καὶ ἀμοιχεύτως τῇ κοσμίᾳ ταύτῃ καὶ εὐπρεπείᾳ συζευχθέντων ταῦτα τεκμήριά εἰσιν, ἰδίῳ μέντοι καιρῷ τελούμενα, πλὴν ὅτι καθ' ἡμέραν ἐπεκτεινόμενα προσθήκην καὶ προκοπὴν προσλαμβάνουσιν ἐν κοινοβίῳ.

Ταπεινώσεως εἰσαγωγῆς αὔξησις.	Θυμοῦ μείωσις.	Σκοτισμοῦ ἔλλειψις.	Ἀγάπης πρόσληψις.
Παθῶν ἀλλοτρίωσις.	Μίσους λύτρωσις.	Ἐξ ἐλέγχου λαγνείας μείωσις.	Ἀκηδίας ἄγνοια.
Σπουδῆς προσθήκη.	Συμπαθείας ἀγάπη.	Ὑπερηφανίας ξ.....	

Ταῦτα πάντα, τοῦ θυμοῦ τὴν μείωσιν καὶ τῆς ἀγάπης τὴν πρόσληψιν, ὁ μὴ ἔχων οὐχ ὑποτακτικός ἐστι.

Ὀκτὼ τῆς κακίας γενικοὶ λογισμοί·

1 Ὁ τῆς γαστριμαργίας. 2 Ὁ τῆς πορνείας. 3 Ὁ τῆς φιλαργυρίας.

Οἱ τρεῖς τῶν ὑποτακτικῶν.

4 Ὁ τῆς ὀργῆς. 5 Ὁ τῆς λύπης. 6 Ὁ τῆς ἀκηδίας.

7 Ὁ τῆς κενοδοξίας. 8 Ὁ τῆς ὑπερηφανίας.

Οἱ δὲ πέντε τῶν ἡσυχαστῶν.

Ὁ διὰ πνεύματος ἁγίου γαλήνην κτησάμενος μόνος οὐκ ἀγνοεῖ τὸ θεώρημα.

Ἔργον ἡσυχίας προηγούμενον ἀμεριμνία πάντων πραγμάτων εὐλόγων ἢ ἀλόγων. Ὄψιν τοῖς προτέροις ἀνοίγων, τοῖς δευτέροις ὑποπεσεῖται *). Ὥσπερ ἀδύνατον τὸν μὴ γράμματα μεμαθηκότα μελετᾶν γραφάς, οὕτως ἀδυνατώτερον μετελθεῖν τοὺς μὴ ἀμεριμνίαν κτησαμένους τὴν ἄοκνον προσευχὴν καὶ τὴν ἄσυλον ἐργασίαν τῆς καρδίας. Αὗταί εἰσιν αἱ τρεῖς τάξεις τῶν ἡσυχαστῶν, μέση δὲ ἡ προσευχή· «μετερχόμενος τὸ μέσον ἐν μέσοις γέγονα, καὶ ἐφώτιζέ με διψῶντα».

Κατὰ τὸ μέτρον ἀρετῶν μετροῦμεθα, καὶ πρὸς τὰς ἀνόδους τῶν γνώσεων, ὡς οἱ νεοττοὶ πτεροφυοῦν.

*) Μικρὰ θρίξ ταράσσει ὀφθαλμόν· καὶ μικρὰ φροντὶς ἀφανίζει ἡσυχίαν.

Οἱ δὲ βαθμοί εἰσι τέσσαρες κατὰ τὴν νοητὴν πτεροφυΐαν.

Ὁ μὲν τῶν πολιτικῶν, ὧν τέλος ἡ μετριοπάθεια.	Ὁ δὲ τῶν καθαρτικῶν, ὧν τέλος ἡ ἀποχὴ τοῦ σώματος καὶ τὸ πρὸς τὰ πάθη ἀνέγκλιτον.	Ὁ δὲ νοερός.	Ὁ δὲ παραδειγματικός.
Πρὸς ταῦτα καὶ αἱ γνώσεις τῶν ὄντων συνδιηρήσθωσαν.			
		Νοεραί.	
Πρακτικαί.	Θεωρητικαί.	Μέσαι.	Πε....τικαί.

Δυνάμεθα τὸν θεὸν καθορᾶν μόνον ἐν συμβόλοις τισὶ καὶ αἰνίγμασι· ποτὲ γὰρ ἀλλοιοῦται ἡ ὄψις καὶ αὖθις ἀέριος καὶ πάλιν αἰθέριος, καὶ νῦν μὲν ἠλεκτρώδης καὶ ἐπὶ φλογίνου ὀχήματος, νῦν δὲ ὡς εἶδος τοῦ Βεζὲκ ἢ ἀστραπῆς, καὶ νῦν μὲν Γὲλ ἢ τροχῷ ἐοικώς, νῦν δὲ δὶς τοῦτο, ἤτοι κύκλοις ἐπιπλεγμένοις. Θαυμάζουσί τινες οἱ ἐν τούτῳ τρυφῶντες· πῶς ὁ ἀσώματος καὶ ἀναφὴς ἡλιώδης θεωρεῖται, καὶ νῦν μὲν ἑστηκώς, νῦν δὲ καθεζόμενος καὶ ἐπ' ὀχήματος ἵππους ἡνιοχῶν, ὅθεν καὶ ἀκούει κατὰ τὴν ἰδίαν δύναμιν ὁράσεως· ἔτι γὰρ ἐχομένη ἡ ψυχὴ ὑπὸ τῆς ἀδαμιαίας ὀδμῆς οὐ δύναται θεωρεῖν αὐτὸν τὸν ἀληθήν, ἀλλ' ἐν αἰνίγματι, ὥσπερ ἡμετέρα ἡ αἰτία, καὶ οὐ τοῦ θεοῦ. Ἦτον δὲ καὶ αὐτοψίαι καὶ ἐποπτεῖαι καὶ καταυτοφάνειαι, καὶ μόνον.

Χαλεπὸν τὸν τῆς μεσημβρίας ἀποτινάξασθαι ὕπνον, ἐν ταῖς θεριναῖς ὥραις μάλιστα· τότε τὸ ἐργόχειρον δέσν. Ἔγνων τὸν τῆς ἀκηδίας δαίμονα προπαρασκεύαζοντα καὶ προοδοποιοῦντα τὸν τῆς πορνείας, ἵνα ἰσχυρῶς τὸ σῶμα ἐκλύσας καὶ τῷ ὕπνῳ βαπτίσας ἐργάσηται....

Ὅροι ἡσυχίας.

Ἡσυχία ἐστὶ ἀπόθεσις νοημάτων, ἄρνησις εὐλόγων φροντίδων, καταφρόνησις σαρκός.

Ὁ οὕτως τὴν ἡσυχίαν κτῆσαι βουλόμενος καὶ φροντίσι εὐνούμενος ὅμοιός ἐστι τῷ τοὺς ἑαυτοῦ πόδας ἰσχυρῶς πεδήσαντι καὶ ὀξέως βαδίζειν δοκιμάζοντι.—

Σπάνιοι οἱ τὴν κατὰ κόσμον φιλοσοφίαν εἰς ἄκρον πεπαιδευμένοι· ἐγὼ δὲ λέγω, σπανιώτεροι οἱ τὴν τῆς ἡσυχίας φιλοσοφίαν κατὰ Θεὸν ἐπιστάμενοι. Ὁ οὔπω Θεὸν γνοὺς εἰς ἡσυχίαν ἀδόκιμος καὶ πολλοὺς κινδύνους ὑφιστάμενος.—Ἡσυχία ἀπείρους ἀποπνίξει· ἄγευστοι γὰρ γλυκύτητος Θεοῦ ὑπάρχοντες εἰς μυρίας τροπὰς ἐκκλίνουσιν.

Ὁ προσευχῆς κάλλους ἀψάμενος φεύξεται ὄχλους ὡς ὁ ὄναγρος. — Ὁ τὰ πάθη περικείμενος καὶ διατρίβων ἐν ἐρήμῳ, τῇ μὲν πρωΐᾳ τοὺς τῆς κενοδοξίας καὶ ἐπιθυμίας δαίμονας, τῇ δὲ μεσημβρίᾳ τοὺς τῆς ἀκηδίας καὶ ὀργῆς καὶ λύπης, τῇ δὲ ἑσπέρᾳ τοὺς φιλοκόπρους καὶ τυράννους τῆς ἀθλίας γαστρός.

Ἡσυχία ἐστὶν ἀδιάστατος Θεῷ λατρεία καὶ παράστασις. Ἰησοῦ μνήμη ἑνωθήτω τῇ πνοῇ σου· καὶ τότε γνῶσις ἡσυχίας ὠφελεῖ.

Τύπος ἡσυχίας ἔστω σοὶ ὁ μέγας Ἀρσένιος.

Βίος ἡσυχαζόντων, μᾶλλον δὲ μοναζόντων, κατὰ συνείδησιν καὶ αἴσθησιν γινέσθω.

Ἡσυχαστής ἐστι ὁ μόνος μόνῳ προσλαλῶν τῷ Θεῷ καὶ διηνεκῶς αὐτῷ προσευχόμενος.

Μοναχὸς δὲ ὁ ἔξωθεν μὲν ταῖς ὕλαις καὶ τοῖς κοσμικοῖς πράγμασιν μονάζων, ἔσωθεν τοῖς τούτων διανοήμασι.

Ὁ ἡσυχίαν καταλαβὼν ἔγνω βυθὸν μυστηρίων.

Ἡσυχαστής ἐστιν ὁ τὸ ἀσώματον ἐν σωματικῷ οἴκῳ περιορίζειν φιλονεικῶν.

Ὁ μοναχὸς νήψεως δεῖται πολλῆς καὶ ἀμετεωρίστου νοός.

Монаху помогаетъ человѣкъ, исихасту ангелъ.

Κέλλα ἡσυχαστοῦ περιορισμὸς σώματος, ἔνδοθεν οἴκου γνῶσιν ἔχουσα.

Ἡσυχαστής ἐστι ὁ εἰπών· я сплю, а сердце мое бдитъ.

Κλῖμαξ χαρίτων ἡσυχίας ἐνθάδε.

Οἰκτρὸς μοναχὸς τοὔνομα Θεοφάνης
Πρῶτον προσευχὴ καθαρωτάτη πέλει,
Εἶτα δάκρυα θεῖα τὰ τῆς καρδίας,
θεωρία τε τῶν ἄνω μυστηρίων,
κἀντεῦθεν αὖθις εὐτελὴς τελειότης.

κλίμακα ἐκτίθημι θείων χαρίτων,
ἐξ ἧς πρόεισι καρδιακή τις θέρμη,
ἐφ' οἷς λογισμῶν παντοδαπῶν εἰρήνη,
ξένη μεθ' ἣν ἔλλαμψις ἀφράστῳ τρόπῳ
Πλάτος μὲν οὖν ἄπειρον ἡ βαθμὶς ἔχει,


ἣν πείρᾳ ἐγνώρισα τοῖς θεοφόροις.
μεθ' ἣν ἐνέργεια ξένη καὶ ἁγία.
ἐξ ἧς νοὸς κάθαρσις ἀναβλυστάνει,
ἄῤῥητος, ἐξ ἧς φωτισμοὶ τῆς καρδίας,
κἂν ἐξ ἑνός γε συμπεραίνηται στίχου.

10	τελειότης	Δεκὰς βαθμίδων θεία φιλοσοφία.
9	φωτισμοὶ καρδίας	Δεκὰς βαθμίδων καρπὸς πάντων βιβλίων
8	ἔλλαμψις ξένη	Δεκὰς βαθμίδων τὸ τέλειον δεικνύει.
7	θεωρία μυστηρίων	Δεκὰς βαθμίδων εἰς τὸν οὐρανὸν ἀνάγει.
6	κάθαρσις νοός	Δεκὰς βαθμίδων ποιεῖ Θεὸν εἰδέναι.
5	εἰρήνη λογισμῶν	
4	δάκρυα καρδιακά	
3	ἐνέργεια ἁγία	
2	θέρμη καρδίας	
1	προσευχὴ καθαρά	

Ὁ ἐν ἡσυχίᾳ ἀρχάριος τὸ νυχθήμερον

ἐν προσευχῇ, ἤτοι μνήμῃ Κυρίου Ἰησοῦ Χριστοῦ, ἐν ψαλμῳδίᾳ, ἐν ἀναγνώσει, • ἐν μνήμῃ τῶν ἁμαρτημάτων, κρίσεως, θανάτου, κολάσεων, ἐν ἐργοχείρῳ.

Ὁ ἀρχάριος ὀφείλει μὴ συνεχῶς ἐξέρχεσθαι τῆς ἑαυτοῦ κέλλης, ὁμιλιῶν καὶ θεωριῶν ἀπέχεσθαι πάντων.



Δίσκος μὲν ἡ ἀγάπη, φῶς δὲ ἡ ἐλπίς, ἀκτὶς δὲ ἡ πίστις· πάντα δὲ ἓν ἀπαύγασμα καὶ μία λαμπρότης.

Προσευχή ἐστι ἀνάβασις νοῦ πρὸς Θεόν, ἕνωσις ἀνθρώπων καὶ Θεοῦ, κατὰ τὴν ἐνέργειαν κόσμου σύστασις, Θεοῦ καταλλαγή, δακρύων μήτηρ καὶ φυγάτηρ, ἁμαρτημάτων ἱλασμός, πειρασμῶν γέφυρα, θλίψεων μεσότειχον, πολέμων θραῦσις, ἀγγέλων ἔργον, ἀσωμάτων πάντων τροφή, μένουσα εὐφροσύνη, ἀπέραντος ἐργασία, ἀρετῶν πηγή, χαρισμάτων πρόξενος, προκοπὴ ἀόρατος, τροφὴ ψυχῆς, νοῦ φωτισμός, ἀπογνώσεως πέλυξ, ἐλπίδος ἀπόδειξις, λύπης λύσις, πλοῦτος μοναχῶν, ἡσυχαστῶν θησαυρός, ἔσοπτρον προκοπῆς, μέτρων ἐμφάνεια, καταστάσεων δήλωσις, τῶν μελλόντων ἀποκάλυψις.

№ 1.

Bolland. Acta sanctorum. Septembris t. VIII. Vita s. Bartholomaei, pag. 821 et sqq.: Ὅτε καί τις τῶν ἐν ὑπεροχῇ καὶ λίαν ἀγγίζων τοῖς βασιλεῦσιν ἔν τε βουλῇ καὶ συνέσει, Βασίλειος τοὔνομα, τῇ ἐπωνυμίᾳ Καλιμερής, οὗτος θερμοτέραν τῶν ἄλλων τὴν ἀγάπην κεκτημένος πρὸς τὸν ὅσιον τοῦτον πατέρα, οὐκ ἀρκεσθεὶς ταῖς ἄλλαις εὐεργεσίαις, αἷς αὐτὸν φιλοτίμως ἐδεξιώσατο, ἔν τε πολυτίμοις πέπλοις καὶ λοιποῖς ἀναθήμασιν· ἀλλὰ καί τινα τούτοις προσθήκην ἐκ πολλῆς, ὡς ἔοικε, φιλοθείας ποιούμενος, καὶ ὅπερ εἰς τὸ Ἅγιον ὄρος ἐκέκτητο μοναστήριον, ἐπ' ὀνόματι τοῦ ἐν ἁγίοις πατέρος ἡμῶν καὶ οὐρανοφάντορος Βασιλείου, αὐτῷ ἐδωρήσατο, εὐεργετεῖσθαι μᾶλλον ἐκ τούτου ἢ εὐεργεσίαν παρέχειν μάλα εἰκότως οἰόμενος. Οὗπερ τὴν προστασίαν, ταῖς πολλαῖς ἐκείνου δυσωπηθεὶς ἱκετείαις, ὁ μέγας ἀναδεξάμενος, πολλῆς ὠφελείας τοῖς ἐν αὐτῷ ἀσκηταῖς ἐγένετο πρόξενος, λόγοις ὁμοῦ καὶ ἔργοις ῥυθμίσας αὐτοὺς πρὸς τὸ βέλτιον. — Ἐπεὶ δὲ ἔδει αὐτὸν ἐκεῖθεν ἐπανελθεῖν, ὡς ἂν μὴ ἐπὶ πολὺ τῆς ἐκείνου κηδεμονίας τὸ ἐνταῦθα λογικὸν αὐτοῦ ποιμνίον στερηθὲν ζημιωθείη τὰ μέγιστα, συναθροίσας τοὺς ἀδελφοὺς καὶ τὸν ἐν αὐτοῖς ἐν τῇ κατὰ Θεὸν πολιτείᾳ ἀπρωτεύοντα εἰσκαλεσάμενος, προστάτην τοῦτον τῶν ἐν τῇ μονῇ καθίστησιν ἀντ' αὐτοῦ, καὶ δὴ ἔμεινεν ἔκτοτε τὸ φροντιστήριον τοῦτο ὑποταττόμενον τῷ ἀοιδίμῳ τούτῳ πατέρι ἐπὶ χρόνον συχνόν. Διὸ καὶ μέχρις τῆς σήμερον, ὡς φασί, τὸ μοναστήριον τοῦ Καλαβροῦ παρὰ τοῖς ἐγχωρίοις ἐπονομάζεται.

Nota. Anna Comnena, l. 12, memorat Basilium Alexio carum, et urbis Constantinopolitanae praefectum, sed non addit cognomen Calimerae. Dubium ergo est, an ille sit Basilius Calimeres.

№ 2.

Въ 1858 году, 7 августа, я, мой живописецъ Николай Благовѣщенскій и руссиковскій монахъ Серафимъ (Комаровъ), мы до восхода солнца оправились изъ *Руссика* моремъ на лодкѣ въ подворье сего монастыря, находящееся у чела аѳонской высоты Мегаливи́глы и называемое по-просту Хроми́ца, а по дѣписаніямъ Хромаи́тисса, и съ помощію веселъ ѣхали туда пять часовъ близъ морскаго берега. На морѣ была тишь, въ воздухѣ свѣжесть, во мнѣ охота ознакомиться съ новымъ мѣстомъ на Аѳонѣ. Каково же оно? Это — ровная высь у вышеназванной высоты, индѣ вспаханная, индѣ лѣсистая, индѣ усаженная плодовитыми деревами. Тутъ Руссикъ въ 1849 году построилъ домъ съ двадцатью кельями для работниковъ и для монаховъ. Но онъ сгорѣлъ въ Пасху 1858 года. Близъ него, западнѣе, на холмѣ видѣнъ кусокъ алтаря древнѣйшей обители, созданной госпожею Хромаитиссою. Отсюда мы спустились къ морю и, на лодкѣ переѣхавши къ Ставролаккскому ущелію, ночевали тутъ въ Ватопедскомъ подворьѣ.


8. Пятница. — Утромъ я съ спутниками своими восходилъ на самое темя Мегаловиглійской высоты, и тутъ начертилъ карту Аѳона, начиная отъ сей высоты, до мѣстностей Хиландара и Зографа, по обѣ стороны моря. Начертанное мною пространство называется по-гречески Μέγας ζυγός, по нашему *Длинное перевѣсище*. Высота, на темени которой стоялъ я, есть звѣздчатый холмъ, со всѣхъ сторонъ обрывистый и покрытый зеленью. Я назвалъ его звѣздчатымъ по тому, что отъ него опускаются опушки, какъ бы лучи. На немъ нѣтъ никакого зданія. А у тропы, ведущей на самое темя его, взрыхлена земля дикими кабанами, которые водятся въ сосѣднихъ лѣсахъ.

Послѣ вечерни обозрѣны были мною развалины Франкокастра и начертанъ планъ ихъ. У сѣверозападнаго угла сей крѣпостцы цѣлехонекъ стоитъ широкій и приземистый, но короткій, мостъ каменный. По этому мосту Франки выходили и выѣзжали изъ своего логовища (12$\frac{11}{12}$ г.) грабить аѳонскіе монастыри и мучить неповинныхъ монаховъ.

9. Суббота. — Утромъ, въ пять часовъ, мы по тихому морю на лодкѣ своей подплыли къ сосѣдней съ Франкокастромъ Андроникової башнѣ и

осмотрѣли ее внутри и снаружи. Она высока и широка, но внутри пуста и необитаема, а снаружи хранитъ на себѣ два наидревнѣйшія изваянія мраморныя, какъ-то воззваніе къ Вакху IΩ и лики Діоскуровъ, Кастора и Поллукса. Это — единственные остатки стоявшаго тутъ еллинскаго города Саниса (Читай о нихъ въ моей Исторіи Аѳона, ч. I, § 10, стр. 21—22; § 36, стр. 67—84).

Противъ Андрониковой башнѣ, въ Эгейской пучинѣ высится небольшой островъ Мульяни. Туда мы ѣздили полюбопытствовать: что и что тамъ находится; а ѣхали на лодкѣ подъ парусомъ при ровномъ вѣтрѣ въ теченіи цѣлаго часа, хотя и казалось намъ, что отъ Аѳона до сего острова рукой подать. Предъ нимъ торчитъ изъ воды четыре раздѣльные островка. Ихъ называютъ *Тигáни*, то есть сковороды. Между первымъ и вторымъ островкомъ проходъ — глубокъ, а между остальными мелко. Эти островки пусты и безводны. На нихъ пасутся ватопедскіе кони. Прѣсную воду они пьютъ на большомъ островѣ, къ которому подплываютъ по морю и на которомъ эта влага тонкою струею вытекаетъ изъ холма у самаго берега. Называется она *агіáзма* св. Георгія, а на видъ чиста, на вкусъ же пріятна. Оставивъ ее, мы съ помощію паруса подплыли къ Ватопедскому метоху, находящемуся на западной части острова. Это — небольшой домъ, въ которомъ живетъ единственный обитатель острова Мульяни монахъ ватопедскій. Сей пустынникъ братски принялъ насъ подъ кровъ свой и угостилъ, чѣмъ только могъ угостить нежданныхъ гостей: и хлѣбомъ, и солью, и маслинами, и краснымъ виномъ. Онъ познакомилъ насъ съ древностями острова, и вопервыхъ, показалъ намъ у себя изваянный изъ бѣлаго мрамора маленькій образъ Венеры Уранiи, недавно найденный рыбаками въ морѣ, потомъ свелъ насъ на берегъ, что̀ за мысомъ, и тутъ подвелъ къ площадкѣ, обставленной съ трехъ сторонъ стѣнками. Думаю, что тутъ стояла статуя божка или богини, чтимая моряками, которые вступали на эту площадку чрезъ низменную дверь, уставленную между двумя мраморными столбиками. Одинъ изъ этихъ столбиковъ уцѣлѣлъ, но лежитъ на землѣ. Вотъ видъ его. Отсюда мы возвратились въ метохъ и отдохнули въ немъ. Послѣ отдыха я окинулъ своимъ взоромъ весь островъ, и на



возвышенной оконечности его, той, что зритъ къ западу и называется *Тригóна*, увидѣлъ три каменные столпа низменные. Не хотѣлось идти къ нимъ тѣмъ паче, что мульянійскій пустынникъ не зналъ ихъ значенія, да приближался и вечеръ. Минуло четыре часа по полудни. Нашъ челнъ спокойно перевезъ насъ въ Ставролаккскій метохъ. Тутъ мы ночевали.

10. Воскресенье.. — А въ часъ съ четвертью по полуночи отправились по морю въ Руссикъ, одолѣвая свои страхи отъ порывовъ вѣтра чтеніемъ и пѣніемъ утренней службы.

№ 3.

Ἐπὶ τῆς βασιλείας τοῦ Ἀσάνη κῦρ Ἰωάννου, τοῦ βασιλεύοντος κατὰ τὴν Ζαγορὰν καὶ κρατήσαντος καὶ πολλὰ τῶν Ῥωμαίων κάστρα, γέγονε καὶ ἡ ῥηθησομένη πρᾶξις.

Πατριαρχεῖον εἰς τὸν τόπον αὐτοῦ σπουδάσαντος γενέσθαι καὶ διὰ τοῦτο πολλὰ τὴν ἐκκλησίαν καταναγκάσαντος εἰς τοῦτο, ἐπειδὴ τὸ ἐνδόσιμον παρὰ τῆς ἐκκλησίας εἴληφεν οὗτος, καὶ πατριάρχην ἐπεκηρύχθη κατὰ τὴν Ζαγορὰν τοπικὸν γίνεσθαι, πρῶτος ἐν αὐτῇ ὁ προτήτερα χρηματίσας Φιλιππουπολεως μητροπολίτης Γρηγόριος πατριάρχης καθίσταται. Ὡς δή τις πατριάρχης καὶ μητροπολίτην Θεσσαλονικέως παρὰ κανόνας πεποίηκεν, σπουδὴν ἔθετο πᾶσαν καὶ τὸν ἐπίσκοπον Ἱερισσοῦ καταστῆσαι μητροπολίτην, βουλόμενος τόν, ὃν πεποίηκε Θεσσαλονικέως, Μιχαὴλ τὸν Πρατάνην λεγόμενον, πάντῃ τῆς κατὰ τὴν τοιαύτην ἐπισκοπὴν ἐνορίας αὐτοῦ ἀποστῆσαι. Τῶν ἰδίων οὖν ὁ τοιοῦτος Θεσσαλονικέως ἀντεχόμενος ἐγκαλέσας τὸν πατριάρχην αὐτοῦ πρὸς τὸν βασιλέα ἀπῄει. Οἵ γε μὴν κατὰ τὸ Ἅγιον ὄρος τὸν Ἄθωνα ἀσκούμενοι μοναχοὶ εἰς τρισχιλίους συναχθέντες, λογάδες τε ἅπαντες καὶ τῇ κατὰ Θεὸν ἀναχωρήσει καὶ ἀσκήσει πάλαι προκόψαντες, μήτε τὸν πατριάρχην δεχόμενοι μήτε μὴν τὸν παρ' αὐτοῦ χειροτονηθέντα Θεσσαλονικέως, ἐπίσκοπον Ἱερισσοῦ ἢ μητροπολίτην παρὰ τούτου τοῦ πατριάρχου ἢ παρὰ τοῦ Πρατάνου Μιχαὴλ οὐκ ἠνείχοντο χειροτονηθῆναι. Διὰ ταῦτά τοι καὶ οὗτοι πρὸς τὸν βασιλέα ἀπελθόντες, κατὰ τὴν Καλλιούπολιν τηνικαῦτα εὑρισκόμενον, καθ' ὃν δηλονότι καιρὸν τοὺς τῆς θυγατρὸς αὐτοῦ Ἑλένης γάμους ἐτέλει μετὰ τοῦ υἱοῦ τοῦ ἀοιδίμου βασιλέως κῦρ Ἰωάννη Δοῦκα τοῦ Βατάτζη, εὑρισκομένου ἐκεῖσε καὶ τοῦ πατριάρχου Κωνσταντινουπολεως κῦρ Μανουήλ, τοῦ πρότερον χρηματίσαντος μητροπολίτου Ἐφέσου, τὰ τῆς ὑποθέ-

σεως εἰς ἔγκλησιν ἐποιήσαντο, λόγους κατά τε τοῦ πατριάρχου Ζαγορᾶς καὶ τοῦ διαληφθέντος Θεσσαλονικέως ἐνώπιον καὶ ἀμφοτέρων τῶν βασιλέων καὶ τοῦ Κωνσταντινουπολεως σφοδρῶς ἄγαν ποιούμενοι δίκαια τά τε ἄλλα προβαλλόμενοι καὶ δὴ καὶ τὸ καθάπαξ γεγονὸς κηροβούλλειον θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου κῦρ Ἀλεξίου τοῦ Κομνηνοῦ. Οἵτινες ἄρα μοναχοὶ καὶ ἐκ περιουσίας ἐδικαιώθησαν, καὶ γὰρ μηδὲ ἓν ἔχειν δίκαιον εἴρηται κατὰ τὸ Ἅγιον ὄρος τὸν ἐπίσκοπον Ἱερισσοῦ. Ὁ τότε Κωνσταντινουπόλεως μετὰ τῆς περὶ αὐτὸν ἐνδημούσης τῶν ἀρχιερέων συνόδου κέκρικε κατὰ τὴν περίληψιν τοῦ διαληφθέντος βασιλικοῦ προστάγματος, τὸν Ζαγορᾶς δὲ πατριάρχην ἀπεφήναντο μηδόλως χωρεῖν κατὰ τὴν μὴ ὑποκειμένην τῇ αὐτοῦ ἐκκλησίᾳ μητρόπολιν καὶ χειροτονίαν ποιεῖν ἢ ἄλλο τι ἐκκλησιαστικὸν διαπράττεσθαι. Καὶ μάλιστα ὁ τότε Φιλαδελφίας εὑρισκόμενος μητροπολίτης ..... εἰς καθαίρεσιν τελείαν διηγέρθη τοῦ τῆς Ζαγορᾶς πατριάρχου. Διὰ ταῦτα καὶ ὑπὲρ τοῦ μὴ καθαιρεθῆναι τὸν αὐτοῦ πατριάρχην ὁ βασιλεὺς Ἀσάνης ὑπόθεσιν κεκινηκώς τὸν Θεσσαλονικέως καθαιρεθῆναι μᾶλλον ἐψηφίσατο, ὡς παρὰ κανόνα καὶ παρὰ τὴν τοῦ Κωνσταντινουπόλεως γνώμην χειροτονηθέντα ..... ὁ δὴ καὶ γέγονε. Ὁ μὲν οὖν Κωνσταντινουπόλεως αὐτίκα, παρόντων καὶ ἀμφοτέρων τῶν βασιλέων, ψήφους ποιεῖται καὶ χειροτονεῖ Θεσσαλονικέως μητροπολίτην τὸν ἁγιώτατον καὶ ὁμολογητὴν γενόμενον ὕστερον κῦρ Μανουὴλ τὸν δισύπατον.

Κηροβούλλειον θέσπισμα τοῦ βασιλέως Ἀλεξίου Κομνηνοῦ.

Θεσπίζομεν τοίνυν τὸ Ἅγιον ὄρος εἶναι ἐλεύθερον, καὶ μηδὲ μίαν φορολογίαν ἢ ἐπήρειάν τινα ἔχειν τοὺς ἐν αὐτῷ μοναχοὺς ἕως τῆς συντελείας τοῦ αἰῶνος· μνημονεύειν δὲ τῶν βασιλέων καὶ ὑπὲρ ὅλου τοῦ κόσμου ἀπερισπάστως εὔχεσθαι. Καὶ διορίζομεν καὶ τοὺς ἐπαρχιῶν ἄρχοντας καὶ πλησιοχώρους· μηδεμίαν κοινωνίαν ἐχέτωσαν οἱ πολιτικοὶ ἄρχοντες ἐν τῷ Ἁγίῳ ὄρει, ἀλλ' οὐδὲ ἐπίσκοπόν τινα ἐθέσπισαν.... οὔτε ἡμεῖς θεσπίζομεν διὰ τὰ καὶ τὰ καὶ διὰ τὰς προσλήψεις τὰς λεγομένας κατὰ τῶν ἐπισκόπων καὶ διὰ τὸ μὴ δεσμεύειν τὰς ἐκκλησίας καὶ ἐντολὰς δίδειν τοῖς πρεσβυτέροις καὶ ἐπιτιμᾶν αὐτούς· ἀλλὰ μίαν κεφαλὴν καὶ μίαν δεσποτείαν τὸν Πρῶτον ἐχειροτόνησαν κἀκεῖνοι καὶ ἡμεῖς. Οἱ δὲ καταφρονοῦντες αὐτὸν ἔστωσαν ὑπὸ τὴν ἡμετέραν ἀγανάκτησιν.

Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς θείας καὶ βασιλικῆς χειρός:

Μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος γ'.

Ἕτερον συνοδικόν.

Δικαιοῖ δὲ καὶ ἱερὰ τῶν ἀρχιερέων σύνοδος παρ' οὐδενὸς τῶν ἀρχιερέων τοὺς ἀγιορείτας ἄρχεσθαι, γενέσθαι δὲ καὶ ἐπίσκοπον Ἱερισσοῦ παρὰ τοῦ μητροπολίτου Θεσσαλονίκης ἐπέτρεψε, διὰ τὸ μὴ τὴν τοιαύτην μητρόπολιν Θεσσαλονίκης τῶν αὐτῆς ἐκκλησιαστικῶν στερεῖσθαι δικαίων, μηδεμίαν ἄδειαν ἔχοντα, ὡς ἐπίσκοπον, ἐν ταῖς εὑρισκομέναις σεβασμίαις μοναῖς κατὰ τὸ Ἅγιον ὄρος· ἀλλ' ὅτε χρεία τις γένηται ἱεροτελετίας καὶ καθιδρύσεως ναοῦ, προσκαλούμενος εἰσέρχεσθαι, εἰ ἄρα καὶ τὰ καθάπαξ δόξαντα τῇ ἱερᾷ συνόδῳ φυλάττων φαίνεται ὁ τοιοῦτος ἐπίσκοπος. Εἰ δὲ παραβαίνοντα ταῦτα θεάσονται, ἐξ ἑτέρου ἀρχιερέως, κατὰ προτροπὴν τοῦ κατὰ τὸ Ἅγιον ὄρος ὁσιωτάτου Πρώτου, τὰς ἱεροτελετείας ἐν ταῖς διαληφθείσαις τοῦ Ἁγίου ὄρους μοναῖς διαπράττεσθαι: ✝

Ἀφορισμῶν παρακολουθησάντων, εἰ ταῦτα παρὰ..... πραχθέντα καὶ τελεσθέντα καὶ τοῦ Κωνσταντινουπολεως ὑπογραφῇ καὶ τῶν περὶ αὐτὸν ἀρχιερέων βεβαιωθέντα καὶ ἐξασφαλισθέντα οἱ βασιλεῖς ἐκεῖνοι, δι' ἐρυθρῶν γραμμάτων πιστωσάμενοι, εἰς αἰῶνα τὸν ἅπαντα συντηρεῖσθαι παρεκελεύσαντο, ὡς ὁ μέγας ἐκεῖνος λογοθέτης ὁ Ἀκροπολίτης, χρονικὴν ἱστορίαν γράφων, ἀρξάμενος τὴν ὑπόθεσιν ἀπὸ τῶν Λατίνων τῆς Κωνσταντινουπόλεως ἁλώσεως, ἀψευδῶς δι' ἐγγράφων παρέδωκε.

Это дѣло помѣщено въ концѣ древняго устава монастыря Ватопедскаго и оттуда переписано мною.

№ 4.

Хрисовулъ Іоанна Калимана въ Христа Бога вѣрнаго царя и самодержца всѣмъ Бльгаромъ и Грькомъ Асѣня 6700 года, мѣсяца февраля, индикта 1-го. Къ нему привѣшена золотая печать съ вычеканенными на ней словами: **Іѡ̄ асѣн҃ цр҃ь блгарѡмъ и грькѡмъ.** На обратной сторонѣ ея видно литое изображеніе св. великомученика Димитрія. Онъ сидитъ на подушкѣ, положенной на сѣдалищѣ, и обѣими руками держитъ мечь, лежащій на лядвеяхъ его поперекъ ихъ.

Содержаніе.

Въ монастыряхъ Святой горы «**нѣ и҃ноу дѣи҃ствѡ, нж на бж҃іе славословїе и҃злиха҆ пооученїе є҃. ѿ ны҃х же есть единь.... сѵ҃го Гєѡргіа. въ нѣмъ**

же и̑ вльгарскимъ ѣзыкѡ̑ православное бж̑іе пѣніе поется ..... Отецъ мой прострѣ и̑ къ сѣмѡ свое бл̑гое дарованіе. Помыслѝ и азъ моемоу монастирѡ многам мѣста дати въ ст̑ѣй горѣ, нѣ оубоѧсе ѿ клѧтва· ѕанѝ вѣше прѣжѐ заклѧ̀ тѡ ѿ съборь и освѧщенны патрїарху и бл̑гочт̑ивїи цари и ѿ прадѣда нашего Іѡанна цр̑а вѣлика въ блгарѣхъ. нѣ азъ дамъ многаа мѣста на дворь моемѡ монастирѡ..... и дадѡхъ Прѝвица метоˣ и село съ людьми и съ всѣми правинами и съ по̀пшвѣ ѕеро цѝѡ̑ и̑сходить и ѿ хандакъ водѣници и̑ Мармарь ловица̀, цѝѡ исходить, въсѐ въ монастирь да се дават и иже въ нѧмь постѫпимсе инокѡ̑ на сьста̀влѣніе и с̑ѝенное пѝтѣніе бивает, и въ помѣнъ царїи..... Въ Серь градь метохѝ ст̑аго Николаа̀, на Доуна̀ ловице мороуновъ, въ Ѳардакїа сирѣчь Ѳоѳїа ваѕарь.... (Далѣе перечисляются прочія имѣнія въ разныхъ мѣстахъ: въ Лихнидонѣ, Солунѣ, Ермиліи).

Въ Зографскомъ архивѣ есть двѣ схожія копіи сего хрисовула, а подлинника нѣтъ, кромѣ золотой печати. Это дѣписаніе въ обѣихъ копіяхъ своихъ составлено кѣмъ-то позднимъ такъ, что въ него вошла одна часть (повредившагося) подлинника, а другая часть неразумно внесена изъ другихъ позднихъ дѣписаній монастыря. Подлинною я тутъ признаю только ту часть, въ которой сказано, что Калиманъ не рѣшился увеличивать околотокъ Зографа на самомъ Аѳонѣ, потому что *побоялся* клятвъ греческихъ царей и патріарховъ и прадѣда своего Іоанна Великаго (Асѣня I) и далъ сему монастырю имѣнія только въ своемъ царствѣ; ибо едвали пришлось бы *позднему* писакѣ выдумать такую психологическую частичность, какъ *боязнь* Калимана нарушить клятву чужую. Неподлинное же въ ономъ дѣписаніи есть слѣдующее: 1) несоотвѣтственность перваго индикта 6700= 1192-му году, въ который индиктъ былъ 10-й; 2) описаніе границъ обширнаго поземельнаго участка Зографской обители на Аѳонѣ, согласное съ описаніемъ ихъ *въ позднемъ поддѣльномъ* актѣ, составленномъ будто бы царемъ Львомъ Мудрымъ и Іоанномъ, царемъ Терновскимъ, и не согласное съ боязнію Калимана давать Зографу *многая мѣста* на Св. горѣ; 3) упоминаніе о метохѣ с. Николая въ Солунѣ, какъ о дарѣ Калимана въ 1192 году, тогда какъ этотъ метохъ купленъ Зографцами у Ватопеда уже въ 1271 году, когда индиктъ былъ 14-й: что̀ видно изъ подлинной купчей за-

писи, хранящейся въ Зографскомъ архивѣ. — Отдѣливши въ разматриваемомъ хрисовулѣ подлинное отъ неподлиннаго, излагаю событіе вотъ какъ.

Болгарскій царь Калиманъ далъ Зографу хрисовулъ на право владѣнія разными имѣніями не на Аѳонѣ въ ҁsѱнʷ (1243-мъ) году, когда индиктъ былъ 1-й. Но почеркъ сего дѣписанія со временемъ почему-то повредился, и въ лѣто счисленіи его изгладилась буква н; посему поздній писака прочелъ ҁsѱʷ, вмѣсто ҁsѱнʷ, и поставилъ, вмѣсто 6750 года индикта 1-го, 6700-й годъ, а индиктъ первый же. А такъ какъ этотъ писака, *по небезосновательному* воображенію моему, передѣлалъ хрисовулъ Калимана въ началѣ 16-го вѣка (раньше 1514 г.), когда кончилась тяжба Зографа съ Кастамонитомъ за сосѣднюю землю обители Неакита, продолжавшаяся 220 лѣтъ, — съ 1293 года, и кончилась въ пользу Зографа, то онъ и внесъ въ него безразсудно все то, чѣмъ не владѣлъ сей монастырь во дни Калимана, напримѣръ метохъ св. Николая въ Солунѣ и описаніе границъ *обширной* поземельной собственности Зографа на самомъ Аѳонѣ, тогда какъ она при Калиманѣ была невелика.

NB. — Вымѣтка изъ описанія Есфигменской обители, составленнаго игуменомъ Ѳеодоритомъ:

Ὁ Πρῶτος Ἰσαὰκ γράφει· ἐν ἔτει ҁϖ̅μ̅α̅ (ἦγουν εἰς τοὺς 1333 ἀπὸ Χριστοῦ) μόλις εἶχε τὸ τοῦ Ζωγράφου, ὁποῦ ἔγινε μοναστήριον τῶν Βουλγάρων, ὄντας πρότερον κελλίον, 80 χρόνους, ὥστε συμβαίνει νὰ ἔγινε μοναστήριον ἐν ἔτει 1253 ἐπὶ τῶν ἡμερῶν Μιχαὴλ τοῦ πρώτου τῶν Παλαιολόγων. Ἀλλ' μολις ἐπέρασαν 40 χρόνοι, καὶ ἤρξατο ἡ μάχη μὲ τοὺς πατέρας τῆς μονῆς τοῦ Νεακίτου, καὶ διήρκεσεν αὐτὴ φιλονικία 221 χρόνον, ἕως οὗ ἔλαβον ολον τὸ μονήδριον τοῦ Νεακίτου καὶ τοὺς τόπους αὐτοῦ καὶ ἐκαταφάνισαν τὸ μοναστήριον τοῦ Καστα-μονίτου, καὶ τότε ἡσύχασαν ἀπὸ τὸ μέρος τοῦτο, καὶ ἄρχησαν νὰ ἁρπάξουν τόπους τοῦ Ἐσφιγμένου.

№ 5.

Ἐπιστολὴ σταλεῖσα παρὰ τῶν ἁγιορειτῶν πρὸς τὸν βασιλέα Μιχαὴλ τὸν Παλαιολόγον ὁμολογητική, σπεύδοντος τούτου, ὅση δύναμις, ἑνῶσαι τοὺς

Ἰταλοὺς παραλόγως μεθ' ἡμῶν, μένοντας ἐκείνους ἀδιορθώτους πάντῃ τῶν σφῶν αἱρέσεων καὶ ἀμεταβλήτους.

I. Κράτιστε, θεόστεπτε, θεομεγάλυντε, ἅγιε ἡμῶν δέσποτα. Τὸν πρὸς τὴν κραταιὰν καὶ ἁγίαν βασιλείαν σου ἡμῶν πνευματικὸν καὶ διάπυρον ἔρωτα ὁ ἀόρατος Θεὸς ἡμῶν καὶ τὰς τῶν ἁπάντων καρδίας ἐπιδεδραγμένος ἀοράτως καὶ ὡς οἶδεν αὐτὸς ἐμπνέων πληροφορήσαιεν τὴν ἁγίαν ψυχήν σου, ὅπως τε κοινῇ καὶ ἰδίᾳ καὶ ἐν αὐταῖς μέσαις ψυχαῖς ἀναγεγραμμένην περιφέρωμέν σου μνήμην διὰ παντός καὶ ἀδιεχῶς τῷ θεῷ ἐμφανίζωμεν. περὶ οὗ παμπλείστως θεῷ τὰς εὐχαριστηρίους φωνὰς ἐν τῷ καθ' ἑαυτούς, ἀλλὰ καὶ ὁμοῦ ἕκαστος, ἀναπέμπομεν, ὅτι σὲ ὁ αὐτοκρατορίᾳ κοσμήσας πολλῷ πρὸ ταύτης τῷ ἡμεροφαεῖ καὶ θεοπλόκῳ στέφει τῆς ὀρθοδόξου πίστεως ἐταινίωσε. Ναὶ μήν, καὶ ὕμνος αὐτῷ καὶ αἴνεσις· ἔγνω γὰρ Κύριος τοὺς αὐτοῦ, καὶ ὃν προέγνω, κατὰ τὸν μέγαν εἰπεῖν ἀπόστολον, τοῦτον καὶ ἐδικαίωσεν ἄρχειν καὶ εἰς μέγα τοῦτον δόξης καὶ ἐξουσίας.. ἐφύψωσε, βασιλέα τῶν ἐπὶ γῆς ἀναδείξας, εἰ μὴ ὅτι μόνον βασιλευόμενον ἄνωθεν εὐπειθῶς, ταὐτὸν εἰπεῖν, πανευσεβῶς καὶ θεοφιλεστάτως, ἀλλ' ἱλέως. ἵλεως οὖν εἴης ἡμῖν τοῖς διὰ παντὸς εὐχεταῖς τῆς κραταιᾶς βασιλείας σου, μεθ' ὑποστολῆς ἐνδεχομένης ἀναφέρουσι πρὸς αὐτὴν ὅσαπερ οὐδ' ἀσυνήθη, ἀλλὰ φίλα μᾶλλον καὶ σύντροφα ἀπ' αὐτῶν, ὡς ἂν εἴποι τις, τῶν σεβασμίων ἀγκαλῶν τῶν ἐν εὐσεβεῖ τῇ λήξει καὶ μακαριωτάτων τῇ μνήμῃ γεγονότων πανευσεβῶν γονέων τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου, ὧν τὸ πολίτευμα ἐν οὐρανοῖς καὶ ὧν ὁ ποὺς ἔστη λοιπὸν ἐν εὐθύτητι... ἆθλον τῆς ἐνταῦθα κατὰ Θεὸν ἀπροσκόπου πορείας περὶ τὴν διπλῆν τῆς εὐσεβείας οἶμον, τὴν ἐκ πίστεως δηλαδὴ καὶ ἔργων, τὴν ἐκεῖσε μόνιμον στάσιν περὶ Θεὸν καὶ τὴν μέλλουσαν ἀπενεγκαμένην ζωὴν καὶ μακαριότητα.

II. Εὐχαριστοῦμεν τῇ ἁγίᾳ βασιλείᾳ σου κἀν τούτῳ, ὅτι διὰ δεσποτικοῦ αὐτῆς προστάγματος ἔδειξας καὶ διεσάφησας ἡμῖν τὰ πολυειδῶς ἀκουόμενα καὶ ἀμφιβαλλόμενα, νῦν δὲ τρανῶς γνωρισθέντα.

III. Οἶδεν ἡ κραταιὰ καὶ ἁγία βασιλεία σου, ὅτι πᾶσα ἡ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ποίμνη ἓν σῶμά ἐστιν, ὑπὸ μιᾶς κεφαλῆς διοικούμενον, ὅς ἐστι Χριστὸς Ἰησοῦς· οἶδε καὶ τὸν τῆς ἀγάπης νόμον. Ὁ δὲ νόμος τῆς ἀγάπης τοῦ πνεύματος οὗτος· «εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη». Καί· «ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσιν τὰ μέλη, ὑπὸ ἑνὸς κινούμενα πνεύματος». Καί· «ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ». Καί· «ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ». Ἔνθεν τοι γνησίως καὶ συμφε-

ρόντως τὸ εἰς ψυχὰς ἦκον τοῦ παντὸς πληρώματος τῶν πιστῶν, προηγουμένως δὲ καὶ αὐτῆς τῆς ἁγίας ψυχῆς τῆς βασιλείας σου, λόγους εἰπεῖν ἔχομεν καθ' ὑπόμνησιν· οὓς οἶδε καὶ ἡ ἁγία βασίλειά σου, οὐχ ὅτι ἱκανοί ἐσμεν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν πᾶσα ἐκ τοῦ Θεοῦ· οἱ ἱκανοί ἡμεῖς καὶ πρὸς τοῦτο καρδίᾳ μὲν πιστεύειν εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖν εἰς σωτηρίαν. Διὸ οὐδὲ ἀκίνδυνον ἡμῖν δοκεῖ παρὰ Θεῷ τὸ ἐφησυχάζειν τοῖς ἄρτι γινομένοις ἐπικινδύνως. Πεποίθαμεν γάρ, ὡς οὐδαμῶς ἵνα καταδέξηται ταῦτα ἡ ἁγία σου ψυχή, ἄνωθεν οὖσα θεόφοβος καὶ ἐπὶ τοῦ ἐλαχίστου δεδοικυῖα, ἀλλ' οἱ ταράσσοντές σε, οἵτινες ἂν εἶεν, βαστάσουσιν τὸ κρῖμα, καθὼς ὁ μέγας ἔφη ἀπόστολος. Πλὴν δι' ἐλέους σου, ὁ πραὺς κατὰ Δαβὶδ καὶ χριστομίμητος βασιλεύς, χάρισαι ἡμῖν ἐπὶ μικρὸν τὰς βασιλικὰς καὶ θείας ἀκοὰς τοῖς πτωχοῖς μοναχοῖς, τοῖς ἐν ἀληθείᾳ ποθοῦσι τὴν ψυχὴν τῆς ἁγίας σου βασιλείας.

IV. Ὁ μέγας ἀπόστολος Παῦλος, ὁ πάσην τὴν γῆν τῷ κύκλῳ τοῦ εὐαγγελίου περιλαβών, ὁ τὸν Χριστὸν ἔχων λαλοῦντα ἐν αὐτῷ, ταῦτα ἔφη πρὸς Γαλάτας, ἐν νομικὸν παρεισφέροντας· «ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Καὶ πάλιν· «κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ, τῆς χάριτος ἐξεπέσατε». Καὶ πρὸ τούτων· «εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ». Ἀνατροπὴν γοῦν τοῦ εὐαγγελίου τοῦ Χριστοῦ εἶναι παριστᾷ τῷ ἑνὶ παρατηρήματι συνεισφέρειν τὸν παλαιὸν καὶ κεκμηκότα νόμον τῆς χάριτος ἀκμαιότατον. Τί γὰρ ἔτι δεῖ ὑπὸ σκιὰν θαλύνεσθαι, τοῦ ἡλίου τῆς δικαιοσύνης ἀνατείλαντος, καὶ τὴν ἐλευθερίαν προδιδόναι τῇ τῆς δουλείας ἀντεισφορᾷ; Δυσὶ γὰρ κυρίοις δουλεύειν οὐδεὶς δύναται, ἔφη ἡ κυρία φωνή. Παῦλός τε δεικνύς, ὅτι καὶ τὸ μικρὸν παραποιηθὲν τὸ ὅλον λυμαίνεται, εἶπε τὸ εὐαγγέλιον Χριστοῦ ἀνατρέπεσθαι. Διὰ ταῦτα καὶ ὁ μέγας φωστὴρ καὶ διδάσκαλος τῆς ἐκκλησίας καὶ διάδοχος τῆς τοῦ Παύλου χάριτος, ὃς καὶ Παῦλον πνεύσας, ὡς ἐκεῖνος Χριστόν, ὁ πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ τῇ πρὸς Γαλάτας ταύτης τῆς ἐπιστολῆς τοῦ ἀποστόλου ταῦτα μετὰ πλειόνων ἄλλων λέγει· «αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ πάντων αἴτιον κακῶν, τὸ μὴ ὑπὲρ τῶν μι-«κρῶν ἀγανακτεῖν· διὰ τοῦτο τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισῆλθεν, ὅτι τὰ «ἐλάττονα τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως. Καὶ καθάπερ ἐν τοῖς σώ-«μασιν οἱ τῶν τραυμάτων καταφρονήσαντες πυρετοὺς ἔτεκον καὶ σηπεδόνας καὶ «θάνατον, οὕτω καὶ ἐπὶ τῶν ψυχῶν· οἱ τῶν μικρῶν ὑπερορῶντες τὰ μείζονα ἐπ-«εισάγουσιν. Εἰ γὰρ οἱ περὶ τὴν ἀρχὴν ἀποπηδᾶν τῶν θείων θεσμῶν ἐπιχειροῦν-τες «καὶ μικρόν τι παρακινεῖν τῆς προσηκούσης ἐτύγχανον ἐπιτιμήσεως, οὐκ ἂν ὁ

«παρὼν ἐτέχθη λοιμός, οὐκ ἂν ὁ τοσοῦτος χειμὼν τὴν ἐκκλησίαν κατέλαβεν· «ὁ γὰρ τῆς ὑγιοῦς πίστεως καὶ τὸ βραχὺ ἀνατρέπων τῷ παντὶ λυμαίνεται». Ταῦτα μὲν ὁ πατὴρ καὶ πρὸ αὐτοῦ ὁ ἀπόστολος.—Τί δὲ οἱ τὰ ἄζυμα παρεισάγοντες καὶ τὰ σάββατα· ἐῶμεν λέγειν πλείω· καὶ διὰ τούτων πάλιν τῷ νόμῳ ἐξ ὑπαρχῆς παῤῥησίαν διδόντες; Ποῖον ἡμῖν κοινὸν τοῖς ἀπὸ Χριστοῦ καὶ τῇ νομικῇ τῶν σαββάτων παρατηρήσει; Ἆρ' οὐχὶ τὰ νομικὰ πάντα συγκαταλέλυνται τῷ περιονύμῳ ἐκείνῳ ναῷ τοῦ παλαιοῦ Ἰσραήλ; Οὐχὶ κωλύει ταῦτα αὐστηρῶς τὰ σάββατα δηλαδὴ ὁ ξς τῶν ἁγίων ἀποστόλων κανών, ἐκτὸς τοῦ μεγάλου σαββάτου, ὥστε τὸ μὲν ἱερατικὸν αὐτῶν ἅπαν διὰ ταῦτα καθαιρεῖν, τὸν δὲ λοιπὸν αὐτῶν λαὸν ἀφορισμῷ καθυποβάλλειν; Πόθεν δὲ καὶ τὰ ἄζυμα τοῖς ἰουδαιόφροσιν; ἢ ὁθεν τὰ σάββατα; Τὸ κεφάλαιον τῶν παρ' Ἰουδαίοις ἑορτῶν τὰ ἄζυμα ἦν· φανερὸν γὰρ ἐκ τοῦ συλλέγεσθαι πάσης γῆς Ἱερουσαλὴμ τῷ καιρῷ αὐτῶν τοὺς θρησκευτὰς τῶν ἀζύμων· ὡς καὶ τῶν παρ' ἡμῖν μυστηρίων τὸ μεῖζον ἡ μυστικὴ τράπεζα τοῦ Κυριακοῦ σώματος. Εἰ τοίνυν κατὰ τὸ παρ' ἡμῖν μεῖζον ἐξομοιοῦται τοῖς Ἰουδαίοις κατὰ τὸ παρ' αὐτοῖς κρεῖττον, οὐκ ἄντικρυς ἰουδαΐζουσι; Πῶς οὖν οἱ τὰ τοιαῦτα τολμῶντες ἀναφανδὸν τῆς οἰκουμένης καὶ οἷον ἀνερυθριάστως καὶ γυμνῇ, ὁ δὴ φασί, κεφαλῇ, οὐχὶ καὶ οὗτοι, κατὰ τοὺς Γαλάτας εὐαγγελιζομένους τῆς πίστεως ἔκφυλα, τῷ ἀποστολικῷ ἀναθέματι ὑπεύθυνοι ἔσονται, ὅπου γε καὶ πλεῖον ἢ ἐκεῖνοι τούτοις τὸ τόλμημα καὶ περὶ αὐτὸ τῆς ἡμετέρας πίστεως κεφάλαιον; Ἀλλ' εἴπωσιν, ὡς οὐχὶ τὰ ἄζυμα κατὰ σκοπὸν ἰουδαϊκὸν προσφέρουσιν, ἀλλ' ὡς τὸ Κυριακὸν σῶμα; Ὀφθαλμοὺς ἔχειν λέγοντες οὐ βλέπουσι, καὶ νοῦν οὐ συνιοῦσι πρὸ ὀφθαλμῶν κειμένην ἀλήθειαν. Εἰ ὁ τυπικὸς καὶ σκιώδης νόμος ο προσῆγεν εἰς τύπον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μηδὲν ἔχειν ἀτελὲς διεκελεύσατο, πῶς οὗτοι τολμῶσιν τὸ ἄναλον καὶ ἄζυμον καὶ κεκολοβωμένον καὶ ἀειδὲς ὡς τὸ τοῦ παντελείου ἀμνοῦ τῆς χάριτος σῶμα προσφέρειν τὸ ζωοπάροχον; Καίτοι οὐδὲ ἐν τῷ νόμῳ ταῦτα τὰ ἄζυμα δηλαδὴ τύπον ὅλως εἶχε Χριστοῦ, ἀλλ' ὅσον σώζειν μόνον μνήμην τινὰ αἰγυπτιακῆς ἐξόδου καὶ ἐρημικῶν καὶ ἐνοδίων κακώσεων· διὰ τοῦτο καὶ μετὰ πικρίδων παρὰ τὴν ἀρχὴν καὶ περιεζωσμένοι καὶ ὑποδεδεμένοι καὶ βακτηρεύοντες ταῦτ' ἤσθιον. Ἡμεῖς δὲ Χριστοῦ χάριτι σπέρμα χριστιανῶν ἐσμέν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε Αἰγυπτίων τυράννων. Εἰ δὲ τὸν Χριστὸν καὶ τὸ νομικὸν πάσχα φαγεῖν πρὸ τοῦ καινοῦ τούτου λέγουσιν, καὶ τοῦτο εἰ δοίημεν, ἐντεῦθεν οὐδὲν ὄφελος γενήσεται. Τὰ γὰρ τοῦ νομίμου πάσχα ἄζυμα τοῖς τοῦ ἀμνοῦ κρέασιν συνεσθίοντο καὶ αὐτίκα τούτοις συνεδειπνοῦντο, καὶ κατὰ τὴν τοῦ νόμου τήρησιν οὐδὲν εἰς τὸ ἑξῆς οὔτε τοῦ ἀμνοῦ οὔτε τῶν ἀζύμων

οὔτε μὴν τῶν πικρίδων ὑπελιμπάνετο. Τοῦ νομικοῦ γοῦν πάσχα βρωθέντος τῷ Κυρίῳ καὶ παραυτίκα καταργηθέντος, οὐχ ὑπελείφθη ἄζυμον κατὰ τὸν νόμον. Ἐξῆν δὲ λοιπὸν τῷ σωτῆρι ἀναπεσόντι τῷ προνομίῳ χρᾶσθαι τῆς ἡμέρας, ζυμίτην ἄρτον ἐσθίοντι, ἥτις ἦν ἡ πρὸ τῶν ἀζύμων κατὰ τὸν μέγαν ἀπόστολον καὶ εὐαγγελιστὴν ἐπιστήθιον Ἰωάννην, ὅστις καὶ περὶ τῆς ἐπαύριον σαφῶς μαρτυρεῖ οὑτωσὶ λέγων· «Ἄγουσιν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐα καὶ «αὐτοὶ οὐκ εἰσῆλθον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα». Προέλαβε δὲ ὁ Κύριος τὸ ἴδιον πάθος, ἐν ᾧ καὶ τὸ τῶν Ἰουδαίων πάσχα συνέπιπτε καὶ ἡ σκιὰ τῇ ἀληθείᾳ συνέβαινεν, ὡς ἂν τῷ προλαβεῖν ὁμοῦ καὶ τὸ ἑαυτοῦ καὶ καινὸν πάσχα παραδοίη τοῖς μαθηταῖς, ἅμα δὲ καὶ ζυμίτου ἄρτου μὴ ἀπορήσαι πρὸς τοῦτο, ὁ πάντα πανσόφως οἰκονομῶν, ἵνα καὶ αὕτη ἡ περὶ αὐτοῦ προφητεία τότε πέρας ἔξῃ· «σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ». Τί οὖν Μελχισεδὲκ προσήνεγκεν; ἄρτον καὶ οἶνον. Τί δὲ Ἀαρών; ἀμνόν, ἄζυμα καὶ πικρίδας. Ὄντως οὐδὲν τῆς ἐν πνεύματι προφητείας ταύτης περὶ μεγίστου τούτου μυστηρίου καθαρώτερόν τε καὶ προσφυέστερον. Εἰ δὲ οὗτοι ἀντέχεσθαι τοῦ παλαιοῦ νόμου βούλονται, τὸν ἀμνὸν μᾶλλον προσφερέτωσαν, ὡς τύπον Χριστοῦ ἐν ταῖς σκιαῖς περισώσαντα, καὶ ζωοθυτήτωσαν, ἵνα καὶ πάλιν ὑπὸ τοῦ αὐτοῦ προφήτου ἐξελεγχθήσωνται φάσκοντος οὕτω· «θυσίαν καὶ προσφορὰν νομικὴν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι». Εἰ δ' οὐ τοῦτον καίτοι οἰκείως ἔχοντα τῷ Χριστῷ, πῶς ἐκεῖνα, τὰ ἄζυμα δηλαδή, τὰ παλαιὰ καὶ κολοβὰ καὶ διὰ μόνην ἔμφασιν ἐνοδίου καὶ ἐρημικῆς κακύνσεως, οὕτω τοῦ ἀποστόλου διαῤῥήδην βοῶντος· «τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά»; Ἀκουέτωσαν· πῶς καινὰ τὰ πάντα; Καὶ εἰ τὰ πάντα κεκαίνωται, πῶς τὸ κεφάλαιον τῆς ἡμετέρας πίστεως τὸ κυριακὸν σῶμα, ἐν ᾧ σημειούμενοι διαστελλόμεθα καὶ Ἰουδαίων καὶ πάντων ἐθνῶν ἑτεροδόξων, οὐ παντάπασιν διαλλάττειν ἐμέλησε τῷ Κυρίῳ, ὅπουγε καὶ ὑπὲρ ἄλλο τι πλέον καινὸν τοῦτο εἶναι καὶ καινὴν διαθήκην αὐτὸς ὁ Κύριος ἐπωνόμασεν; εἰ δὲ καινήν, πῶς οὐ διήλλακται τῶν παλαιῶν ἑορτῶν καὶ ἐθίμων; Οὕτως, εἰ μή προφανῶς ὁμολογοῦσιν ἰουδαΐζειν, ἑτέρῳ κρημνῷ περιπεσοῦνται πρὸς θάνατον, ὑπὲρ τὸ ἅγιον εὐαγγέλιον τὴν Ἀπολλιναρίου παράδοσιν αἱρετισάμενοι.

V. Κελεύεις, βασιλεῦ ἅγιε, πλειόνως αὐτοὺς ἰδεῖν τῆς θείας ὁδοῦ ἐξοστρακισθέντας; Ὁ υἱὸς καὶ δεσπότης παῤῥησίᾳ τῷ κόσμῳ ταῦτα λαλεῖ· «ἐγώ εἰμι ἡ θύρα, ἡ ὁδός, ἡ ἀλήθεια, ἡ ζωή. Δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· ὁ δὲ ἀναβαίνων ἀλλαχόθεν, οὗτος κλέπτης ἐστὶ καὶ λῃστής». Καὶ πάλιν· «τὰ πρόβατα ἐμὰ

τῆς φωνῆς μου ἀκούει, καὶ ἀλλοτρίῳ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, οὐ γὰρ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν... Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν».—Οἱ προφῆται περὶ αὐτοῦ· «πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ· πισταὶ δὲ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι». Καὶ ὁ ἀπόστολος· «θεμέλιον τέθηκα ὑμῖν· ἕτερον θέσθαι παρὰ τὸν κείμενον οὐκ ἔστι», κἀκεῖνο ἐν ὑποδείγματι ἀνθρωπίνῳ περὶ τῶν τοῦ Κυρίου λόγων διαβεβαιούμενος· «ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται». Ἄκουσον, βασιλεῦ ἅγιε, ἃ χαίροις ἀκούων, καὶ κρῖνον κρίσιν εὐθυδίκαιον ἀναμεταξὺ τῶν Θεοῦ θεσμῶν καὶ αὐτῶν· τιμὴ γὰρ βασιλέως κρίσιν ἀγαπᾶν, καὶ μάλιστα οὕτω πανευσεβοῦς. Ὁ γοῦν τολμῶν ἐπιδιατάσσεσθαι τοῖς κεκυρωμένοις καὶ ἀθετεῖν τι τῶν γεγραμμένων καὶ ἐπεισάγειν τι τῶν μὴ γεγραμμένων, οὗτος χριστιανός ἐστιν; Οὐχὶ φανερὰ αὐτοῦ ἔκπτωσις πίστεως; Πῶς οὗτος χριστιανός, ὁ μὴ τῷ Χριστῷ ἀκολουθεῖν κατ' ἴχνος ἀρκούμενος, ἀλλ' ἀντιπροσωπεῖν ἐθέλων καὶ ἀντιβαίνειν; Καίτοι οὐδὲ ὁ μέγας Μωσῆς, ὃς τύπος ἦν τοῦ Χριστοῦ ἐν πολλοῖς, πλέον τούτου ἐζήτει, ἀλλ' εἰπὼν «γνωστῶς ἴδω σε» καὶ τὰ ὀπίσθια ἔστερξε καὶ ἐπιπροσθούσης πέτρας ἐδέησεν. Ἀλλ' οὗτοι καὶ προποδίζειν τολμῶσιν, διό καὶ πρὸς αὐτοὺς ἄντικρυς φησί· «οὐ μὴ γὰρ ὄψεσθε τὸ πρόσωπόν μου ποτὲ οἱ ἀντιβαίνειν μοι ἐπειγόμενοι». Προδιορθούμενος δὲ καὶ τοῖς ἑξῆς τὸ μέγα τοῦτο πάθος ὁ μέγας Μωσῆς εἴρηκε· «ἐν τοῖς παρὰ Θεοῦ δοθεῖσιν οὐκ ἔστιν προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν». Οὕτως οἶδεν ἐκεῖνος ὀπισθίως βαίνων καὶ μετ' ἴχνια τοῦ Θεοῦ καὶ τοῖς ἄλλοις τὸν φόβον τοῦτον καὶ τὴν εὐπείθειαν ἀφοσιοῦν Θεῷ καθυπογραφόμενος. Αλλ' ἔστιν ἐκ τοῦ κανόνος ἰδεῖν, τὴν ἐναντίαν ὅπως ἐτράπησαν, καὶ ὃ φασὶ τὴν ἐκ διαμέτρου πρὸς αὐτοὺς μικρόν τι τὸν λόγον ἡμῶν τρέψασθαι. «Θεὸν οὐδεὶς ἑώρακε πώποτε, εἰ μὴ ὁ μονογενὴς υἱὸς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός», ὡς αὐτὸς οὗτος διασαφεῖ. Οὗτος ὁ ἀσφαλὴς τῶν φρικτῶν θεολόγος καὶ περὶ τοῦ πνεύματος τοῦ συμφυοῦς καὶ συναριθμίου αὐτῷ εἴρηκεν οὕτως εἰπών· «ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται». Πρόσσχες τῷ ῥήματι, λατῖνε. Ἐν τῷ φωτὶ τὸ φῶς ὀπτάνεται, Δαβὶδ μαρτυρεῖ. Ἐν τῇ ἀκτῖνι τῷ υἱῷ τὸ φῶς τὸ πνεῦμα πόθεν ἐκπορεύεται, κατοπτεύσωμεν. Δὶς λέγει ὁ υἱὸς «τὸ παρὰ τοῦ Πατρὸς» περὶ τοῦ πνεύματος, διαβεβαιῶν τὸν αἴτιον αὐτοῦ καὶ τοῦ ὁμοφυοῦς πνεύματος. Τὸ δὲ σὸν παρεμβόλιμον καὶ νόθον δόγμα ποῦ, τὸ «καὶ ἐκ τοῦ υἱοῦ»; Ἀλλ' ἀποκριθήσῃ εἰς παράστασιν τῆς ὁμοουσιότητος τοῦτο προστιθέναι, ἔνθα δὴ καὶ προστίθης; Καὶ οὐκ ἀρκεῖ

τοῦ Κυρίου ἡ θεολογία δεῖξαι τὴν ὁμοουσιότητα ἑαυτοῦ τε καὶ τοῦ ὁμοφυοῦς καὶ συναριθμίου πνεύματος, ὅτι καὶ ἀμφότεροι τῆς αὐτῆς πηγαίας θεότητος καὶ τοῦ αὐτοῦ πατρός, ὁ μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς; Ταύτῃ καὶ οἱ θεοφόροι πατέρες ῥητῶς χρησάμενοι ἐν τῷ συμβόλῳ τῆς πίστεως ἀπαραλλάκτως ἐχρήσαντο. Σὺ δὲ καὶ τῶν πατέρων καὶ τοῦ μονογενοῦς αὐτοῦ πλέον τι ἰδεῖν καὶ μυηθῆναι ἐφρόνησας. Οὕτως ἐξ ἀπονοίας καὶ τῷ μὴ πειθαρχεῖν τῷ Χριστῷ θεσπίζοντι ἄνω καὶ κάτω τίθης τὰ θεῖα καὶ ἱερὰ δόγματα· καὶ νῦν μὲν τὴν κάτω καὶ περὶ ἡμᾶς δεσποτικὴν οἰκονομίαν, νῦν δὲ τὴν ἀνωτάτω καὶ θεαρχικὴν θεολογίαν ταῖς μειώσεσίν τε καὶ προσθήκαις καταρρυπαίνων τὴν πίστιν συγχέεις, μᾶλλον δέ τινα καινὴν πίστιν εἰσάγεις καὶ ἕτερον εὐαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο, κατὰ τὸν μέγαν ἀπόστολον εἰπεῖν, εἰ μή τοι ὁ ταράσσων εἴη διὰ σοῦ τὴν πίστιν διάβολος. Ἆρ' οὐχὶ προφανῶς γὰρ τοῦτο τὸ δόγμα τοῦ σατανᾶ, διαρχίαν ἄθεον παρεισάγον καὶ τὸ πνεῦμα ὑποβιβάζον, μᾶλλον δὲ μηδὲ τοῦ μονογενοῦς φειδόμενον καὶ ᾧ δοκεῖ χαρίζεσθαι ἐχθρωδῶς προσφυόμενον; Εἰ γὰρ ἡ τοῦ πατρὸς μὲν γονιμότης διττὴ κατά τε γέννησιν καὶ προβολήν, αὕτη δὲ, ὡς φής, μὴ ἰδίωμα τοῦ πατρὸς ὑποστάσεως, ἀλλὰ φύσεως, πῶς τῷ υἱῷ μὲν ἐξ ἡμισείας ἔσται, τῷ πνεύματι δὲ οὐδ' ὅλως; εἴπερ ὅσα τῆς φύσεως κοινὰ καὶ τῶν τριῶν ἀπαραλλάκτως θεαρχικῶν ὑποστάσεων, καὶ υἱῷ καὶ πνεύματι μείωσις τῶν ἐπικοίνων ἐσεῖται. Οὕτως οὐδὲν τοῦ θεολογικοῦ ἐκείνου ῥητοῦ ἐνταῦθα ἡμῖν προσφυέστερον, ὡς εἴ τι ἄν τις τῶν τριῶν κάτω θῇ, τὸ πᾶν καθαιρεῖ, μήτε τὸν πατέρα τιμῶν τῷ ἀτιμάζειν τὰ ἐξ αὐτοῦ διὰ τῶν ἀνίσων βαθμῶν τῆς θεότητος. Καὶ σὺ μὲν οἶδα ὅτι οὐδ' ἐπιστρέφῃ τῶν λεγομένων, ζητῶν γὰρ τὴν ἰδίαν παραπληξίαν ἱστᾶν· οὐ γὰρ ἂν εἶπω δικαιοσύνην· τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ' ὑποτάσσῃ· ἡμεῖς δὲ διὰ ταῦτα καὶ ὡς αἱρετικὸν προφανῶς θεωροῦμέν σε, ὅτι μηδὲ τὸ σύμβολον τῆς ὀρθοδόξου πίστεως ἔχεις ἀπαραποίητον. Καθάπαξ δὲ ἀπεφήνατο τὸ πνεῦμα τὸ ἅγιον διὰ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων, τῶν ἐπταρίθμων στύλων τῆς Χριστοῦ ἐκκλησίας, ὃ ἔθετο ἐν τῇ ἐκκλησίᾳ ἀποστόλους, προφήτας, διδασκάλους πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, σύμβολον αὐτὸ εἶναι παντὸς ὀρθοδοξοῦντος χριστιανοῦ. Σὺ δὲ οὐ τοῦτο τοῖς σοῖς ἐπισφαλέσι διευθετισμοῖς καὶ ἐπιδιορθώσεσιν ἀπαρεγχείρητον εἴασας.

VI. Εἴπερ, δέσποτα ἡμῶν ἅγιε, τὰς αὐτῶν παραποιήσεις πάσας τὰς τῶν ἐκκλησιαστικῶν καὶ θείων παραδόσεων καὶ θεσμῶν ἀπαριθμήσομεν, ἐπὶ πολὺ τὸν λόγον ἐκτενοῦμεν καὶ τὰς βασιλικὰς καὶ θείας ἀκοὰς ἀποκναίσομεν. Ἀλλ' ἵνα μὴ τοῦτο γένηται, ἐῶμεν τὰς ἐπιλοίπους παρὰ πολλῶν τῶν κατ' αὐτῶν γραψάντων τῶν ἐν εὐσεβεῖ καὶ ὁσίᾳ τῇ λήξει γεγονότων ἁγιωτάτων πατριαρχῶν τε

καὶ ἀρχιερέων ἡμῶν καὶ βασανισθείσας καὶ στηλογραφηθείσας, ἐκεῖνο δὲ συνελόντες λέγομεν. Οὗτοι, δέσποτα ἅγιε, τὰ κυριώτερα τῆς πίστεως οὐκ ἀπαράτρωτα εἶασαν οὐδ' ἀμώμητα· διὰ τοῦτο μὴ ὅτι καὶ ἀποκόπτονται τοῖς πανταχόθεν Ἰησοῦ τε καὶ καλοῦ ὡραιομόρφου σώματος τοῦ Χριστοῦ, ἀλλὰ καὶ τῷ σατανᾷ παραδίδονται. Καὶ φησὶ ὁ ἀπόστολος, ἐπισφραγίζων πᾶσαν τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν διδασκαλίαν καὶ οὐ τόσον σχεδὸν πρὸς τοὺς ἐν ἐνὶ τότε ἑτεροδιδασκαλοῦντας Γαλάτας, ὅσον εἰς τοὺς ἀρτίως μυριοετεροδιδασκαλοῦντας Ἰταλοὺς καὶ πᾶσαν μικροῦ δεῖν παράδοσιν εὐαγγελικήν, ἀποστολικήν, κανονικὴν καὶ πατρικὴν ἀνατρέποντας· «Εἴ τις εὐαγγελίζεται ὑμᾶς παρ' ὃ παρελάβετε, κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ, ἀνάθεμα». Ἀλλὰ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, ἡ ἐν τῷ Τρούλλῳ, τὰς πρὸ αὐτῆς πνεύματι θείῳ ἐξασφαλίζουσα, ἐν τῷ πρώτῳ τῶν αὐτῆς θείων καὶ ἱερῶν κανόνων τάδε φησί· «Εἰ δέ τις τῶν ἁπάντων μὴ τὰ προειρημένα τῆς εὐσεβείας δόγματα κρατεῖ καὶ ἀσπάζεται καὶ οὕτω δοξάζει τε καὶ κηρύττει, ἀλλ' ἐξ ἐναντίας ἰέναι τούτων ἐπιχειρεῖ, ἔστω ἀνάθεμα, κατὰ τὸν ἤδη ἐκτεθέντα ὅρον ὑπὸ τῶν προδηλωθέντων καὶ μακαρίων πατέρων, καὶ τοῦ χριστιανικοῦ καταλόγου ὡς ἀλλότριος ἐξωθείσθω καὶ ἐκπιπτέτω. Ἡμεῖς γὰρ οὔτε μὴν ὑφαιρεῖν κατὰ τὰ προορισθέντα παντελῶς διεγνώκαμεν ἢ καθ' ὅν τινα οὖν δεδυνήμεθα λόγον». Καὶ ταῦτα μὲν ὁ κανών. Ἐνθεωρεῖται δὲ καὶ τοῦτο σαφῶς, ὡς τὸ ἐξ ἐναντίας ἰέναι τῶν τῆς εὐσεβείας δογμάτων τοῖς πατράσιν ἔδοξεν εἶναι οὐκ ἄλλο ἢ τὸ προστιθέναι τούτοις καὶ ὑφαιρεῖν. Πῶς γοῦν ἐρεῖ τις τοὺς ταῦτα τολμῶντας καὶ ἐπ' ἐκκλησίας κυροῦντας, καὶ δημοσίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ταῖς ἁπανταχοῦ αὐτῶν πόλεσι διατόρῳ γλώττῃ διδάσκοντας μὴ τῷ αὐτῷ ἀναθέματι ὑποκεῖσθαι τῷ κανονικῷ; Εἰ δὲ χρὴ διὰ βραχέως καὶ ἐξ ἑτέρων θείων καὶ ἱερῶν κανόνων τὰ αὐτὰ κατὰ τὸ ἡμῖν ἐγχωροῦν τηρῆσαι, φησὶ καὶ ἡ τῆς ἑνώσεως θεία καὶ ἱερὰ σύνοδος, ὑστάτη μὲν πασῶν οὖσα καὶ τὰς πρὸ αὐτῆς πνεύματι θείῳ ἐπικυροῦσα, ἑπομένη κἀν τούτῳ ταῖς προηγησαμέναις· «ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ ἀοιδίμων πατέρων καὶ νομοθετηθέντα καὶ πραχθέντα καὶ μετὰ τοῦτο πραχθησόμενα ἀνάθεμα. καὶ ὅτι τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν ἁγίων ἡμῶν πατέρων, οἳ καὶ τὴν ἐκκλησίαν ὑπερείδουσι καὶ ὅλην τὴν χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα». Καὶ πῶς ἄν, εἰ πάντας τοὺς κατὰ τούτων ἄντικρυς ἀποφαινομένους θείους κανόνας ἐκθεῖναι θελήσομεν, τὴν ὁρμὴν τοῦ λόγου κατασχεῖν δυνησόμεθα; Εἰ γὰρ πρὸς ἓν ἕκαστον τῶν παρὰ τοὺς θείους θεσμοὺς αὐτοῖς τελουμένων ἀντιπαραθῶμεν θείους καὶ

ἱεροὺς κανόνας, οἳ καὶ καθαιροῦσιν καὶ ἀφορίζουσιν, [ἔστιν οἷς] καὶ ἀναθεματίζουσιν αὐτοὺς διὰ τὴν τῶν θείων παραδόσεων ἀθέτησιν, καὶ πέρα τοῦ μέτρου χεθῆναι ὁ ἰδιώτης ἡμῶν καὶ ἄγροικος λόγος οὗτος ἐκβιασθήσεται. Ἐμπεριέχεται δὲ καὶ ἐν τῷ πέντε καὶ δεκάτῳ κανόνι τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς πρώτης καὶ δευτέρας ἐπονομασθείσης, ὅτι οὐ μόνον ἀνευθύνους εἶναι, ἀλλὰ καὶ ἐπαινετέους τοὺς ἀποσχίζοντας ἑαυτοὺς καὶ πρὸ συνοδικῆς καταδίκης ἀπὸ τῶν δημοσίᾳ διδασκόντων αἱρετικὰ διδάγματα καὶ ὄντων προφανῶς αἱρετικῶν· οὐ γὰρ ἀπέσχισαν ἑαυτοὺς ἀπὸ ἐπισκόπων, ἀλλ' ἀπὸ ψευδεπισκόπων καὶ ψευδοδιδασκάλων· καὶ τὸ παρὰ τούτων γεγονὸς ἐπαίνου ἄξιον καὶ προσῆκον ὀρθοδόξοις χριστιανοῖς, καὶ ὡς οὐ σχίσμα τοῦτο ἐκκλησίας, ἀλλὰ μᾶλλον μερισμῶν ἀπαλλαγὴ καὶ τῆς ἀληθείας ἐπικράτησις. Πῶς γοῦν θεμιτὸν καὶ θεάρεστον ἑνωθῆναι τοῖς τοιούτοις ἡμᾶς, ὧν δικαίως καὶ κανονικῶς ἐξεκόπημεν, ἀμεταβλήτως ἔχουσιν τῶν αἱρέσεων; Εἰ τοῦτο καταδεξόμεθα, τὸ ὀρθόδοξον ἐν ἑνὶ τὸ πᾶν ἀνατρέπομεν, καὶ ἐν ὅσοις οἱ ἀναξίως δεχόμενοι ἀνατρέπουσιν. Λέγουσι γὰρ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες· «Εἴ τις ἀκοινωνήτῳ κἂν ἐν οἴκῳ συνέυξηται, ἀφοριζέσθω». Καὶ ἀλλαχοῦ· «Ὁ ἀκοινωνήτοις κοινωνῶν ἀκοινώνητος ἔσται, ὁ συγχέων τὸν κανόνα τῆς ἐκκλησίας». Καὶ πάλιν· «Ὁ αἱρετικὸν δεχόμενος τοῖς αὐτοῦ ἐγκλήμασιν ὑπόκειται». Ἐν ὅσοις γοῦν οὗτοι ἐγκαλούμενοι ὑπὸ εὐθύνας εἰσί, τοῖς αὐτοῖς ἅπασι καὶ ἡμεῖς, εἰ καταδεξοίμεθα, παρὰ τῶν θείων κανόνων τῶν ἐν πνεύματι ἀποφαινομένων ὑπόδικοι γινόμεθα. Οὐκ ἔστι τοῦτο θεμιτόν, οὐκ ἔστιν.

VII. Ἀλλ' οὐδὲ μνημονεύσομεν; Καὶ τοῦτο πεῖρα τοῦ πονηροῦ, ὃς σκότος ὢν τὸ φῶς ὑποκρίνεται, ὡς νῦν γε τὴν ἕνωσιν προβαλλόμενος τὴν μετ' αὐτῶν ἀπώλειαν τοῦ παντὸς σώματος τῆς ἐκκλησίας δολιεύσηται, καὶ φανερῶς μὴ πείθειν ἔχων πρὸς τοῦτο ἀδήλως ἐπιχειρεῖ, ἵνα ἐν ἑνὶ τρόπῳ ἀνοίξῃ θύραν καὶ κορυφώσῃ κακίαν. Εἰ γὰρ λέγοιεν ἐθέλειν ἑνωθῆναι, καὶ μεταβληθήτωσαν καὶ οὕτως ἑνούσθωσαν· εἰ δὲ μετὰ τῆς κακίας αὐτῶν τοῦτο βούλονται, οὐ δυνήσονται, καὶ εἰ μέχρι τῶν ψιλῶν ὀνομάτων καταλήγουσι. Καὶ τί δὲ κοινὸν κοινωνία καὶ ὀνόματος μνήμη; Καὶ πάνυ μὲν οὖν, ὡς τοῦτο δείξομεν. Νῦν δὲ ὦ τοῦ κέρδους, εἰ κακῶς ἐπιτεύξονται· ἔξουσι γὰρ ἐντεῦθεν καὶ τὸ ἀδιόρθωτον, ὡς λαβόντες ὃ θέλουσιν. Οὐ γὰρ περὶ εὐσεβείας αὐτοῖς αἱ λογομαχίαι καὶ συζητήσεις, ὡς φαίνεται· εἰ γὰρ ἂν ἤθελον, τί ἦν τὸ προσιστάμενον, κοινῆς οὔσης καὶ ἀμίσθου καὶ ἀμόχθου καὶ ὁμοτίμου δούλοις, δεσπόταις, πένησιν, πλουσίοις, εὐγενεστέροις, ἀγενεστέροις, ὄφλουσιν, οὐκ ὄφλουσιν, ὡς ἀέρος πνεῦσις καὶ φωτὸς χύσις, καὶ ὡρῶν ἀλλαγαὶ καὶ κτίσεως θέα, τοῦ μεγάλου καὶ κοινοῦ πᾶσιν ἡμῖν ἐντρυφήματος καὶ

ἰσομοιρία πίστεως κατὰ τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον, κἂν αὐτοὶ μετὰ τῶν λοιπῶν μεγάλων πατέρων ἡμῶν Βασιλείου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου καὶ τοῦτον παρ' οὐδὲν τίθενται, ὧν τὸ κλέος τῶν λόγων καὶ ἡ τοῦ πνεύματος δύναμις πᾶσαν τὴν γῆν περιέλαβε. Ἀλλὰ γὰρ ἄκουσον, ἅγιε δέσποτα, τὴν ὑπόσχεσιν ἐκ τῶν τοῦ παναγιόυ πνεύματος λόγων, ὧν οὐδεμία κεραία διαπεσεῖν δύναται. Ὁ μέγας τοῦ Κυρίου ἀπόστολος καὶ εὐαγγελιστὴς Ἰωάννης θεολόγος λέγει· «εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει μεθ' ἑαυτοῦ, χαίρειν αὐτῷ μὴ λέγετε, καὶ εἰς οἰκίαν μὴ λαμβάνετε· ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς». Εἰ δὲ ἁπλῶς ἐν ὁδῷ χαίρειν αὐτῷ κωλυόμεθα λέγειν, εἰ τὸ εἰσάγειν εἰς οἰκίαν κοινὴν ἐργόμεθα, πῶς οὐκ ἐν οἰκίᾳ, ἀλλ' ἐν ναῷ Θεοῦ, ἀλλ' ἐν αὐτοῖς τοῖς ἀδύτοις ἐπὶ τῆς μυστικῆς καὶ φρικτῆς τραπέζης τοῦ υἱοῦ τοῦ Θεοῦ ἀθύτως σφαγιαζομένου, τὸ μὲν ὡς Θεοῦ, τὸ δὲ ὡς ἀμνοῦ ἀμώμου, ἵνα ἡμᾶς ἐξιλάσηται τῷ πατρὶ καὶ ἑαυτῷ καὶ τὰς ἁμαρτίας ἡμῶν διὰ τοῦ ἰδίου αἵματος καθαρίσῃ ὁ ἀναμάρτητος, ποῖος ᾅδης ἐρεύξεται τὸ μνημόσυνον τοῦ παρὰ τοῦ ἁγίου πνεύματος ἐκκοπέντος ἀξίως, ὡς κατὰ Θεοῦ καὶ τῶν θείων τραχηλιάσαντος, καὶ διὰ τοῦτο ἐχθρὸς τοῦ Θεοῦ γενήσεται; Εἰ γὰρ τὸ ἁπλῶς χαίρειν εἰπεῖν κοινωνίαν δίδωσιν τοῖς ἔργοις τοῖς πονηροῖς, πόσῳ ἡ διάτορος αὐτοῦ μνημοσύνη, καὶ ταῦτα αὐτῶν θείων μυστηρίων φρικτῶς προκειμένων; Εἰ δὲ ὁ προκείμενος αὐτός ἐστιν ἡ αὐτοαλήθεια, πῶς ἂν τὸ μέγα ψεῦδος τοῦτο δέχηται, εἰκάζειν εἰκός, τὸ συντάττειν αὐτὸν ὡς ὀρθοδόξων πατριάρχην μετὰ τῶν λοιπῶν ὀρθοδόξων πατριαρχῶν; Ἐν καιρῷ φρικτῶν μυστηρίων σκηνικῶς παίξομεν καὶ τὸ μὴ ὂν ὡς ὂν ὑποκρινώμεθα; Καὶ πῶς ταῦτα ἀνέξεται ὀρθόδοξος ψυχή, καὶ οὐκ ἀποστήσεται τῆς κοινωνίας τῶν μνημονευσάντων αὐτίκα καὶ ὡς καπηλεύσαντας τὰ θεῖα τούτους ἡγήσεται; Ἄνωθεν γὰρ ἡ τοῦ Θεοῦ ὀρθόδοξος ἐκκλησία τὴν ἐπὶ τῶν ἀδύτων ἀναφορὰν τοῦ ὀνόματος τοῦ ἀρχιερέως συγκοινωνίαν τελείαν ἐδέξατο· τοῦτο γέγραπται γὰρ καὶ ἐν τῇ ἐξηγήσει τῆς θείας λειτουργίας, ὅτι ἀναφέρει ὁ ἱερουργῶν τὸ τοῦ ἀρχιερέως ὄνομα, δεικνύων καὶ τὴν πρὸς τὸ ὑπερέχον ὑποταγὴν καὶ ὅτι κοινωνός ἐστιν αὐτοῦ καὶ πίστεως καὶ τῶν θείων μυστηρίων διάδοχος. Καὶ ὁ μέγας πατὴρ ἡμῶν καὶ ὁμολογητὴς Θεόδωρος ὁ Στουδίτης ταῦτα λέγει πρός τινα διὰ τῆς τιμίας αὐτοῦ ἐπιστολῆς· «Ἔφης δέ μοι, ὅτι δέδιας εἰπεῖν τῷ πρεσβυτέρῳ σου μὴ ἀναφέρειν τὸν αἱρεσίαρχην· καί τι περὶ τούτου εἰπεῖν σοι τὸ παρὸν οὐ καταθαρρῶ, πλὴν ὅτι μολυσμὸν ἔχει ἡ κοινωνία ἐκ μόνου τοῦ ἀναφέρειν αὐτόν, κἂν ὀρθόδοξος εἴη ὁ ἀναφέρων». Ταῦτα καὶ ὁ πατήρ, πρὸ δὲ τούτου καὶ ὁ Θεὸς τοῦτο ἐσήμανεν οὕτως εἰπών· «ἱερεῖς ἠθέτουν νόμον μου καὶ ἐβεβήλουν

τὰ ἅγιά μου». Πῶς; «ὅτι βεβήλοις καὶ ὁσίοις οὐ διέστελλον, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά». Τί τούτων φωτινώτερον καὶ ἀληθέστερον;

VIII. Ἀλλ' ὡς οἰκονομίαν τοῦτο ποιήσωμεν; Καὶ πῶς δεχθήσεται οἰκονομία, τὰ θεῖα βεβηλοῦσα κατὰ τὸν Θεοῦ εἰρημένον λόγον καὶ ἐκ τῶν θείων ἀπωθοῦσα τὸ τοῦ Θεοῦ πνεῦμα καὶ τῆς ἐντεῦθεν ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τῆς υἱοθεσίας τοὺς πιστοὺς ἀμετόχους ποιοῦσα; Καὶ τί ἂν εἴη ταύτης τῆς οἰκονομίας ζημιωδέστερον; Αὕτη κοινωνία αὐτῶν ἐστι πρόδηλος καὶ ἐν ἑνὶ τοῦ παντὸς ὀρθοῦ ἔκπτωσις καὶ ἀνατροπή· «ὁ γὰρ αἱρετικὸν δεχόμενος τοῖς αὐτοῦ ὑπόκειται ἐγκλήμασιν» καὶ· «ὁ ἀκοινωνήτοις κοινωνῶν ἀκοινώνητός ἐστιν, ὡς συγχέων τὸν κανόνα τῆς ἐκκλησίας», καθὰ δὴ καὶ οὗτοι οἱ γενναῖοι τῇ ἀπειθείᾳ τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ Ἰουδαίοις καὶ Ἀρμενίοις καὶ Ἰακωβίταις καὶ Νεστοριανοῖς καὶ μονοθελήταις καί, ἁπλῶς εἰπεῖν, πᾶσιν αἱρετικοῖς συγκοινωνοῦσι καὶ διὰ τοῦτο μόνον, εἰ μὴ διά τι ἄλλο, ἀσυγχώρητοι ὁμολογουμένως καὶ ἀκοινώνητοί εἰσι καὶ πᾶσι ὑπόδικοι τῶν ἐκείνων θεοστυγέσι αἱρέσεσιν. Εἰκὸς δὲ καὶ ἐντεῦθεν, ἐκ τοῦ μὴ διαστέλλεσθαι τῶν αἱρετικῶν δηλαδὴ κατὰ τὸν τῆς ἐκκλησίας κανόνα καὶ τὸν τοῦ Θεοῦ ἄνωθεν νόμον, πάσης... ἀνάπλεω ἐγένοντο, καὶ οὐκ ἄλλοθεν.

IX. Τὸ δὲ καὶ πρωτεῖον δοῦναι τῷ αἱρετίζοντι κατὰ πάσης τῆς τοῦ Χριστοῦ ὀρθοδόξου ἐκκλησίας ὀρθῶς ἔχει; Τοῦτο τελεία παραδοχή ἐστιν, καὶ οὐκ οἰκονομία. Οὗτος δὲ τῆς ἐσχάτης οὐκ ἔστιν ἄξιος νῦν. Λέγει γὰρ ὁ μέγας πατὴρ ἡμῶν Γρηγόριος ὁ Θεολόγος περὶ τῶν μετανοούντων τὸν θεῖον λόγον κινῶν· «εἰ μὲν οὐ μεταγνόντας οὐδὲ ἐγὼ δέχομαι ἢ μὴ καμπτομένους ἢ μὴ ἀξίως μηδὲ ἀντισηκοῦντας τῷ κακῷ τὴν διόρθωσιν· καὶ ὅταν δέξωμαι, τὴν προσήκουσαν αὐτοῖς ἀπονέμω χώραν». Ποῦ ἐν αὐτῷ*) καὶ τοῖς μετ' αὐτοῦ ἡ διόρθωσις; Ποῦ ἡ ἀντισήκωσις τοῦ καλοῦ; Λοιπὸν οὐδὲ τῆς ἐσχάτης εἰσὶν ἄξιοι. Πῶς οὖν καὶ πρωτεύουσιν καὶ κατὰ τίνος τὸ κράτος ἔξουσι τῶν θείων ἐκκλησιῶν; Φεῦ. Ἆρα καὶ οὐ πεταύροις ᾄδου πελάσουσιν οἱ τυφλοῖς ὁδηγοῖς χρησόμενοι, κατὰ τὴν τοῦ ἀψευδοῦς στόματος διδασκαλίαν; Καὶ εἰ τὸ φῶς σκότος, τὸ ἐξῆς δῆλον. «Φιλεῖ δέ», καὶ τοῦτο κατὰ τὸν θεολόγον εἰπεῖν μέγαν Γρηγόριον, «τῷ ἄρχοντι ἐξομοιοῦσθαι πᾶν τὸ ἀρχόμενον». Ἐκ ποίων δὲ τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ ἀνακρινοῦσιν αὐτός τε καὶ τὸ ἀρχιερατικὸν αὐτοῦ τοὺς ἐκκλήτους οἱ τοὺς θείους κανόνας παντάπασιν τῶν ἁγίων συνόδων ἐκβάλλοντες καὶ μηδὲ ὀσμὴν ἢ ἴχνος πνευματικῆς διαγωγῆς ἔχοντες, ἀλλὰ αἱρετίζοντες ἐν πολλοῖς; Ἀληθῶς συγχύσεως τὴν ἐκκλησίαν

*) Въ бѣловомъ спискѣ преосвящ. Порфиріемъ надъ этимъ словомъ означено: Πάπα. — Ред.

πληρώσουσιν καὶ σκανδάλων, οὐδὲ γὰρ μιχθήσονται τὰ ἄμικτα, οὐδὲ συγκλωθήσονται τὰ ἀσύγκλωστα. Τίς γὰρ μετοχὴ δικαιοσύνης καὶ ἀνομίας ἐσεῖται; ἢ τίς κοινωνία φωτὶ καὶ σκότει, καὶ ὀρθοδόξοις καὶ αἱρετίζουσι, κατὰ τὰ θεῖα λόγια ὧν μᾶλλον καὶ ὁλοτελῶς διαστέλλεσθαι ὁριζόμεθα; Καὶ ἄνωθεν καὶ αὐτὸς ὁ Θεὸς ἐνετείλατο εἰπών· «καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐκ μέσου ὑμῶν» καὶ ἐν ἑτέροις οὐ μετρητοῖς. Ὡσαύτως καὶ τὸ ἐν τῇ καινῇ ἐκεῖνο τὸ «ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔξελε αὐτόν» καὶ τὰ ἑξῆς περὶ τῶν σκανδαλιζόντων μελῶν τίσιν ἄλλοις ἢ τοῖς τοιούτοις πλέον ἁρμόζει; Καὶ Παῦλος δὲ ὁ μέγας διὰ τοῦ αὐτοῦ, κυρίου τοῦ καὶ ἐν αὐτῷ λαλοῦντος τὰ ὅμοια τρανοῖ λέγων· «αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος». Καὶ πάλιν· «στέλλεσθε ἀπὸ παντὸς ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρελάβοσαν παρ' ἡμῶν», καὶ ἐν ἄλλοις δὲ τοῖς τοιούτοις μηδὲ συνεσθίειν ὅλως παραγγέλλει. Συνῳδὰ δὲ καὶ ὁ θεόφορος καὶ μέγας πατὴρ ἡμῶν Ἰγνάτιος ἐπιστέλλει προφυλάττων ἡμᾶς ἀπὸ τῶν θηρίων ἀνθρωπομόρφων αἱρετικῶν, οὓς οὐ μόνον οὐ δεῖ ἡμᾶς παραδέχεσθαι, ἀλλά, εἰ δυνατόν, μὴ συναντᾶν. Οἷς δὲ συνεσθίειν οὐχ ὁριζόμεθα, οἷς τὸ χαίρειν εἰπεῖν διὰ τὸ παντάπασιν ἀμιγές, ὧν τὸ συνάντημα, εἰ δυνατόν, φύγωμεν, πῶς πρώτους εἶναι καὶ ἀνακριτὰς τῶν ὀρθοδόξων ἐκκλησιῶν ὅλως δικαιώσωμεν καὶ τὸ μνημόσυνον αὐτῶν ὡς ὀρθόδοξον ἐπ' ἐκκλησίας καὶ ἐπ' αὐτῆς τῆς μυστικῆς τραπέζης σαλπίσωμεν, ἵνα μηδὲ ταύτην ἀφῶμεν ἀβέβηλον τοῦ ἁγιάζειν ἡμᾶς;

X. Μηδαμῶς τοῦτο παραχωρήσῃς διὰ τὴν ἁγίαν ψυχήν σου, μηδαμῶς, βασιλεῦ ἅγιε καὶ θεόδμητε αὐτοκράτωρ καὶ ἐν ταὐτῷ χριστοπροθεινώτατε καὶ φιλοχριστότατε· ἀλλὰ μένε, ὡς μένεις Χριστοῦ τῇ χάριτι, οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνων ἔμαθες. Τὴν καλὴν παρακαταθήκην φύλαξον, ἐκτρεπόμενος κατὰ τὴν τοῦ μεγάλου ἀποστόλου διδασκαλίαν τὰς βεβήλους κενοφωνίας τῆς ψευδωνύμου γνώσεως, ἣν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν, ἵνα διὰ σοῦ, μετὰ σοῦ καὶ τῶν σῶν πανσικὶ τῶν θεοδοξάστων καὶ ἡμεῖς, ἅπαν τὸ χριστιανικὸν πλήρωμα, ὀρθοδοξοτάτως καὶ ὡς Θεῷ φίλον τηρηθείημεν εἰς ἡμέραν ἐπιφανείας Κυρίου καὶ ἄμεμπτοι σὺν ὑμῖν καὶ αὐτοὶ τῆς αὐτοῦ βασιλείας κληρονόμοι γενώμεθα αἰωνίως. Πιστὸς ὁ Θεὸς ὁ καλῶν ἡμᾶς, ὃς καὶ ποιήσει, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρήσωμεν, χάριτι τοῦ Χριστοῦ ἐν πνεύματι ἁγίῳ. Ἀμήν.

Сія статья выписана изъ аѳоноиверскаго малаго Паноѳéкта (сборника).

№ 6.

— Сводъ сказаній объ уніи на Аѳонѣ, явившейся въ царствованіе Михаила Палеолога, извлеченныхъ изъ разныхъ рукописей, кои читалъ я на Аѳонѣ и Синаѣ.

— а) Изъ аѳонолаврской рукописи 1708 года, написанной, какъ замѣчено на заглавномъ листѣ ея, попеченіемъ и иждивеніемъ Николая Маврокордата, великаго логоѳета Великой церкви Христовой и главнаго драгомана Оттоманской Порты: «*Слово Паламы о молитвѣ*». Въ началѣ этого слова Палама упомянулъ о нѣкоемъ Никифорѣ, родившемся въ Италіи, что онъ отринулъ латинское вѣроученіе и принялъ православіе, но за то отправленъ были съ Аѳона въ ссылку латиномудрствовавшимъ царемъ Михаиломъ Палеологомъ.

— б) Изъ рукописи Синайскаго монастыря, написанной на бумагѣ (in 4⁰ minori) въ концѣ 16-го вѣка (ранѣе 1612 года) и содержащей, между прочимъ, ἅπαντα τὰ ἐν τῷ ἁγιωνύμῳ ὄρει γενόμενα.

Διήγησις περὶ τῶν ὁσίων πατέρων ἡμῶν καὶ ὁμολογητῶν τῶν ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω μαρτυρησάντων κελεύσει τοῦ βασιλέως τῶν Ῥωμαίων Μιχαὴλ Παλαιολόγου.

.....Ἡ ἑβδόμη σύνοδος ἠθέλησεν καὶ τοὺς Λατίνους καθυποβαλεῖν τῷ ἀναθέματι, ὡς αἱρετικοὺς διὰ τὴν ἐκπόρευσιν τοῦ παναγίου πνεύματος καὶ σαββατίζειν μνείαν ποιοῦντάς τινος Σαβατίου τοῦ σφῶν αἱρεσιάρχου· ἀλλ' οὐκ ἐποίησαν οἱ τῆς συνόδου διὰ τὸ ὑπάρχειν αὐτοὺς πλείστους, μή πως ἐκστρατεύωσιν κατὰ τὴν βασιλίδα τῶν πόλεων καὶ λεηλατήσωσιν αὐτὴν καὶ τὴν βασιλείαν αἱροῦσιν. Εἰς τοῦτο γὰρ οὐκ ἠδυνήθησαν ὅροις καὶ ἀναθέματι καθυποβαλεῖν αὐτούς, ἀλλ' ἔμειναν πάλιν οὕτως μέχρι καὶ Μιχαὴλ τοῦ βασιλέως τοῦ πρώτου τῶν Παλαιολόγων, τοῦ τῶν Ῥωμαίων σκῆπτρον διέποντος καὶ ὁρῶντος αὐτὸ ἄκρως ταπεινωθὲν διὰ τὸ ὑπὸ Ἀγαρηνῶν καὶ Βουλγάρων ἐξ ἀνατολῶν καὶ δυσμῶν ἑκατέρωθεν πολεμούμενον. Βουλὴν πονηρὰν καὶ Θεῷ οὐκ ἀρέσκουσαν ἐβουλεύσατο αὐτὸς σὺν τῷ τότε πατριαρχοῦντι Ἰωάννῃ τῷ Βέκῳ τῷ λατινόφρονι (1274—1283 ἔτ.), ὥστε προστεθῆναι τῷ λατινικῷ φρονήματι ἐπὶ προφάσει δῆθεν τῆς τῆς ἐκκλησίας εἰρήνης καὶ τοῦ βοηθείας ἐκεῖθεν λατινικῆς τυχεῖν κατὰ τῶν αὐτῷ ἐπανισταμένων. Ὅθεν καὶ πάντας ἔσπευδεν εἰς τὸν χρημνὸν ἑλκύσαι τῆς τῶν Λατίνων αἱρέσεως, ἐξαιρέτως δὲ τοὺς ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος μοναχούς· ἀλλ'

ἐκεῖνοι μὲν αὐτὸν ἀπεκρούσαντο διὰ τῆς δογματικῆς καὶ ἐλεγκτικῆς ἐπιστολῆς, ἧς πρὸς αὐτὸν ἐξαπέστειλαν, ὁ δὲ παραλαβὼν τὸν αὐτοῦ ὁμόφρονα πατριάρχην σὺν ἑτέροις ἄλλοις ἀπῆλθεν εἰς Ἰταλίαν πρὸς τοὺς Λατίνους καὶ προστεθεὶς τῇ αὐτῶν αἱρέσει καὶ τοῖς ἀλλοκότοις δόγμασιν δῆθεν πεποίηκεν καὶ ταραχοποιὸν εἰρήνην, ἥτις ἐπὶ ὀκταετίαν τὰς ἐκκλησίας πάσας ἐτάραξεν, ὡς ἐν τόμῳ τῆς ἱερᾶς συνόδου τῆς ἐπὶ Ἀνδρονίκου τοῦ βασιλέως συγκροτηθείσης διείληπται. Ἐπαναζεύξαντος δὲ αὐτοῦ εἰς τὰ ἴδια μετὰ τῆς προληφθείσης αὐτῷ ἐκεῖθεν σαθρᾶς δυνάμεως καὶ συκίνης ἐπικουρίας· θαλασσοπορῶν γὰρ ἦν· ἐν παρόδῳ προσέβαλε τῷ τοῦ Ἄθωνος ἀγιωνύμῳ ὄρει, προθυμούμενος καὶ καραδοκῶν, εἰ τοὺς ἐν αὐτῷ μοναχοὺς συνεπομένους ἕξει τῷ αὐτοῦ φρονήματι, καὶ τοὺς λοιποὺς πάντας ἀπόνως ἑλκύσει εἰς τὸν τῆς ἀπωλείας κρημνόν. Ὅθεν καὶ εἰς τὴν τοῦ ἁγίου Ἀθανασίου λαύραν ἐλθών, οἱ ἐν αὐτῇ κατοικοῦντες, ἰδόντες αὐτόν, φόβῳ καὶ δειλίᾳ, ὡς οὐκ ἔδει, ληφθέντες ἢ μᾶλλον εἰπεῖν δειλοψυχήσαντες καὶ προκρίναντες οἱ τάλανες τῶν αἰωνίων τὰ πρόσκαιρα καὶ ὡς ὁ Δημᾶς ἐκεῖνος ἀγαπήσαντες τὸν νῦν αἰῶνα, καὶ χωρὶς βασάνων καὶ ἀπειλῶν θᾶττον ὑπέκυψαν, προδόντες τὴν ἑαυτῶν εὐσέβειαν· καὶ ἔκαμψε γόνυ ἡ λαύρα τῷ Βάαλ, καὶ μετὰ φώτων καὶ ὕμνων καὶ προπομπῆς τοῦτον ἐδέξαντο, ὡς τέκνα μωμητά, υἱοὶ παράνομοι καὶ ἀλλότριοι τοῦ ἑαυτῶν πατρός, καὶ ἐν τῷ Κυριακῷ ἱερουργήσαντες ἀνιέρως μετὰ τῶν σὺν αὐτῷ Λατίνων καὶ λατινοφρόνων τὴν ἀναφορὰν ἐποιήσαντο τῶν αἱρετιζόντων, τοῦ Πάπα δὴ λέγω καὶ τοῦ πατριάρχου σὺν τῷ βασιλεῖ. Εἶτα ἐκεῖθεν ἀπάρας ἐν τῇ τῶν Ἰβήρων σεβασμίᾳ μονῇ, ταῦτα δρᾶσαι βουλόμενος, ὡς ἐν τῇ προτέρᾳ μονῇ, ἀλλ' ἐψεύσθη τῆς ἐλπίδος ὁ ἄθλιος. Οἱ γὰρ ἐν αὐτῇ ἀσκοῦντες ὁσιώτατοι μοναχοὶ οὐκ εἶχον τὸ θεμέλιον ἐπὶ τῆς ψάμμου, ἀλλ' ἐπὶ τὴν ἀῤῥαγῆ πέτραν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν εἰπόντα· μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. Τούτῳ θαῤῥοῦντες οὐκ ἐνέδωκαν τῇ δειλίᾳ οὐδὲ ὑπήχθησαν τῷ τῆς λαύρας πονηρῷ ὑποδείγματι, ἀλλ' ἀντέστησαν στερρῶς καὶ ἀνενδότως, καὶ ἐπὶ Κύριον πεποιθότες ὡς ὄρος Σιὼν οὐκ ἐσαλεύθησαν, ἀντεχόμενοι τῶν ἀποστολικῶν παραδόσεων, ἐλέγχοντες ἀποτόμως τὸν δυσσεβῆ βασιλέα καὶ τοὺς ὁμόφρονας, ὡς αἱρετικοὺς καὶ παρανόμους. Ὁ δὲ μὴ ἐνεγκὼν τοὺς ἐλέγχους διεῖλεν αὐτούς. εἰς δύο· καὶ τοὺς μὲν ὄντας ἐκ τοῦ Ἰβηρικοῦ γένους ἐν Ἰταλίᾳ ἐξώρισεν, τοὺς δὲ λοιποὺς ἐν τῷ τῆς μονῆς πλοίῳ βαλών, ἐκέλευσεν τῆς γῆς μακρὰν ἀποστάντας ἐκέλευσεν διατρῆσαι τὸ πλοῖον καὶ τῷ βυθῷ παραπέμψαι. Καὶ οὕτως ἔτυχον τοῦ

μακαρίου τέλους διὰ τῆς τοῦ ὕδατος πνιγμονῆς οἱ ἅγιοι ὁσιομάρτυρες καὶ ὁμολογηταὶ τελέσαντες τὴν καλὴν ὁμολογίαν· τὰ δὲ τῆς μονῆς πάντα διαρπάσας ἔρημον εἴασεν. Ἀπάρας τοίνυν ἐκεῖθεν ἐν τῇ τοῦ Βατοπαιδίου ἱερᾷ καὶ μεγίστῃ λαύρᾳ κατῆρεν καὶ εἰσελθὼν ἐν αὐτῇ τὰ ὅμοια ἦν ἀπαιτῶν τοῖς προλαβοῦσι, τῇ τῆς αἱρέσεως δηλαδὴ ἑνώσει καὶ τῇ ἀναφορᾷ τῶν αἱρετικῶν. Ἀλλ' οἱ ἐν αὐτῇ ἀσκούμενοι ὁσιώτατοι μοναχοὶ οὐχ ὑπεῖξαν οὐδ' ἐνέδωκαν, ἀλλ' ἀντέστησαν γενναίως, διελέγχοντες τὴν αὐτῶν παράνοιαν γραφικαῖς ἀποδείξεσιν. Διὸ καὶ τῇ ἐνστάσει αὐτῶν αἰσχυνθεὶς ὁ δυσσεβὴς βασιλεὺς ἐκέλευσεν πάντας αὐτοὺς ἀπηχθῆναι ἔν γε λόφῳ τινὶ ἔγγιστά που τῆς μονῆς· καὶ οὕτω τὸν διὰ τῆς ἀγχόνης ὑπέστησαν θάνατον οἱ τρισμακάριοι ὁμολογηταί, ἀπολαβόντες τὴν μακαρίαν καὶ ἀίδιον ζωήν· τὰ δὲ τῆς μονῆς πάντα σκυλεύσας καὶ ἀφανίσας ἐρήμωσεν. Μετὰ δὲ ταῦτα ἀπῆλθεν ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Ζωγράφου· οἱ δὲ ἐν αὐτῇ θεοφιλέστατοι μοναχοί, τὸν ἀριθμὸν ὄντες εἴκοσι ἕξ, ἀπέκλεισαν ἑαυτοὺς ἐν τῷ τῆς μονῆς ὀχυρώματι κἀκεῖθεν ἤλεγχον αὐτούς, τοῖς ῥήμασιν ὡς βέλεσιν βάλλοντες, αἱρετικοὺς καὶ παρανόμους ἀποκαλοῦντες. Ὁ δὲ παράνομος βασιλεὺς κελεύσας τοὺς ὑπ' αὐτὸν συλλέξαι πλῆθος φρυγάνων καὶ κατέκαυσεν αὐτοὺς σὺν τῷ πύργῳ· καὶ οὕτω τὸν διὰ πυρὸς θάνατον ὑπέστησαν οἱ μακάριοι κατὰ τὴν δεκάτην τοῦ ὀκτωβρίου μηνός. Εἶτα ἐκεῖθεν ἐξελθὼν κατέλαβεν τὴν τῶν Καρεῶν κελλιωτικὴν λαύραν, ἔνθα καὶ τοῦ ὄρους πρωτεῖον ἵδρυται· ὁ δὲ πρωτεύων καὶ οἱ σὺν αὐτῷ ἀντέστησαν αὐτῷ γενναίως, τοῖς προλαβοῦσιν ὁμοίως ἐλέγχοντες. Ὁ δὲ εἰς ὀργὴν κινηθεὶς ἐκέλευσεν πάντας αὐτοὺς μαχαίρας ἔργον ποιῆσαι· καὶ οὕτως ἐτελειώθησαν οἱ ἅγιοι ὁμολογηταί. Τὴν δὲ ἐκκλησίαν πυρπολήσας καὶ τὰ τῶν μοναχῶν σκηνώματα ληϊσάμενος καὶ τὸν βουνὸν ὑπερβὰς ἐν τῇ τοῦ Ξηροποτάμου λεγομένῃ μονῇ ἀφίκητο. Οἱ δὲ ἐν αὐτῇ οἰκοῦντες, φόβῳ ληφθέντες καὶ ἀντὶ τῶν αἰωνίων τὰ πρόσκαιρα προτιμήσαντες, ὡς ὁ τῶν ἁγίων τεσσαράκοντα ἔκπτωτος, ἐπὶ κακῷ τῷ τῆς λαύρας ζηλώσαντες ὑποδείγματι, ὁμοίως αὐτὸν ὑπεδέξαντο μετὰ φώτων καὶ κρότων καὶ μεγάλης τιμῆς· εἶτα ἐν τῷ ναῷ εἰσελθόντες ὁμοῦ τὴν λειτουργίαν ἐτέλεσαν, τοὺς αἱρετίζοντας μνημονεύσαντες. Ὁ δὲ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν θᾶττον συσσείσας τὸν μὲν ναὸν κατέβαλε καὶ τοὺς ἱερεῖς τῆς αἰσχύνης κατέχωσεν καὶ τὰ τῆς μονῆς τείχη ἀνέτρεψεν, ἕνα μόνον καταλιπὼν κεκλημένον ... εἰς σημεῖον τοῖς μετέπειτα· ὁ δὲ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ, ταῦτα ἰδόντες καὶ αἰσχυνθέντες καὶ τὰ πρόσωπα ἐντροπῇ καλυψάμενοι, ταῖς ναυσὶν ἐπιβάντες, τὰ ἴδια κατέλαβον. Τούτων δὲ ἀπελθόντων καὶ καιροῦ λαβόμενοι οἱ καταληφθέντες καὶ κρυπτόμενοι μοναχοὶ

ἐν τοῖς δασυτέροις τόποις διὰ τὸν φόβον αὐτῶν ἐξῆλθον ἐν τοῖς ἰδίοις σκηνώμασι καὶ τοὺς ἀπ' ἐκείνου κατενθέντας εὑρόντες συνέστειλαν καὶ τῇ ὁσίᾳ ταφῇ παρεδώκασι, τὰ τοῦ Δαβὶδ εὐκαίρως ἐπᾴδοντες· «Ὁ Θεός, ἦλθοσαν ἔθνη εἰς τὴν κλη-«ρονομίαν σου· ἐμίαναν τὸν τόπον τὸν ἅγιόν σου· ἔθεντο θνησιμαῖα τῶν δούλων «σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς».

Ἐγένετο δὲ ταῦτα κατὰ τὸ ,ςψϟς=1288 ἔτος ἐν μηνὶ ὀκτωβρίῳ.

Μετὰ δὲ ταῦτα ὕστερον ἐπέλαμψε τὸ τῆς ἀληθείας φῶς ταῖς ἐκκλησίαις τοῦ Θεοῦ. Τὰς γὰρ ψωριάσεις τῆς Ῥώμης ἐκκλησίας ἐκ τῆς ποίμνης Χριστοῦ ἀποσκορακίσαντος, λέγω δὲ τοῦ εὐσεβοῦς βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Ἀντωνίου μοναχοῦ, τοῦ τὸ πατρικὸν διαδεξαμένου σκῆπτρον, πολὺν δὲ ζῆλον ὑπὲρ τῆς εὐσεβείας καὶ τῶν ὀρθῶν δογμάτων τρέφοντος, ος καὶ σύνοδον οἰκουμενικὴν συνα θροίσας καὶ τὸν Βέκον τοῦ θρόνου καθελὼν καὶ τῷ ἀναθέματι παραδοὺς σὺν τοῖς μετ' αὐτοῦ, εἰρήνην ταῖς ἐκκλησίαις μετὰ Θεὸν ἐπρυτάνευσεν· καὶ ὅρον ἐνθέντες, ἵνα φεύγωσιν τοὺς Λατίνους καὶ μὴ συγκοινωνῶσιν αὐτοῖς τὸ οἰονοῦν, καθάπερ καὶ τὰς ἑτέρας αἱρέσεις, διότι καὶ αἱρετικοὺς αὐτοὺς ἀπεκάλεσαν, καθὼς ἐν τῷ τόμῳ τῆς αὐτῆς ἁγίας συνόδου πλατύτερον εὑρήσεις. Οὗτος ὁ βασιλεὺς καὶ τὴν τοῦ Ξηροποτάμου μονὴν ἐκ βάθρων ἀνήγειρεν. Ἡ δὲ τοῦ Βατοπαιδίου ἱερὰ λαύρα, ὡς λέγεται, ὑπὸ Στεφάνου τοῦ τῆς Σερβίας δεσπότου ἀνεκαινίσθη, καὶ ἡ ἐν αὐτῇ σεβασμία εἰκὼν τῆς ὑπεραγίας θεοτόκου κατεκοσμήθη. Ἡ δὲ τοῦ Ζωγράφου μονὴ καὶ τὰ ἐν τῷ Πρωτείῳ τῶν Καρεῶν ἀφανισθέντα ὑπὸ τῶν τῆς Βουλγαρίας κρατούντων αὖθις ἀνεκαινίσθησαν.

Εὐξώμεθα οὖν καὶ ἡμεῖς ἐκτενῶς τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ἵνα διὰ τῶν πρεσβειῶν τῆς παναχράντου αὐτοῦ μητρὸς καὶ τῶν ὁσίων πατέρων ἡμῶν καὶ ὁμολογητῶν, ὧν ἡ παροῦσα διήγησις, σκεπάσῃ καὶ διατηρήσῃ ἡμᾶς ἀτρώτους ἐν τῇ καλῇ ὁμολογίᾳ τῶν ἀποστολων καὶ πατέρων ἡμῶν· ὁτι αὐτῷ πρέπει ἡ δοξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

— в) Изъ греческой, нестарой рукописи, читанной мною въ 1845 году въ Аѳонофилоѳейскомъ монастырѣ:

«Михаилъ Палеологъ и патріархъ Іоаннъ Веккъ хотѣли ввесть унію, особенно, въ аѳонскіе обители. Но онѣ не приняли ее, представивъ имъ свое догматическое и обличительное посланіе. Однако, впослѣдствіи лавра приняла унію по страху. А старцы Аѳоноиверскаго монастыря отринули

ее. Но за то изъ ихъ сонма Грузины отправлены были въ Италію, а прочіе утоплены были въ морѣ. Ватопедцы были повѣшены на одномъ холмѣ близъ монастыря ихъ за отверженіе уніи и за обличеніе ея *письменными* доказательствами. Зографцы, числомъ 26, за то же сожжены были 10-го октября; а иноки Карейской лавры перерѣзаны и церковь ихъ сожжена. Ксиропотамцы же приняли унію охотно. Это происходило въ 6793= 1285 году въ мѣсяцѣ октябрѣ.

Андроникъ Палеологъ, въ монашествѣ Антоній, созвалъ вселенскій соборъ, который осудилъ Векка и умирилъ церковь. Сей государь съ основаній возобновилъ Ксиропотамскій монастырь, разрушенный землетрясеніемъ. А Ватопедская лавра, *какъ говорятъ*, возобновлена Стефаномъ, деспотомъ сербскимъ; обители же Зографская и Протатская въ Карeѣ возобновлены царями болгарскими».

— г) Изъ Проскинитарія врача Іоанна Комнина, 1701 года.

Περὶ τοῦ ἱεροῦ μοναστηρίου τοῦ Ζωγράφου.—... ἔκαυσε αὐτὸ ὁ Πάπας τῆς Ῥώμης πεισματικῶς, καθὼς καὶ ἄλλα πολλὰ τοῦ Ἁγίου ὄρους μοναστήρια καὶ ἐκκλησίας, διατὶ δὲν τὸν ἐπροσκύνησαν.

Περὶ τοῦ σεβασμίου μοναστηρίου τοῦ Ξηροποτάμου.—... Τοῦ παρόντος μοναστηρίου πρῶτος κτήτορας εἶναι ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Ῥωμανός μετὰ δὲ ταῦτα δι' αἰτίαν τοῦ Πάπα τῆς Ῥώμης μὲ τὸ νὰ μὴν ἠθέλησαν οἱ ἐν αὐτῷ ὁσιώτατοι πατέρες νὰ δεχθοῦν τὴν ἐν τῷ συμβόλῳ νέαν προσθήκην ἐναντίαν τῆς τοῦ Κυρίου μας διδασκαλίας καὶ τῶν πατέρων, καὶ διὰ τοῦτο νὰ τὸ ἄφησαν καὶ νὰ ἔφυγαν, ἐρημώθη τελείως ἀπὸ χρόνους πολλούς· ὅθεν ὁ αὐθέντης τῆς Βλαχίας Ἀλέξανδρος Βοεβόδας τὸ ἀνεκαίνισεν.

— д) Въ Церковной исторіи Аѳинскаго митрополита Мелетія, скончавшагося въ 1714 году, упомянуто о неудачной затѣѣ Михаила Палеолога ввесть унію; но о страданіяхъ отъ него аѳонскихъ монаховъ нѣтъ ни слова.

— е) Въ Путешествіи Барскаго 1744 года, акад. изд. часть II, стр. 297—298, читается:

«Благополученъ и славенъ монастырь Ксиропотамскій бысть даже до года 6753-го (1245); въ лѣто же царствованія Михаила Палеолога и патріаршества Іоанна Векка, иже насилуемы отъ Болгаровъ отъидоша въ Италію, просящи помощи, они же увѣщаша ихъ о соединеніи вѣры, иже послу-

шавши ихъ совѣта и соединившися, пріяша отъ нихъ помощь многую, и возвращающися въ Константинополь, Италіанцы пріидоша во Святую гору, и принуждающе монастыри къ соединенію, инные отъ страха многаго воинскаго соизволиша, не соизволяющихъ же различно мучиша, и монастыри ограбиша, инныхъ убо въ плѣнъ взяша, инныхъ же въ морѣ утопиша, и инныхъ вервами удавиша, инныхъ же мечемъ посѣкоша, инныхъ же огнемъ сожгоша добрые Римляне...; прочіихъ же не сподобишася ниже коснутися, ради сицевой собывшейся на нихъ казни. Егда бо пріидоша къ монастырю сему, иноцы въ немъ тогда малодушни сущи, а наипаче слышавши пострадавшихъ лютое мученіе, устрашишася и устрѣтоша ихъ со свѣщами и кадильницами и всякою честію, и принявши ихъ въ церковь, сослужиша съ ними. Богъ же, не терпя ихъ беззаконнаго соединенія, потрясе землю, и паде церковь и покры ихъ, и разрушишася всѣ келліи и всѣ стѣны монастырскія; Царь же съ Патріархомъ, Божіимъ смотрѣніемъ, сущи внѣ монастыря, зряще собывшееся, устрашишася, и отплыша абіе кораблями въ Царьградъ со всѣмъ воинствомъ, и сице прочіи монастыри отъ бѣдъ спасошася; часть же великая отъ паденія оныхъ древнихъ стѣнъ и до селѣ предъ угломъ восточнымъ внѣ монастыря лежитъ на вѣчное обличеніе Папежцовъ. Сіе же бысть года 6753, мѣсяца Октовріа.

Сказуютъ же многіе ученые и разумнѣйшіе, яко ни Царь, ни Патріархъ до Святыя горы не пріиде, но сами безчинствующи Латины; аще бо бы сіе было, Кедринъ историкъ и прочіе знаменитые не умолчали бы сицевой вещи.

Мимошедшу же много времени, всѣ монастыри помощію и иждивеніемъ Царей паки обновишася. Ксиропотамская же обитель обновися отъ основанія третицею отъ благочестивѣйшаго Андроника, Самодержца Греческаго».

— ж) Въ Повѣсти о нашествіи папистовъ на Св. гору, хранящейся въ Зографскомъ монастырѣ, сказано:

«Двадцать шесть иноковъ въ Зографской обители сожжены были папистами въ царствованіе Михаила Палеолога въ 1276 году, а по свидѣтельству греческой повѣсти, находящейся въ Протатѣ и въ монастыряхъ Иверскомъ и Ватопедскомъ — въ лѣто 1280-е, октября въ 10-й день».

3) Ἐπιστολὴ Εὐγενίου τοῦ Βουλγάρεως πρὸς Πέτρον τὸν Κλαίρκιον περὶ τῶν μετὰ τὸ σχίσμα ἁγίων τῆς ὀρθοδόξου ἀνατολικῆς ἐκκλησίας. Ἀθήνησιν. 1844:

«Ἔλεγεν ὁ Παλαιολόγος Μιχαὴλ ὁ βασιλεὺς (ὡς ἱστορεῖ ὁ Παχυμέρης) τοῖς Κωνσταντινοπολίταις ἀπαρεσκομένοις τῇ τοιαύτῃ ἑνώσει· ὦ ἄνθρωποι, ἀπαράτρωτα τὰ τοῦ ἡμετέρου δόγματος ἔσται· τρία μόνα ἀπονέμομεν τῷ Πάπᾳ, πρωτεῖον, ἔκκλητον καὶ μνημόσυνον. Ταῦτα δέ λύτρα ἔσονται πολλῶν αἱμάτων Ῥωμαίων ἐκχυθῆναι κινδυνευόντων» (См. Δοσιθέου βιβλ. Ϛ', συγγρ. δ').

«Ταῦτα λέγοντος τοῦ Μιχαήλ, ἡ ἐκκλησία καὶ τὸ σῶμα αὐτῆς οὐκ ἐπείθοντο. Ὅθεν οἱ πατριάρχαι Ἀρσένιος καὶ Ἰωσὴφ καὶ Γρηγόριος ἐναντιοῦνται· καὶ ἄλλος ἀφίησι τὸν θρόνον καὶ ἀναχωρεῖ, ἄλλος διώκεται· καὶ οἱ ἔκκριτοι ἀρχιερεῖς καὶ κληρικοί, καὶ δὴ ἄρχοντες μαστιγοῦνται, δημεύονται, φυλακίζονται, πάσχουσιν ὑπὸ τοῦ Ῥώμης Γρηγορίου καὶ τοῦ Μιχαήλ, ὅσα ἔπαθον οἱ πάλαι ἅγιοι ὑπὸ τοῦ Νέρωνος, Δεκίου, Διοκλητιανοῦ».

«Ὅσα βάσανα καὶ τιμωρίας, καὶ ὅσους πονηροὺς θανάτους ἐποίησαν οἱ λατινόφρονες τοῖς εἰς τὸ Ἅγιον Ὄρας τοῦ Ἄθωνος πατράσιν, οὐδεὶς εἰδωλολάτρης διώκτης ταῦτα ἐποίησεν. Ἦν δέ, ὅτε ἐποίησαν τὰ τοιαῦτα οἱ Λατινόφρονες εἰς τὸν Ἄθωνα, ἔτος ,ϛψϟγ».

[Ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Ἀνδρόνικον τὸν βασιλέα ἐν τοῖς πρακτικοῖς τῆς ἐπὶ Γρηγορίου συνόδου, у Δοσιθέου βιβλ. θ', κεφαλ. γ'].

По сличеніи всѣхъ этихъ сказаній оказывается, признается и отвергдается слѣдующее:

— Аѳонскіе монахи, дѣйствительно, представляли царю Михаилу Палеологу догматическое и обличительное посланіе. Оно найдено мною и напечатано по-гречески и по-русски.

— Названный царь и патріархъ Іоаннъ Веккъ не ѣздили въ Италію, не присутствовали въ Ліонскомъ соборѣ, не заѣзжали на Аѳонъ и не вводили тамъ унію *лично*; иначе о семъ упомянули бы современные имъ византійскіе историки Георгій Акрополитъ, Пахимеръ и Григорасъ; но у нихъ нѣтъ ни слова о всемъ этомъ. Слѣдовательно, въ сообщенныя мною аѳонскія сказанія привзошла прибавка мѣстнаго измышленія, прибавка, какъ сей часъ узнаемъ, выдуманная какимъ-то святогорскимъ писакою, отождествившимъ царское повелѣніе о введеніи уніи на Аѳонѣ съ самимъ повелителемъ.

— Но кромѣ этой прибавки, все прочее въ оныхъ сказаніяхь я признаю достовѣрнымъ, и вотъ почему. Замѣтныя тутъ подробности, какъ-то принятіе уніи аѳонскою лаврою, любимицею Михаила Палеолога, отправленіе грузинскихъ монаховъ въ Италію изъ Аѳоноиверской обители, разореніе Карейской церкви, повѣшеніе ватопедскихъ иноковъ на *Фурковуни* за несогласіе подчиниться Римскому папѣ и *письменный* отказъ ихъ Италіанцамъ, предлагавшимъ сіе подчиненіе, сожженіе зографскихъ монаховъ за то же самое несогласіе и наконецъ землетрясеніе, разрушившее Ксиропотамскій монастырь, принявшій унію, всѣ эти подробности, подтверждаемыя старинною надписью у воротъ Ватопеда *), synaксарнымъ повѣствованіемъ о 26 зографскихъ мученикахъ и упоминаніемъ о нихъ въ подлинномъ хрисовулѣ царя Андроника Старшаго 1289 года не оставляютъ во мнѣ и тѣни сомнѣнія о томъ, что Михаилъ Палеологъ *посредствомъ клеветовъ своихъ, а не лично*, вводилъ унію на Аѳонѣ **) и что тамъ пострадали всѣ тѣ, которые не приняли ея и не хотѣли бѣжать въ лѣса и захолустья Св. горы, какъ это сдѣлали многіе тамошніе монастырники и келліаши.

— Всѣ сказанія, о которыхъ идетъ рѣчь, несовременны съ сказуемыми событіями. Они составлены на Аѳонѣ *спустя лѣтъ триста* послѣ уніатской затѣи Палеолога. Вотъ оправданія такого лѣтосчисленія моего. Въ оныхъ сказаніяхъ упомянуто, что сынъ Михаила Палеолога, Андроникъ, по отреченіи отъ престола, омонашился, и что сербскій деспотъ Стефанъ возобновилъ Ватопедскій монастырь на Аѳонѣ; но такъ какъ Андроникъ омонашился въ 1328 году, а Стефанъ деспотствовалъ въ Сербіи съ 1389 года по 1429-е лѣто, то и приходится заключить, что оныя сказанія появились позже этихъ годовъ. Поелику же одно сказаніе, вполнѣ схожее съ прочими, содержится въ Синайской рукописи, составленной ранѣе 1612 года, то между симъ годомъ и 1429-мъ лѣтомъ надлежитъ указать время появленія повѣсти о Палеологовой уніи на Аѳонѣ. Указываю это время. — Въ 1568 году султанъ Селимъ отнялъ у аѳонскихъ монастырей принадлежавшія имъ имѣнія въ царствѣ его. Съ сей поры они обѣднѣли и начали

---

*) Μεγαλομάρτυρες Χριστοῦ ια = Великомученики Христа 11-ть.

**) Смотри Второе путешествіе мое по Аѳону, стр. 256, и не думай о мнѣ, что я противорѣчу самъ себѣ, а знай, что мои свѣдѣнія объ этой горѣ становятся вѣрнѣе и тверже.

посылать въ православный міръ такъ-называемыхъ *таксидіаровъ*, т. е. сборщиковъ милостыни. Эти сборщики вездѣ всѣмъ доброхотнымъ дателямъ разсказывали, что и что знали и слыхали о своихъ обителяхъ, о древности ихъ, о св. мощахъ и образахъ, о преподобномъ житіи святогорцовъ и, между прочимъ, о страданіяхъ и мученіяхъ, претерпѣнныхъ ими въ царствованіе Михаила Палеолога за твердость въ православіи. Въ средѣ разскащиковъ явился грамотѣй, который письменно изложилъ затѣю Палеолога, пользуясь стоустымъ преданіемъ и сунаксарными чтеніями старыхъ Аѳонитовъ или приписками ихъ на книгахъ. Сіе изложеніе читалось и переписывалось въ монашескихъ кельяхъ и въ мірскихъ избахъ, посѣщаемыхъ таксидіарами. Посему-то всѣ списки съ повѣсти этого грамотѣя сходны между собою, кромѣ лѣтосчисленія, о которомъ буду говорить здѣсь особо. Такъ я объясняю происхожденіе повѣсти о неудачномъ, но мучительскомъ введеніи уніи на Аѳонѣ при Михаилѣ Палеологѣ, и вмѣстѣ указываю время появленія этой повѣсти вскорѣ послѣ 1568 года, припоминая здѣсь, что ее читали на Синаѣ ранѣе 1612 лѣта Господня.

— Содержаніе повѣсти, о которой идетъ рѣчь, во всѣхъ спискахъ одинаково; но годъ введенія Палеологовой уніи на Аѳонѣ и мученичества тамошнихъ монаховъ показанъ въ нихъ не одинъ и тотъ же. Припоминаю эту числительную разность, объясняю причины ея и устанавливаю годъ искомый и надобный для исторіи, охотницы до свѣдѣній положительныхъ.

Въ синайскомъ спискѣ, явившемся ранѣе 1612 года, читается, что Михаилъ Палеологъ, возвращаясь изъ Италіи въ Константинополь, лично принуждалъ Аѳонитовъ къ принятію уніи и даже мучилъ ихъ въ октябрѣ мѣсяцѣ 6796=1288 года. Но въ этомъ году царствовалъ не онъ, а сынъ его Андроникъ съ 1283 года. Слѣдовательно, это лѣтосчисленіе не вѣрно. Отвергаю его, полагая, что писавшій синайскій списокъ имѣлъ подъ руками старую рукопись, въ которой годъ блѣдно прописанъ былъ греческими буквами не такъ, какъ видите, ϛϡϛ, а иначе, напримѣръ ϛϡϙ, и ошибочно измѣнилъ букву ϙ въ ϛ, не зная, что въ 6796 году Михаила Палеолога давно не было въ живыхъ.

Въ томъ же синайскомъ спискѣ упомянуто, что Палеологова смута *возмущала всѣ церкви въ теченіи осьми лѣтъ* (ἐπὶ ὀκταετίαν τὰς ἐκκλησίας πάσας ἐτάραξεν). А такъ какъ Палеологъ умеръ въ 1283 году, то и оказы-

вается, что смута отъ него *началась* на Востокѣ въ 1276 году. Сей же годъ намѣченъ въ спискѣ аѳонозографскомъ. Но составитель этого списка самъ не довѣрялъ такому лѣтосчисленію и замѣтилъ, что въ другихъ аѳонскихъ спискахъ показанъ годъ 1280-й. Не довѣряю сему и я, однако, предполагаю, что Аѳонозографитъ не по своему измышленію памѣтилъ на своемъ спискѣ 1276 годъ, а видѣлъ его въ какой-нибудь припискѣ на книгѣ, въ которой читалось, что Палеологова смута началась съ 1276 года, и намѣтилъ сей годъ, оговорившись однако, что въ записяхъ протатской, иверской и ватопедской показанъ 1280 годъ мученичества Аѳонитовъ при первомъ Палеологѣ.

Сей-то 1280-й годъ я считаю историческимъ годомъ введенія уніи въ аѳонской лаврѣ и въ Ксиропотамѣ и мученичества святогорскихъ монаховъ въ Иверѣ, Карeѣ, Ватопедѣ и Зографѣ,—считаю по тому, что онъ показанъ въ трехъ аѳонскихъ рукописяхъ: *а при трiехъ свидѣтелѣхъ станетъ всякъ глаголъ.*

Въ печатномъ описаніи путешествія нашего Барскаго поставленъ 1245 годъ Палеологовой затѣи на Аѳонѣ. Но тогда Палеологъ Михаилъ еще не царствовалъ ни въ Никеѣ, ни въ Константинополѣ. Это вѣрно. Слѣдовательно въ книгѣ Барскаго не вѣрно напечатанъ 1245-й годъ, полагаю, вмѣсто 1285-го, неразборчиво написаннаго въ тетради сего паломника, который могъ видѣть 1285 годъ въ рукописи Филоѳейской обители.

Въ этой рукописи намѣченъ 1285 годъ появленія уніи на Аѳонѣ при первомъ Палеологѣ. Но тогда царствовалъ уже не онъ, а сынъ его Андроникъ Старшій, который не терпѣлъ уніи не только на Св. горѣ, но и во всемъ государствѣ своемъ. Какъ же послѣ этого объяснить указаніе онаго года въ сей часъ названной рукописи? Согласно съ Евгеніемъ Вулгарисомъ, котораго письмо къ англичанину Клерку помѣщено выше, я полагаю, что въ ономъ году на Аѳонѣ бушевали латиномудренники-пираты и мучили тамошнихъ монаховъ, — тѣ пираты, отъ которыхъ приморскіе жители, по свидѣтельству Пахимера, бѣжали тогда въ горы, и присовокупляю, что это печальное событіе весьма кратко записано было подъ 1285 годомъ въ дополненіи къ чьему-либо повѣствованію о Палеологовой затѣѣ, не имѣвшему года. Кто же въ Филоѳеѣ переписывалъ это повѣствованіе, тотъ сіе допол-

неніе опустилъ, а 1285 годъ удержалъ, вообразивъ, что тогда же Аѳонитовъ мучилъ и Палеологъ.

Повторяю, что въ 1280 году на Аѳонѣ унію приняли лавра и Ксиропотамъ; монахи же иверскіе, карейскіе, ватопедскіе и зографскіе были замучены клевретами Михаила Палеолога, а въ 1285 году латины-пираты еще разъ врывались въ тамошнія обители и терзали насельниковъ ихъ.

№ 7.

— Θεοδώρα ἐν Χριστῷ τῷ Θεῷ πιστὴ αὐγοῦστα καὶ αὐτοκρατόρισσα Ῥωμαίων, δούκαινα, Κομνηνὴ ἡ Παλαιολογῖνα.

Οὐχ ὥσπερ ἐπὶ τῶν ἄλλων κατορθωμάτων, ὅσα τις ἐπὶ σωτηρίᾳ ἑαυτοῦ κατορθώσει δυνήσεται, οὕτω μοι καὶ ἐπὶ τῆς εὐσεβείας αὐτῆς δοκεῖ. Ἐκεῖνα μὲν γὰρ κρύπτειν καλὸν καὶ παντάπασι τηρεῖν ἀφανῆ, ἵνα ὁ βλέπων ἐν τῷ κρυπτῷ οὐράνιος πατὴρ καὶ Θεὸς ἀποδιδοίη ἐν τῷ φανερῷ· εὐσεβείας δὲ τὴν καὶ ἁπάσης ἀρετῆς πηγήν τε καὶ ἀρχὴν καὶ μητέρα τυγχάνουσαν οὐ κρύπτειν, ἀλλ' ἐμφανίζειν τοῖς πᾶσι καὶ δημοσιεύειν σωτήριον. Καὶ τοῦτό ἐστιν, ὡς ἔμοιγε φαίνεται, τὸ ἡμέτερον φῶς, ὃ τὰ ἱερὰ εὐαγγέλια ἔμπροσθεν τῶν ἀνθρώπων λάμπειν διακελεύεται. Διὰ τοῦτο οὔτε ποτὲ ἄλλοτε τὸ πρὸς Θεὸν εὐσεβὲς ὑπεστείλατο παραστῆσαι ἡ βασιλεία μου οὔτε νῦν ὑποστέλλεται, διατρανοῖ δὲ μᾶλλον καὶ διαβεβαιοῦται οὕτως ἐν πᾶσι πιστεύειν, ὡς καὶ ἄνωθεν ἡ τοῦ Θεοῦ ἐκκλησία ὁμολογεῖν καὶ πιστεύειν ἐδίδαξε. Τοῦτο οἶδε Θεὸς ὁ καὶ τὰ βάθη τῶν καρδιῶν ἡμῶν ἐρευνῶν, γινωσκέτωσαν δὲ καὶ πάντες ἄνθρωποι, ὡς οὐδὲν παρ' ἡμῖν φρόνημα ἕτερον, ἀλλὰ τὸ γνήσιον τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. Ἐπεὶ δὲ οὕτω φρονεῖ, τῇ τοῦ Θεοῦ χάριτι, καὶ οὕτω πρεσβεύει ἡ βασιλεία μου, δῆλον πάντως, ὅτι καὶ τὴν ὀλεθρίαν ὑπόθεσίν τε καὶ πρᾶξιν, τὴν οὐ καλῶς ἐν τῷ προλαβόντι χρόνῳ ἐπισυμβᾶσαν τῇ ἐκκλησίᾳ καὶ αὐτὴν εἰς τέλος συγχέασαν, ἐκ μέσης ψυχῆς ἀποστρέφεται, μισεῖ, βδελύττεται· εἴτε εἰρήνη, εἴτε οἰκονομία, εἴτε τι παραπλήσιον ἕτερον οὐκ ἀληθῶς ὠνομάζετο· καὶ τοὺς ἐπαινοῦντας ἔτι καὶ νῦν αὐτὴν καὶ πανκειμένους αὐτῇ πολεμίους ἡγεῖται τῆς τοῦ Θεοῦ ἐκκλησίας, ἐπιβούλους δὲ τῆς ἑαυτῶν σωτηρίας, ἐχθροὺς δὲ καὶ λυμεῶνας καὶ τῶν παραδεχομένων αὐτούς, καὶ ὡς προξένους ἐπωλείας ψυχῶν ἀποβάλλεται. Εἰ γὰρ καὶ τηνικαῦτα ὅσον εἶχεν ἐκείνη τὸ ψυχοβλαβὲς διελάνθανεν, ἀλλά γε νῦν οὐ λανθάνει τὴν βασιλείαν μου· ἐδίδαξε γὰρ αὐτὴν αὐτὰ τὰ πράγματα καὶ λόγοι μετὰ τῶν

πραγμάτων ἀληθεῖς τε καὶ βέβαιοι. Πλὴν ἡ βασιλεία μου καὶ τότε, τῇ χάριτι τοῦ Θεοῦ, ἐνισταμένης λέγω τῆς ὑποθέσεως, σφόδρα ἐβαρύνετο καὶ ἐδυσχέραινε τὸ ἀσύνηθες καὶ καινοφανὲς τοῦ πράγματος καὶ ἠγανάκτει ἐπ᾽ αὐτῷ· κἂν μὴ τὸ δεινόν, ὁπόσον ἦν, ἐξηπίστατο· καὶ ἐν τῷ παρόντι δὲ πολλῷ μᾶλλον ἀγανακτεῖ, σαφῶς ὁρῶσα τῆς οὐ καλῆς ἐκείνης ἐπινοίας οὐκ ἀγαθὸν ἀπαντῆσαι τὸ τέλος. Ἀλλὰ περὶ μὲν τούτων οὕτως ἔχει. — Ἐπεὶ δὲ τὸν Βέκκον διὰ τὰ βλάσφημα αὐτοῦ δόγματα, ἔτι δὲ καὶ τὸν Μελιτηνιώτην καὶ τὸν Μετοχίτην, ὡς ὁμόφρονας αὐτοῦ, ἡ τοῦ Θεοῦ κατεδίκασεν ἐκκλησία καὶ ἀπεκήρυξε καὶ τῆς κοινωνίας ἑαυτῆς ἠλλοτρίωσε, τοιούτους δεόντως αὐτοὺς ἡγεῖται καὶ ἡ βασιλεία μου ἀκοινωνήτους καὶ ἀποβλήτους, τῇ ψήφῳ τῆς ἐκκλησίας ἐξακολουθοῦσα. Ἐπεὶ δὲ τῇ αὐτῇ τοῦ Θεοῦ ἐκκλησίᾳ ἔδοξε καὶ τὸν ἐμὸν αὐθέντην καὶ βασιλέα καὶ ὁμόζυγον τελευτήσαντα μνημοσύνων τῶν νενομισμένων μὴ ἀξιῶσαι δι᾽ αἰτίαν τῆς ῥηθείσης ὑποθέσεως καὶ τῆς ἐντεῦθεν συγχύσεως, ἡ βασιλεία μου, τὸν τοῦ Θεοῦ προτιμοῦσα φόβον καὶ τὴν εἰς τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν εὐπείθειαν, στέργει καὶ καταδέχεται τὸ δοξαν καὶ ἐπὶ τοῦτο αὐτῇ καὶ οὐ μήποτε ἀναγκάσῃ μνυμόσυνα ποιεῖν ἐπ᾽ αὐτῷ τῷ αὐθέντῃ μου καὶ βασιλεῖ καὶ ὁμοζύγῳ μου οὐδὲ ἄλλο τι παρὰ τὸ διατεταγμένον αὐτῇ. Ἕπεσθαι γὰρ κατὰ πάντα καὶ ἀκολουθεῖν αὐτῇ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ ἡ βασιλεία μου βούλεται, τὴν ἰδίαν πάντως ἐντεῦθεν σωτηρίαν οἰκονομοῦσα καὶ τὴν εὐσέβειαν ἑαυτῆς γνωρίζειν τοῖς πᾶσι καὶ φανερῶς ἐθέλουσα, ἣν ἄνωθεν ἐκ πατέρων παραλαβοῦσα καὶ μέχρι τοῦ παρόντος χρόνου συζήσασα φυλάξει καὶ ἕως τέλους τῇ τοῦ πλάσαντος Θεοῦ φυλαττομένη δυνάμει.

Εἶχε καὶ βούλλαν χρυσῆν ἀπηωρημένην κάτωθεν δι᾽ ὀξείας μετάξης, φέρουσαν ἐν μὲν τῷ ἑνὶ μέρει τὴν ὑπέραγνον θεοτόκον βρέφος κρατοῦσαν, ἐν δὲ τῷ ἑτέρῳ τὴν στήλην τῆς ἁγίας δεσποίνης.

№ 8.

— Въ книгѣ, въ большой листъ, подъ названіемъ: «Іоаннъ, ексархъ Болгарскій», — напечатанной Константиномъ Калайдовичемъ въ Москвѣ въ 1824 году, помѣщено на стран. 164—166: *Послѣсловіе грамматика Θеодора при первой половинѣ Шестоднева сего ексарха:*

Въ име ѿца и сна и ст҃аго дх҃а, изволенiемъ Спса нашего іс҃ х҃а, и молитвами прч҃тыѧ кго мт҃ре. и поспѣшенiемъ ст҃аго дх҃а. Въ лѣ ,ѕѱоа, въ цр҃тво вѣговѣрнаго цр҃ѣ грѣческаго кирь Михаила Палеѡлога,

цр҃твоующю и҆моу въсточнъими зємлѣми и западнъими. а нашемоу гн҃оу. вьноукоу ст҃го Сумеѡна. а҆ пръвовѣнчанаго кралѣ кур҃ Стефана. младѣйшемоу сн҃оу его въ всей братии. а прѣволышемоу и҆ прѣвеликоѡмоу кралоу. кур҃ Стефаноу ѳрошю. въ своемь о҃чьствѣ самодръжавно вл҃чьствоующю всѣми срьбьскыми зємлѣми и҆ поморскъими. при прѣѡс҃щенѣмъ архиепископѣ нашемъ Арсенїи. и҆ при бл҃женѣмь и҆ пр҃пвнѣмъ ѡ҆ц҃и нашемъ ст҃огорьсцѣмъ протѣ кир҃ Арсении. и҆ тъгда же прѣдръжещю кръмило Хълан҃дарскиѥ лавры пр҃пвноумоу ѡ҆ц҃оу нашемоу игоуменоу кур҃ Ювстадию. И҆ въ д҃ни тѣхъ ст҃ыхъ написаше се сиѥ книгы въ ст҃ѣи горѣ въ пиргоу въ мѣстоу Прѣѡбражениа Сп҃сова, въ сихастирии ст҃ыѥ Бц҃е Хиландарьскъıѥ лавры. роукою граматика Ѳеѡдора. а повелѣниѥмъ и҆ потроужѣниѥмъ пр҃пвьнаго ѡ҆ц҃а Доментиана кромона҃. боудоуща тъгда доуховника всего братьства Хиланьдарскъıѥ лавръı. и҆ ѥко г҃ъ вѣстъ. не имѣниа р҃а сего свѣта. нъ мт҃и р҃а бж҃иѥи ѡ҆наго свѣта некончаѥмаго. и҆ воудѹщихъ р҃а бл҃гъ наслаждениа и҆ въздания нетлѣ҆наго, в немже некончаѥмаа радость въ бесконечныѥ вѣкъı аминъ. И҆ самомоу Бг҃оу свѣдоущоу. ѥко съ великъımъ троудомъ и҆ съ великовъ печалию и҆ съ великовъ ницетовъ, ѥко г҃ъ вѣстъ, и҆ своѥвъ д҃шовъ заложивъ добы҃ сихъ книгъ. да по см҃рти моеи҆ где и҃ положоу. да ми соу оу҃ вѣчноую паметъ. и҆ иже се ѡбрѣте тоу да ме помѣноуѥтъ. а того бг҃ъ да помѣне въ цр҃твѣ нб҃нѣмъ. Аще ли кто любо ѡбрещеть се и҆ дръзнетъ и҆зети и҆ ѿ того мѣста. коимь любо оузрокомъ. да и҆ма клетвоу ѿ бг҃а и҆ ѿ ст҃ыѥ бц҃е. и ѿ ст҃ъ а҃пл. и ѿ ст҃ъ пр҃рк. и҆ ѿ пр҃пвьныхъ ѡ҆ц҃ь. и҆ ѿ всѣ҃ ст҃ы҃. ѿ вѣка оугожьшинхъ бг҃оу. а и҆ ѿ мене грѣшьнаго тоу҃же клетв҃ да и҆ма. А҆ г҃оу нашемоу і҃с х҃оу цр҃твоующомоу въ вѣкы и҆ на вѣкы. давьшомоу начетъкъ и҆ коньць силъ книгамъ. томоу слава и҆ дръжава и҆ безначелиѥ въ бесконечныѥ вѣкъı аминь. амн҃. аминъ.

Послѣсловіе грамматика Ѳеодора второй половины Шестоднева.

Хвалоу тебѣ въ҃даю вл҃ко. ѥко симъ книгамъ начетокъ ми вы҃. мнѣ же дарова и҆ коньць. Благааго ц҃рѣ бл҃гаа мт҃и. прс҃таѩ ми влч҃це бц҃е. Ѳеѡ҃ра. много вечисла грѣшна соущи. раба твоего. хоудаго и҆ подавленаго вльнами мира сего соущтнаго. троудившаго се ѡ҆ сиеи҆ книзѣ с любовию. въ славоу и҆ хвалоу сн҃а твоего. г҃а нашего и҆ спса і҃с х҃а. сде ѳво

покрывай ме и съблюдай. ѿганѣющи различныхъ недоугъ. дшевныхъ же и тѣлесныхъ стрѣлъ. ѡнамо же сна твоего ха. матика ми твореци.

Сие же книгы писахоу се повелѣниемъ и потроужениемъ стаго и прѣвнаго ѡца нашего. бгоумнаго иеромонаха Доментиана. вѣдоуща тъгда дхвьника Хиландарскыѥ лавры. истаго книголюбца. и ꙗко по истинѣ рещи великаго бголюбьца. емоу же похвала на нбхъ ѿ самого ба и ѿ стхъ агглъ его. за бжтвьноую его любовь. юже иматъ къ самобгомоу источнику мати. и за свѣние его стое. иже соуть стыѥ книгы. Мнѣ же. спаноу соущоу. пришѣшю въ стоую гороу. и единo лѣто створшю ми. и ѡбрѣте ме сии холюбивый ѡць мой, и разоумѣ ѿ мене. ꙗко стыѥ книгы разоумѣю прописовати. и ѡ ги свѣщаховѣ. ꙗко томѹ быти. аще гъ въсхоще. Въ тыи же дни гонению въставшю на спаныѥ ѿ прота и ѿ стгорьць. и изгнаше многы ѿ стыѥ горы. и мене коупно с ними. и изидохъ в Солоуньскый гра. и тамо створшю ми половинѹ годинѹ. и ѡць же мои блжныи. вынѹ горе дхмь стмь. не ѡстави желания срца своего. и прише. и изве ме ѿ Солуньскаго гра. и свои боразѹмиемъ оуведе ме паки ѵ стѹю горѹ. и име гне призвавша. ѡ ги начеховѣ книгы сиѥ. и писавшю ми да полокины ѱ (до листа 132). и завистнѣ дивволъ вложи въ срце нѣкомоу соупротивникѹ моемоу. и ѡбаженоу ми бывшю къ протѹ. и многы послы пославшю къ ѡцоу моемоу за мене. и по истинѣ же блгыи ѡць и чедолюбьць не хотѣ ме поустити единого. да не ѡзловленъ боудѹ. ни казни примоу. ꙗко же и прочии. И приспѣвшю прадѹ оуспениа стыѥ вце. и ѡць мои поемь ме. иде въ зборъ стхъ ѡць. и ѡбрѣтохоѵѣ прота вельми гнѣвна и люто ѡбоцрена шнѣмъ врагомь моимь. ѵпрошеноу же бывшѹ ѡцю моемоу протомъ ѡ мнѣ. и много ѡпечали ѡца моего ѡ мнѣ. и бѣ бъ вѣаше съ ѡцемъ моимь. и не да его до конца протоу ѡзловити. Мнѣ же стоющю и възирающю на ѡбразъ печаленъ ѡца моего. и великою жалостию задрьзахъ. да ѡци и братиа вѣрѹ ми имѣте. минеци ми се. ꙗко и на второмь пришествии. и ѡжидающю. коею казнию ѡсоужоу ми быти. нъ мардиемь бжиемь и мтвами ѡца моего. схрани ме бъ ѿ всѣ казнии. изречены на ме ѿ прота. коньчное же паки соужено ми въ изгнати ме паки ѿ стыѥ горы. и тѹ не ѡстави ме ѡць мои. нъ прѣда ме оу метоухию Хиландарскоу. И гемь наставлѣюмь. и мтвами ѡца моего ѡкрьмлѣюмь. конча

и дроугоую половиноу. и ѿць мои своего бл҃ниⷯ не ѡблиши ме. и мои трⷭдъ вьсь испльни. а ѿца моего бо҃ да не ѡблиши своѥ҃ мт҃ри сде и въ бесконечныѥ вѣкы. амн҃. амн҃. амн҃.

(Шестодневъ, составленный Іоанномъ, екзархомъ болгарскимъ. Изд. (по сп. 1263 г.) Общ. Ист. и Др. Рос. М. 1879, лл. рл҃кб — рл҃гб, сн҃г — сн҃д).

№ 9.

Ἀφιερωτικὸν Ἄννης Τορνικίνης Πιγκερνίσσης 6851=1353 года, мѣсяца августа, индикта 6-го, на широкомъ пергаминѣ.

+ Ἀναδιδαχθεῖσα πρότερον προτροπῇ δεσποτικῇ πατριαρχικῇ τὸν βοηθοῦντά μοι νόμον ἐπὶ τῷ δοτῷ προικώ μοι κτήματι καὶ ἀποβαλλομένη τὴν ἀπὸ τοῦ νόμου βοήθειαν, προέταξα οἰκείῳ χειρί +

ауа торникина нпгєрнісаѕ+

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Δημήτριος Τορνίκιος + ὁ Πιγκέρνης +.

σίγνον	Ἰῶ Καντα-	σίγνον	Ἀνδρονίκου	σίγνον	Μαρίας	σίγνον	Εἰρήνης
κουζηνοῦ	τοῦ υἱοῦ αὐτῶν	τοῦ ἐτέρ	ου υἱοῦ αὐτῶν	αὐτα	δέλφης τούτων	ἐτέρας	αὐταδέλφης τούτων.

+ Ἄννα Πιγκέρνισσα ἡ ἄνωθεν πρωτοτύπως προτάξασα οἰκειοχείρως, συνενίᾳ τε καὶ ὁλῃ γνώμῃ καὶ τοῦ αὐθέντου μου τοῦ συζύγου μου καὶ τῶν φιλτάτων ἡμῶν παίδων Ἰωάννου, Ἀνδρονίκου, Μαρίας καὶ Εἰρήνης. — Ἐπειδὴ περιῆλθε πρὸ χρόνων οὐκ ὀλίγων ἀοιδίμῳ καὶ μακαρίτῃ αὐθέντῃ καὶ πατρὶ μου τῷ παρακοιμωμένῳ διὰ θείου καὶ σεπτοῦ χρυσοβούλλου, κατὰ λόγον γονικότητος, μετὰ τῶν ἄλλων εἰς τὴν Ζαβαλτίαν περὶ τὸν Πάνακα ἡ Βελτζίσθα λεγομένη, ἐπανῆλθον δὲ ταῦτα καὶ πρὸς μὲ εἰς προῖκα, εἶτα τοῦ καιροῦ ἀνωμαλίᾳ καὶ πολλῇ συγχύσει κατεκράτησαν καὶ ταῦτα οἱ Σέρβοι, καὶ ὑπὸ χειρὶ αὐτοῖς τελοῦσιν ἕως δεῦρο, ὁ δὲ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν Θεός, κρίμασι οἷς οἶδεν, ἐξαπέστειλε τοὺς ἑαυτοῦ δούλους, τόν τε μέγαν στρατοπεδάρχην κύριον Ἀλέξιον καὶ τὸν μέγαν πριμμικηριον κύριον Ἰωάννην, τῇ ἄνωθεν ἀμάχῳ βοηθείᾳ κατισχύοντας ὑπερβαλλόντως τῶν ἐχθρῶν ἡμῶν, ἐργαζομένους καὶ διαπράττοντας ὅσα Θεῷ φίλον καὶ τοῖς γνησίοις αὐτοῦ θεράπουσιν, ἐχω δὲ θάῤῥος καὶ

βεβαίαν πληροφορίαν εἰς αὐτὸν τὸν Θεόν, ὅτι καὶ μετὰ τῆς οἰκείας αὐτῶν ἰσχύος καὶ συνδρομῆς μέλλουσι περιγενέσθαι οὗτοι καὶ τοιούτου τοῦ κτήματός μου τῆς Βελτζίσθας· διὰ τοῦτο ἑκουσίᾳ τῇ γνώμῃ καὶ ἀμεταμελήτῳ τῷ τρόπῳ τὸ παρὸν ἐκτίθεμαι γράμμα πρὸς τοὺς διαληφθέντας, τόν τε μέγαν στρατοπεδάρχην καὶ τὸν μέγαν πριμμικήριον, ὡς ἐὰν εὐδοκήσῃ ὁ Παντοκράτωρ Θεός, εἰς ὃν πᾶσαν τὴν ψυχὴν αὐτῶν ἀνήρτησαν καὶ φροντιστήριον θεῖον ἀνεδείμαντο ὑπὲρ αὐτοῦ, καὶ διὰ τῆς τούτων καὶ μόνων ἰσχύος καὶ συνδρομῆς περιγένωνται τοῦ εἰρημένου κτήματός μου τῆς Βελτζίσθας πρὸ τοῦ ἵνα εὐδοκήσῃ ὁ Θεός, καὶ ἐπανέλθωσι τὰ ἐκεῖσε ὑπὸ χεῖρα τῆς βασιλείας τῶν Ῥωμαίων, ἵνα τὸ μὲν ἥμισυ μετὰ καὶ τῆς ἡμισείας νομῆς καὶ περιοχῆς αὐτοῦ κατέχωμεν ἡμεῖς αὐτοὶ οἱ προκάτοχοι δεσπόται, ὃν τρόπον καὶ προκατείχομεν κατὰ τὴν ἰσχὺν καὶ δύναμιν τοῦ θείου καὶ σεπτοῦ χρυσοβούλλου, τὸ δὲ λοιπὸν ἥμισυ κατέχωσιν οὗτοι κατὰ ἀναφαίρετον δεσποτείαν καὶ κυριότητα μετὰ καὶ τῆς προσούσης αὐτῷ ἡμισείας νομῆς καὶ περιοχῆς εἰς ἀφιέρωσιν καὶ ἀνάθημα τοῦ αὐτοῦ φροντιστηρίου τοῦ Παντοκράτορος σωτῆρος Χριστοῦ, καθὰ ὁλοψύχως ἠρετίσαντο καὶ ἔχουσι δι' ἐφέσεως. καὶ μηδαμοῦ μηδολως ἔπειτα βουληθῆναι αὐτὴ ἐγώ, ὁ αὐθέντης μου ὁ ἀνήρ μου ἤ τις τῶν ἡμετέρων παίδων καὶ τῶν καθ' αἷμά μοι προσοικειωμένων ἀνακαλέσαθαι καὶ τὴν τοιαύτην ἡμίσειαν μερίδα τὴν περιελευσομένην αὐτοῖς, ὡς προικῶαν μοι. ἀποβάλλομαι γὰρ τὸν βοηθοῦντά μοι νόμον ἐν τούτῳ, καὶ ἀπρόσδεκτοι ἐσόμεθα ἐν παντὶ ὑπερέχοντι προσώπῳ καὶ κριτηρίῳ, καὶ ἀποκλεισθήσεται ἡμῖν πᾶσα θύρα δικαιολογίας, εἴπερ κινήσομεν ἤντινα οὖν ἀγωγὴν κατ' αὐτῶν εἰς συνοίκημα ἡμῶν τῆς τοιαύτης ἕνεκεν ἡμισείας μερίδος, οφειλόντων καὶ αὐτῶν μηδαμοῦ μηδολως ἀποσπάσαι καὶ ἀφαιρῆσαι καὶ τὴν ἡμετέραν ταύτην ἡμίσειαν μερίδα τοῦ τοιούτου κτήματός μου καθ' οἱονδήτινα τῶν ἁπάντων τρόπον ἢ πρόφασιν εὔλογόν τε καὶ δίκαιον ἐν μέρει ἢ καθ' ὅλου, ἀφ' ὧνπερ θελήσομεν παραπέμψαι αὐτήν, εἴτε ἐν ζῶσίν ἐσμεν, εἴτε καὶ μετὰ τὴν τελευτὴν ἡμῶν. Οἷος γὰρ ἀφ' ἡμετέρων τῶν μερῶν βουληθείη παρὰ τὰ συμπεφωνημένα τῷδε τῷ γράμματι χωρίσαι ἢ συσταλίσαι μερίδιον ἢ καθ' ὅλου, ἢ καὶ ὁ διαδεξομενος τὴν λαχοῦσαν αὐτῷ ἡμίσειαν μερίδα· ὁ τοιοῦτος, κἂν ὁποῖος καὶ εἴη, ἵνα ἐπισπᾶται τὰς ἀρὰς τῶν τιη θεοφόρων πατέρων, καὶ ἡ μερὶς καὶ ὁ κλῆρος αὐτοῦ ᾖ μετὰ τοῦ προδοτου Ἰούδα, καὶ ὑπὸ τὸ αἰώνιον ἀνάθεμα ἔσται. — Ταῦτα ἐγράφη προτροπῇ ἡμετέρᾳ διὰ τὰ βουληθέντα ἐνώπιον τῶν ὑπογραψάντων καὶ ἐπεδόθη τοῖς διαληφθεῖσι, τῷ τε μεγάλῳ στρατοπεδάρχῃ καὶ τῷ μεγάλῳ πριμμικηρίῳ, εἰς ἀσφάλειαν, κατὰ μῆνα αὔγουστον τῆς ϛ' ἰδικτιῶνος τοῦ ,ϛωξα' ἔτους.

† Ἄννα Τορνίκινα ἡ Πιγκέρνισσα.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Δημήτριος Τορνίκιος † ὁ Πιγκέρνης +

† Προτροπῇ δεσποτικῇ καὶ πατριαρχικῇ ἐρωτηθεῖσα παρ' ἡμῶν ἡ Πιγκέρνισσα καὶ ἀναδιδαχθεῖσα τὸν βοηθοῦντα αὐτῇ νόμον ἐπὶ τοῖς προικῴοις αὐτῇ πράγμασιν ἐπειδὴ ἀπεβάλετο τὸ οἰκεῖον αὐτῆς δίκαιον ὁλοψύχως καὶ στέργειν ἐπηγγείλατο εἰς τὸ διηνεκὲς τὴν τοιαύτην ἔγγραφον ἔκδοσιν, ἐπεγράφη βεβαιώσεως ἕνεκα καὶ παρ' ἡμῖν +

† Ὁ ταπεινὸς μητροπολίτης Χριστουπόλεως Μακάριος +

† Ὁ μέγας σκευοφύλαξ.... μεγάλης ἐκκλησίας....

† Θν ὁ Παρδολέων μαρτυρῶν ὑπέγραψα +.

№ 10.

— Πάσῃ μὲν νοητῇ κτίσει καὶ αἰσθητῇ ὁ ταύτην κατ' ἀρχὰς οὐσιώσας ἀῤῥήτῳ λόγῳ καὶ συστησάμενος ὄρους ἀληθῶς καὶ βάθρα ὥσπερ τι θριγγίον ἀσφαλὲς ἐπήξατο καὶ χαράκωμα καὶ δέν τι τῶν ἁπάντων ἀορίστως κατέλιπεν, ὁπερ ἂν τὴν ὁρμὴν ἔχῃ καὶ φύσιν καὶ κίνησιν, περιάγεσθαι καὶ τῶν δεόντων ἔξω που μεταβαίνειν καὶ προχωρεῖν, ὡς ἂν μὴ τῇ ἀτάκτῳ καὶ ἀσχέτῳ ἑκάστου τῶν ὄντων ῥοπῇ ἀντ' εὐταξίας εἰς ἀκοσμίαν καὶ σύγχυσιν τὸ αὐτοῦ κάλλιστον καὶ ἐξαίρετον δημιούργημα συμβαίνῃ περιπίπτειν ἐκ τῆς πρὸς ἄλληλα μεταβάσεως. Ἐντεῦθεν ἄρα καὶ οἱ τῆς εὐσεβείας κήρυκες καὶ διδάσκαλοι, τῷ κανόνι τούτῳ στοιχήσαντες καὶ ὡς ὑποδείγματι καὶ εἰκόνι χρησάμενοι, τὰς ἑαυτῶν εἰσηγήσεις τε καὶ νομοθεσίας ὅροις κατησφαλίσαντο καὶ ἐκράτυναν καὶ μηδέν τι προστιθέναι ἢ ἐλλείπειν γενικῶς ἀπεῖρξαν καὶ ἀπεφήναντο, εἰ μή που καὶ ἤτι τούτοις ἕτερον παραπλήσιον τύχῃ παρεμπῖπτον ἀναγκαιότατον, καθὰ πολλάκις συμβαίνει γίνεσθαι, ὡς δοκεῖν μὲν ἀλλότριον, τῇ δ' ἀληθείᾳ καὶ τῇ τοῦ Θεοῦ ἁγίᾳ ἐκκλησίᾳ ὀρθὸν καὶ ἁπλανὲς καὶ μὴ ἀλλότριον κρίνεσθαι μηδὲ τῇ κανονικῇ τηρήσει καὶ παραδόσει ἀντιπρᾶττον ἀριδήλως καὶ λυμαινόμενον· μὴ προκειμένου δὲ τοιούτου σκοποῦ μηδὲ τοῦ πράγματος ἀπαιτοῦντος ἀναγκαίως καὶ ἐκβιάζοντος, οὐκ ἔστι πάντων συνοῖσον οὐδὲ θεμιτὸν ὅρια πατέρων ὑπερβαίνειν καὶ παρεκκλίνειν τοῦ νενομισμένου καὶ τοῦ καθήκοντος. Εἴπερ γὰρ τοῦτο δοθείη, συμβαίη ἂν ἐπακολουθῆσαι πάντως καὶ ἄτοπα, ὡς καὶ πολλὰ πολλάκις τοιαῦτα εἴωθε γίγνεσθαι. Διάτι τοῦτο καὶ ὑπερβολὰς καὶ ἐλλείψεις ἐπὶ τοῖς κειμένοις ὅροις

καὶ κανόσι οὐ χρὴ τὸ παράπαν ἐγγίνεσθαι. Μεσότης γὰρ ἐπὶ πᾶσι καὶ ὁ τοῦ συμμετρου λόγος τῇ ἐπαινουμένῃ καὶ ἀρίστῃ μοίρᾳ παρὰ τῶν εὖ εἰδότων κρίνειν ὀρθῶς ἐντέτακται καὶ καθέστηκεν. Ἐπεὶ καὶ πῶς ἂν καὶ σῶμα λεχθείη πληρέστατόν τε καὶ ἄρτιον, ᾧ συμβέβηκέ τι ἔχειν μέρος ἐλλεῖπον ἢ περιττεῦον; ἢ πῶς ἂν εἴποι τις ὡς ἀσφαλῶς καὶ δικαίως τόδε τι κατ' ἰσομοιρίαν μεμέρισται, μὴ καὶ τῶν μερῶν αὐτοῦ ἐξ ἴσου διανενεμημένων, ἀλλ' ἑνός ἐκ τούτων πλεονασμὸν ἢ ἔλλειψιν κεκτημένου; ἀλλ' οὐδ' ἀστρονόμος ἢ γεωμέτρης καὶ τῆς λοιπῆς αὐτῶν συμμορίας καὶ ἐπιστημονικῆς φιλοσοφίας δύναντ' ἂν ὀρθῶς καὶ ἀσφαλῶς τελεσιουργῆσαι συμπέρασμα, μὴ τῶν ὅρων καὶ κανόνων ἢ καὶ προτάσεων εὖ συντηρουμένων αὐτοῖς καὶ μενοντων ἐν ἀκριβείᾳ. Ἀλλ' εἰς τί ταῦτα τῇ βασιλείᾳ μου λέλεκται;

✱ Τὸ ὄρος τοῦ Ἄθω ἐστὶ μὲν ὡς ἀληθῶς τά τε ἄλλα θαυμαστὸν καὶ τερπνότατον καὶ τῶν πρὸς ἀνατολάς κειμένων καὶ διαβεβοημένων οὐκ ἔλαττον, εἰ δὲ καὶ παράδεισον ἕτερον ἢ κατάστερον οὐρανὸν ἢ καὶ ἀρετῶν πασῶν καταγώγιον τοῦτ' ἄν τις καλέσειεν, οὐκ ἂν ἁμάρτοι τοῦ δέοντος. Σεμνεῖα γὰρ ἐκεῖσε καὶ εὐαγῆ φροντιστήρια ἔστιν ἰδεῖν κάλλει τε καὶ μεγέθει καὶ τοῖς ἄλλοις πᾶσι τερπνοῖς ἐνευθηνούμενα καὶ ὡραιζομενα, ἔτι τε μοναζόντων τάγματα καὶ συστήματα κρείττω μὲν σχεδὸν ἀριθμοῦ, θεωρίᾳ δὲ καὶ πράξει κοσμούμενα καὶ ὡς ἀστέρας δεικνύμενα φαεινοὺς τῇ τε τοῦ βίου φαιδρότητι καὶ τῷ ἔξω κόσμου καὶ σαρκὸς εἶναι καὶ τὰ θεῖα διὰ παντὸς μελετᾶν καὶ τούτων κατατρυφᾶν ὡς ἐνὸν κἀκεῖθεν τὸν φωτισμὸν καὶ τὰς ἐλλάμψεις εἰσδέχεσθαι καὶ μηδὲν ἄλλο ποθοῦντας ἢ τὸ ἀναλῦσαι καὶ συνεῖναι Χριστῷ. Ταῦτά ἐστι τὰ ξύλα, ἃ ὁ Κύριος ἐφύτευσε τοῖς τοῦ θείου πνεύματος καρποῖς ἐπιβρίθοντα, οὗτοί εἰσιν οἱ ἐν ἐρημιαις καὶ ὀρεσι διατρίβοντες καὶ σπηλαίοις καὶ ὀπαῖς τῆς γῆς συγκλειόμενοι, περὶ ὧν ὁ θεῖος Παῦλος φησίν. Ἐκ δὴ τῆς τούτων ἀρετῆς καὶ ὑψηλῆς πολιτείας καὶ ἀγωγῆς καὶ τὴν τῆς ἁγιωσύνης ἐπωνυμίαν τὸ ὄρος τοῦτο προσείληφε κατὰ τὸ εἰκός. Εἰ δὲ καὶ εὔθετον ἔλαχεν εἶναι τοῦτο καὶ δεξιὸν καὶ ἄγαν ἁρμοδιώτατον εἰς ὑποδοχὴν ἀνδρῶν σπουδαίων καὶ εὐλαβῶν ἢ καὶ ἄλλως ἀρετῆς μείζονος προξενον καὶ ἁγιότητος τοῖς ἐν αὐτῷ διατρίβουσι κἀντεῦθεν καὶ τὴν προσηγορίαν ταύτην μετείληφε, καὶ τοῦτο πάντως οὐ πόρρω τῆς ἀληθείας ἐστίν. Οὐκοῦν οἱ πρὸ ἡμῶν ἀοιδιμοι βασιλεῖς τὴν τοιαύτην τῶν ἀνδρῶν τούτων βιοτὴν καὶ πολιτείαν ἐκθειάσαντες καὶ ὑπερβαλλόντως ὑποδεξάμενοι, θείῳ ἔρωτι κινηθέντες καὶ ζεούσῃ καρδίᾳ πρὸς εὐποιίαν τῶν αὐτῶν μοναχῶν, τήν τ' ἐλευθερίαν αὐτοῖς διὰ χρυσοβούλλων ἐδωρήσαντο λόγων καὶ ἄλλ' ἄττα εἰς ἀφορμὴν

τοῦ ἑαυτῶν βίου καὶ σωματικὴν παραμυθίαν καὶ σύστασιν, ὡς ἂν μὴ διὰ ταῦτα εἰς τὸ τῆς ἡσυχίας ἔργον μηδὲν τὸ προσιστάμενον ἔχοιεν ἐπὶ τοῖς ὑπὲρ ἀρετῆς ἀγωνίσμασιν. Ἐπαίρετόν μὲν οὖν τοῦ τρόπου τῆς εὐποιίας, ἀλλ' ἔλαθον ἑαυτοὺς τῇ ἐλευθερίᾳ ταύτῃ ἐγκαταμιξαντες καί τι τῶν οὐ προσηκόντων. Διεπράξαντο γὰρ καὶ ἐθέσπισαν εἶναι καὶ εὑρίσκεσθαι Πρῶτον ἐν τοῖς αὐτοῖς μοναχοῖς, παρ' αὐτῶν μὲν τῶν μοναχῶν ἐκλεγόμενον καὶ εἰς τὸ αὐτὸ πρωτεῖον ἐγκαθιστάμενον, τοῦτον δὲ πάλιν πνευματικῶς αὐτοὺς ἀνακρίνοντά τε καὶ διιθύνοντα, αὐτὸν δὲ ὑφ' ἑαυτοῦ οἰκονομούμενον καὶ διεξαγόμενον καὶ μήτε πρὸς ἁγιωτάτου πατριάρχου μήτε μὴν παρ' οἱουδήτινος ἑτέρου ἀρχιερέως λαμβάνειν σφραγῖδα κατὰ τὴν ἐκκλησιαστικὴν παρατήρησιν. Ὅπερ δῆτα καὶ ἦν τοῦ ἀντικειμένου ὑποβολή καὶ ἐνέργεια, τοῦ ἀεὶ μὲν τοῖς ἀνθρώποις βασκαίνοντος ἐπ' ἔργοις ἀγαθοῖς καὶ παρεμποδίζοντος, βασκήναντος δὲ κἀνταῦθα καί τι τῶν μὴ δεόντων προξενήσαντός τε καὶ παρεγείραντος ἐπὶ τοῖς λαμπροῖς τῶν βασιλέων ἐκείνων ἀριστεύμασί τε καὶ προτερήμασιν. Ἀλλ' οὐκ εἴασε τοῦτο ἡ τοῦ Θεοῦ ἀγαθότης, ἡ τὰ πάντα καλῶς κυβερνῶσα καὶ διεξάγουσα, μένειν διὰ παντὸς ἀνίατόν τε καὶ ἀδιόρθωτον, ἀλλ' ὥσπερ ἑκάστῳ ἄλλο καὶ ἄλλο τι ἐκ τῶν αὐτοῦ πλουσίων δωρημάτων ἀποχαρίζεται, οὕτως κἀμοὶ τὴν χάριν ταύτην ἐπεχορήγησε. Κινεῖται γὰρ ἡ βασιλεία μου * ὑπὸ τῆς αὐτοῦ χάριτος καὶ ἔννοιαν λαμβάνει τοῦ ἐπισυμβάντος οὕτω μὴ προσηκόντως κἀντεῦθεν καὶ πρὸς τὴν τοῦ πράγματος διόρθωσιν διανίσταται καὶ παντὶ τρόπῳ τὸ δέον ἐπιζητεῖ ὁμοῦ μὲν πρὸς ἀποδοχὴν καὶ εὐαρέστησιν τοῦ Θεοῦ, ὁμοῦ δὲ καὶ τὸ προγεγονὸς ἐκεῖνο ἐπανορθῶσαι ποθοῦσα ἡ βασιλεία μου. Βασιλεῦσι καὶ γὰρ προσῆκόν ἐστι μάλα καὶ δίκαιον, εἴ τί που τοῖς πρὸ αὐτῶν τύχοι παρασφαλέν, ἐπιζητεῖν προθύμως τὴν εἰς τοῦτο θεραπείαν καὶ ἐπανόρθωσιν. Μέντοι γε καὶ τόνδε τὸν σκοπὸν καὶ τὴν πρόθεσιν ταύτης ἡ βασιλεία μου γνωρίζει σαφῶς καὶ κοινοποιεῖται πᾶσι τοῖς ἐν τῷ δηλωθέντι ὄρει ποιουμένοις τὴν ἄσκησιν, ὅσοι τε εἰς προστασίας καὶ ἡγουμενείας, ὅσοι ἐν ἡσυχίᾳ καὶ ὅσοι ἐν κοινοβίοις τυγχάνουσιν, εἰσηγεῖται τούτοις καὶ παραινεῖ τὰ λυσιτελῆ καὶ σωτήρια ὑπὲρ τοῦ προκειμένου σκοποῦ, ὡς ἂν δηλονότι ὁ κατὰ καιροὺς εἰς Πρῶτον εὑρισκόμενος ἐν αὐτοῖς δέχηται σφραγῖδα ἀρχιερατικήν. Δέχονται ταῦτ' ἀσμένως, ὡς εὐγνώμονες ὑπήκοοι τῶν δεσποτικῶν ἐντολῶν, καὶ τῆς πρὸς αὐτοὺς τοιαύτης κηδεμονίας καὶ προμηθείας χάριν οτι πλείστην ὁμολογοῦσι τῇ βασιλείᾳ μου καὶ λαμβάνειν μὲν τὸν Πρῶτον αὐτὸν σφραγῖδα συντίθενται, ἀλλ' αἰτοῦσι μὴ παρ' ἐπισκόπου ἢ ἑτέρου ἀρχιερέως τινός, ἀλλ' ἢ παρὰ μόνου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου. Οὐκοῦν καὶ ἐκπέμπουσι μετὰ πλείστης

προθυμίας καὶ ἡδονῆς τὸν νῦν εὑρισκόμενον εἰς αὐτοὺς ὁσιώτατον Πρῶτον ἱερομόναχον κύριον Θεοφάνην. Ὃς καὶ καταλαβὼν ἐνταυθοῖ δέχεται αὐτίκα σφραγῖδα πρὸς τοῦ παναγιωτάτου μου δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν τε καὶ συνήθειαν. Κἀντεῦθεν καὶ τίμιον ἀπολύεται γράμμα τούτου σιγιλλιῶδες, δικαιοῦν ὡς αὐτὸν δὴ τοῦτον τὸν ὁσιώτατον Πρῶτον, καθεξῆς δὲ καὶ τοὺς λοιπούς, ὑπὸ τὴν πατριαρχικὴν τοῦτο τὸ μέρος ἐπισταστίαν τελεῖν καὶ παρ' αὐτῆς δέχεσθαι τὴν σφραγῖδα προηγουμένως, εἶθ' οὕτως εἶναί τε καὶ ἀκούεσθαι Πρῶτον, ὡς ἂν ἐντεῦθεν τὴν θείαν χάριν οὗτος λαμβάνων καὶ τοῖς ἑτέροις ὁμοιοτρόπως μεταδιδῷ, οὓς ἂν δηλονότι διακρίνῃ ἀξίους εἶναι καὶ ἱκανοὺς εἰς πρστασίας καὶ ἡγουμενείας τῶν ἐκεῖ διακειμένων σεβασμίων μονῶν. Τοῦτο γὰρ καὶ μόνον ἐστὶ ἐλλεῖπον τοῖς ἐκεῖσε μέχρι τοῦ νῦν, ἤδη καὶ πρὸς ἀναπλήρωσιν τῆς νενομισμένης ἐκκλησιαστικῆς τάξεως ἐπιδέδοται. Τὴν δ' ἄλλην πᾶσαν ἐλευθερίαν αὐτῶν ἔχειν αὐτοὺς ἀμετάτρεπτον καὶ ἀμεταποίητον τὸ δηλωθὲν τίμιον σιγιλλιῶδες γράμμα ἐπιβεβαιοῖ καὶ ἐπικυροῖ. Ἔτι γε μὴν ἀποχαρίζεται αὐτὸς οὗτος ὁ παναγιώτατός μου δεσπότης οἰκουμενικὸς πατριάρχης διὰ τοῦ ῥηθέντος τιμίου σιγιλλιώδους αὐτοῦ γράμματος τῷ δηλωθέντι ὁσιωτάτῳ Πρώτῳ καὶ τοῖς μεθ' αὐτὸν καθεξῆς χάριν τοιάνδε, ἵνα δηλονότι ἐν τῷ λειτουργεῖν αὐτοὺς τῷ Θεῷ μετὰ τῶν ἱερῶν ἐπιγονάτων τὴν τοιαύτην λειτουργίαν ἐπιτελῶσι, πολλὰ πολλὰ καὶ ὑποθεμένης καὶ αἰτησάσης τοῦτο τῆς βασιλείας μου, ὡς μὴ ὂν ἐνδεδομένον πρότερον οὐδὲ σύνηθες, ἀλλ' ἄρτι πρώτως ἐγκαθιστάμενον. Ταῦτα τοίνυν καὶ ἕτερα πρὸς τούτοις κατὰ μέρος δηλοποιοῦντος τοῦ τοιούτου τιμίου πατριαρχικοῦ σιγιλλιώδους γράμματος, ἀκολούθως τούτῳ καὶ ἡ ἡμετέρα εὐσεβὴς γαληνότης τὸν παρόντα τόνδε χρυσόβουλλον λόγον αὐτῆς ἐπιβραβεύει καὶ ἐπιχορηγεῖ, δι' οὗ καὶ στέργει καὶ βεβαιοῖ καὶ ἐπικυροῖ αὐτὸ τοῦτο τὸ τίμιον πατριαρχικὸν σιγιλλιῶδες γράμμα, καὶ ὀφείλει διαμένειν εἰς τὸν ἑξῆς ἅπαντα καὶ διηνεκῆ χρόνον ἀμετάτρεπτον καὶ ἀπαραποίητον καὶ ἀπαράθραυστον κατὰ πᾶσαν τὴν αὐτοῦ δύναμιν καὶ περίληψιν· καὶ ἔσται μὲν τὸ ἀπὸ τοῦδε ὁ κατὰ καιροὺς εὑρισκόμενος Πρῶτος ἐν τῷ δηλωθέντι Ἁγίῳ ὄρει ὑπὸ τῆς πατριαρχικῆς μεγάλης πνευματικῆς ἡγεμονίας τὴν σφραγῖδα κατὰ τὸ ἔθος λαμβάνων, ἐκτελῶν δὲ καὶ τὴν θείαν ἱερουργίαν μετὰ ἐπιγονάτων, καθὼς ταῦτα ἐν τῷ παρόντι ἐκυρώθη καὶ τέτακται, ἔσονται δὲ ὁμοίως καὶ διαμενοῦσι βέβαια καὶ ἀπαραποίητα εἰς τὸ παντελὲς καί τἄλλα πάντα ὅσα κατὰ μέρος τῷ δηλωθέντι τιμίῳ πατριαρχικῷ σιγιλλιώδει γράμματι ἐμπεριέχεται, ἐλευθερίας χάριν καὶ ἀνενοχλησίας αὐτοῦ τε τοῦ ὁσιωτάτου Πρώτου καὶ τῶν εἰρημένων

μοναχῶν. Τῇ γὰρ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου διαφυλαχθήσεται καὶ μενεῖ εἰς ἅπαντα τὸν ἐξῆς χρόνον βέβαιον, ὡς εἴρηται, καὶ ἀπαράθραυστον τὸ δηλωθὲν τίμιον πατριαρχικὸν σιγιλλιῶδες γράμμα κατὰ τὴν δύναμιν αὐτοῦ πᾶσαν καὶ περιληψιν, ὡς κανονικῶς καὶ εὐλόγως καὶ δικαίως ἐκτεθὲν καὶ ἀπολυθέν, καὶ οὐδεὶς τῶν ἁπάντων ἔσειτε εἰς ἀθέτησιν ἢ ἀνατροπὴν χωρήσων τινῶν τῶν ἐν αὐτῷ ἐξ ὀνόματος δηλοποιουμένων τε καὶ περιεχομένων, ἐπείπερ καὶ εἰς τὴν τούτων ἁπάντων βεβαίωσιν καὶ ἀσφάλειαν καὶ ἐδρασμὸν ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου γεγονὼς ἐπιχορηγήθη καὶ ἐπιβραβεύθη τῷ πολλάκις εἰρημένῳ ὁσιωτάτῳ Πρώτῳ ἱερομονάχῳ κυρίῳ Θεοφάνει, μετ' αὐτὸν δὲ καὶ τοῖς καθεξῆς γενησομένοις Πρώτοις, ἀπολυθεὶς κατὰ μῆνα νοέμβριον τῆς ἐνισταμένης ἐνδεκάτης ἐπινεμήσεως τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ πρώτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

ΑΝΔΡΟΝΙΚΟΣ ΕΝ ΧΩι ΤΩι ΘΕΩι ΠΙΣΤΟΣ ΒΑΣΙΛΕΥΣ ΚΑΙ ΑΥΤΟΚΡΑΤΩΡ ΡΩΜΑΙΩΝ ΔΟΥΚΑΣ ΑΓΓΕΛΟΣ ΚΟΜΝΗΝΟΣ Ο ΠΑΛΑΙΟΛΟΓΟΣ.

№ 11.

+ Ἐπεὶ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς κῦρ Στέφανος, θείῳ πόθῳ καὶ ἔρωτι τῆς ψυχῆς ἁλούς, καὶ ὃν ὤδινε πόθον πρὸ πολλοῦ πεπλήρωκεν νῦν καὶ εἰς τὸ καθ' ἡμᾶς τόδε Ἅγιον ὄρος ἀφάτῳ σχέσει καὶ προθυμίᾳ ψυχῆς ἐπεδήμησεν καὶ περιελθὼν ἁπάσας τὰς ἐν αὐτῷ ἁγίας καὶ σεβασμίας μονάς, μικράς τε καὶ μεγάλας, φιλοτίμους τε δωρεὰς καὶ ὄντως βασιλεῖ πρεπούσας μίᾳ ἑκάστῃ μονῇ δαψιλῶς καὶ πλουσίως ἐχορήγησε· κατέλαβε καὶ εἰς τὴν καθ' ἡμᾶς τήνδε καὶ ἱερὰν λαύραν τῶν Καρυῶν, καὶ προσκυνήσας ἐν αὐτῇ καὶ τῷ θείῳ ἀμφορηθεὶς καὶ ἡμῖν πραέως ὁμιλήσας καὶ πάντας εὐφράνας, καὶ ἐπὶ πλεῖον τὰς εὐχὰς πάντων αἰτήσας ἐφόδιον τῆς ζωῆς αὐτοῦ καὶ παντὸς κακοῦ ἀποτρόπαιον, ἠτήσατο παρ' ἡμῶν πάντων συνάξεως τόπον Λιβάδι εἰς τὴν παλαιὰν Κομήτησαν τὸ μονύδριον, ὅπερ εἰς ὄνομα τιμώμενόν ἐστι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου, πλησίον τοῦ Ζυγοῦ καὶ τοῦ Σκορπίου. Συνελθόντες οὖν ἡμεῖς ἅπαντες κοινῇ γνώμῃ διασκεψάμενοι πραθῆναι μὲν τῷ θείῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ κῦρ Στεφάνῳ τὸν προειρημένον τόπον Λιβάδι τῆς Κομήτησας καὶ τὸ μονύδριον τοῦ ἐν ἁγίοις πατρὸς ἀρχιε-

ράρχου Νικολάου, δίχα τινος ἀνάγκης ἢ βίας κατεπειγούσης μοναστήρια καὶ ἐκκλησίας ἀπεπολεῖσθαι, πρὸς χάριν δὲ δοθῆναι τῷ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ κῦρ Στεφάνῳ καὶ τῇ τοῦ ἁγίου Σάβα σεβασμίᾳ μονῇ τῆς ὑπερευλογημένης καὶ ὑπεράγνου θεομήτορος ἐπικεκλημένῃ Χιλεντάριον τὸν εἰρημένον τόπον μετὰ πάντων τῶν προσόντων αὐτῷ δικαίων καὶ προνομίων ἀνενοχλήτως ἐπὶ τῇ καταβολῇ τῶν παρ' αὐτῆς διδομένων ,αψξ̄ χρυσὰ φλουρία, ἅτινα καταναλωθήσονται εἰς τὰς δεούσας κοινωφελεῖς, ὡς εἴρηται, χρείας.—Γινωσκέτωσαν γὰρ ἅπαντες βεβαίως, ὡς οὐ διὰ κέρδος ἡμέτερον καὶ δαπάνην, ἀλλὰ διὰ τὸ κακῶς ἔχον καὶ τὴν σύστασιν καὶ κοινὴν ὠφέλειαν κατὰ τὴν τοῦ βασιλέως παράκλησιν δεξάμενοι, ὡς εὔλογον, ἀνελθόντες πάντες ὁμοῦ καὶ τὸν τόπον κατασκοπῆσαι, διεχωρίσαμεν αὐτὰ οὕτως· ἄρχεται ἀπὸ τὴν ἀνατολὴν καταβαίνοντας εἰς τὸ ὀρκινάριον...; далѣе слѣдуетъ подробное описаніе границъ, согласное съ описаніемъ ихъ, помѣщеннымъ въ хрисовулѣ царя Стефана. Этимъ описаніемъ оканчивается протатскій актъ. Μηνὶ δεκεμβρίῳ, ἰνδικτιῶνος α', ἔτους ,ϛωνϛ'.

† Ὁ ἁμαρτωλὸς Γερμανὸς ἱερομόναχος καὶ Πρῶτος τοῦ Ἁγίου ὄρους βεβαιῶν.

† Ὁ ἁμαρτωλὸς Ἀκάκιος ἱερομόναχος καὶ καθηγούμενος τῆς σεβασμίας βασιλικῆς λαύρας.

† Τῆς τοῦ Βατοπεδίου σεβασμίας καὶ βασιλικῆς μονῆς καθηγούμενος ἐλάχιστος ἐν ἱερομονάχοις Κορνήλιος, κ. οἱ λοιποί.

† Ὁ ταπεινὸς ἐπίσκοπος Ἱερισοῦ καὶ Ἁγίου ὄρους Νίφων.

Всѣхъ подписей 18-ть, кромѣ вышеписанныхъ.

№ 12.

. . . . . **Азъ въ Хѣ бѣ благовѣрнїй и бго̀ поставленїи Стефанъ цр̀ь всѣ̀ срьблѣ̀ и грькомь и западнеи странѣ. божественною благодатїю възрастшѣ ми въ своѐ цтечествѣ того изволенїѐ нарѣцисе Ѿрасль блг̀аго корене родитель моѝ сты̀ Ѡ праведникѣ стѣю симеѡна неманѣ новаго мироточца и пр̀ваго вл̀ки бившаго земль̀ Ѡчества нашего кѹ̀ сави. господню же благодатїю и поспѣшенїѐ пречистѣ владычице наше бц̀е и молитвами бго̀оугоднѝ стѝ родитель моѝ и прародитѐ бго̀ дарованно ми бы̀ царство и топлотѣ приемь въ начело царствїа моего къ божественымь цр̀квамь и**

сь бг҃одарованною и бг҃олюбивою царицею августіею кура еленою всесердечно и вседоушевно поревнованемо ѡ монастирѣ҃ ст҃ое гори адона и въ ны҃ живѹщи҃ прѣподовни҃ и бг҃оносни҃ инокъ и ст҃ихъ и блаженїихъ ѡтець. Слишахѡ҃ бо многа и дивна ѡ житїи мѹжи҃ тѣ҃ ст҃и҃, и желавшѹ ми ѿ многа времене видети и поклонитисе ст҃имѹ҃ местѡ҃ и благословитисе ѿ тѣ҃ ст҃и҃ и бг҃оносниихъ ѿцъ. и бл҃гтїю ҳа҃ вѣки даюцемѹ вса блага къ спасенїю и испльнѧющемѹ въ бл҃гїи желанїе. и испльни желанїе ср҃ца моего видети ст҃ѹ ѻ҃ѹ горѹ. и еже начинающе зреніе пр҃ндохѡ҃ сь бг҃одарованною ми царицею кура Еленою въ тѹ҃ ѡбретающїйсе вѣлики монасти҃ Хиландарь създанни прѣродителы моими. тѹ҃ поклонившѣ҃ домѹ прѣчистїе и благословившѣ҃ ѿ житель свети҃, таже вънѹтрьние ст҃ое монастирѣ и исхастїе с царицею ѡбшедше и съгледа҃ и ѡдарова҃ различнима дарми и недостатьчнаго напланивша ст҃и҃ местѡ҃, и велми ѹдивившѣ҃ и пѡзевавшѣ҃ ѡ жити мѹжи҃ те҃ ст҃и҃ и пр҃имше ѿ ны҃ѣ҃ благословеніе и дш҃еполезнаа словеса, и ѡбходе ст҃а места пр҃индохѡ҃ въ место рекомо карея. и келїи ст҃го сави їерѹсалимьскаго създанна господинѡ҃ и родителемь нашимь кур Савѡ҃, въ неи же и богоѹгодно поживе. И видѣвши царица ѡскѹденїе и ницетѹ тое келїе, изволи҃ фторѹ҃ хтиторь бити ѥй въ снабденіе ст҃го места того. и да си извираѥ҃ ѿ старць хиландарски҃ старца полагати въ келїи ст҃го Сави. а ѿ инѹдѹ҃ да не бѹдеть токмо ѿ хиландара. И въ҃звращающесе царствѹ ми въ свояси въ монастирь хиландарь ѝзволенїемь царства ми и бл҃гословенїе҃ игѹмена и старць, благословисмо проигѹмена попа Ѳеѡдѹла прѣдстательствовати келїи ст҃го сави, и дарова царство ми тоизи келии ѕ҃ Карея҃ѕ҃ хвосно҃ село Косорикѥ съ всеми засельци, днеполи҃, и долами, и чешково, и челопеци, и съ всеми мегами и правинами да си имаа келїа карѣйска села тази до вѣка: и зако҃ село҃ тем҃ цо и дрѹзе҃ село҃ хиландарскимь. И тогда царство ми дарова болници хиландарской ловице ѡркинаріе на морѹ, цо кѹпи҃ ѿ игѹмена Алѹпского (Алипіева) кур мардарїа и ѿ старць монастира Алѹпа. и место томѹ и ловицѹ той да си има болница хиландарска до вѣка. І еще царство ми ѹстави келїи ст҃го Сави ѕ҃ карея҃, да се дава ѿ кѹкѥ царства ми всако годице по р҃ перпѵре венетїиске҃. И сіе златопечатное слово царства ми молю по мне хотещи҃ царствовати семѹ неразорено҃ бити, нѣ҃ паче потверьжено҃. Аще ли кто дрьзнѣ҃ разарати сїе записанное мною ц҃рѣ҃ Стефаномъ, таковаго да

разорит҃ гѣ бѣ и прѣчиста его мт҃ри. и да ѥ поражен҃ъ отъ силе честнаго кр҃та и да ѥ проклеть отъ вї-хъ апостоль и а҃-хъ евангелистъ и о҃ з҃-хъ вселенскихъ съворъ и ѿ ст҃ихъ ѡц҃ь наши҂ симеѡна и сави и ѿ всѣх҃ ст҃ыхъ да ѥ проклеть, и ѿ царства ми да нѣ благословенъ. Написажесе сїе записаніе стоецѹ господинѹ царѹ въ вѣликославнѣмь градѹ Прилепѣ въ лѣто ,ѕѡѵнѕ индикта а҃.

+ *Стефань въ хр҃а бг҃а благовѣрнїи царь срьбаѥмь и грькомь и* Поморїю.

(Ср. у Миклошича Monumenta Serbica, № CXVII, стр. 136 — 139).

№ 13.

Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς Σάββα τοῦ Νέου τοῦ ἐν τῷ τοῦ Ἄθω ὄρει ἀσκήσαντος, συγγραφεῖσα παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κυρίου Φιλοθέου. Рукопись на бумагѣ (in 8⁰) въ библіотекѣ Ватопедскаго монастыря.

Ὁ ὁσιώτατος πατὴρ ἡμῶν Σάββας ὁ θαυμάσιος, ὁ πρώην Στέφανος ὀνομαζόμενος, ἦν ἀπὸ τὴν περίφημον Θεσσαλονίκην, υἱὸς γονέων εὐσεβῶν καὶ ἐναρέτων καὶ πρώτων ἀπὸ τοὺς ἄρχοντας τῆς αὐτῆς πόλεως, κατὰ τοὺς χρόνους τοῦ εὐσεβεστάτου βασιλέως Ἀνδρονίκου τοῦ πρώτου τῶν Παλαιολόγων...

Εἶχε μὲν τὰ σκῆπτρα τῆς τῶν Ῥωμαίων ἀρχῆς Ἀνδρόνικος ὁ πάνυ τῶν Παλαιολόγων ὁ δεύτερος δηλαδή. Οἱ δὲ ἐπὶ κακῇ μοίρᾳ πρὸς συμμαχίαν Ῥωμαίοις ἐκ Σικελίας ἰόντες Ἰταλοί, καὶ συνθήκας ψευσάμενοι, Θρᾴκην μὲν δίκην πρηστήρων ἀνηλεῶς διαφθείρουσι πρῶτον, χώρας καὶ πόλεις ὅλας τὰς μὲν καὶ πρὶν ἐπιβῆναι κενὰς οἰκητόρων τῇ σφῶν αὐτῶν προσδοκίᾳ καὶ τῷ δέει δεικνύντες, τὰς δὲ πεδίον ἀφανισμοῦ καὶ πολεις αἱμάτων εἰς πολυάνδρια μᾶλλον ἀντὶ πόλεων ἐργαζόμενοι τῷ μηδ' ὁτινοῦν ὅλως ἐν μηδενὶ σχεῖν τὸν ἔλεον, ἀλλὰ πᾶσαν ἁπλῶς καὶ τύχην καὶ ἡλικίαν ὑπάγειν τῷ ξίφει καὶ μηδὲ τῶν δυστυχῶν φείδεσθαι νηπίων, ἀλλὰ καὶ ταῦτα καινοτέροις ἐπιτρέπειν θανάτοις, ξίφει καὶ πυρὶ δυστυχῶς μεριζόμενα. Μετὰ δὲ τοῦτο καὶ τοὺς πάλαι καὶ νῦν ὀλετῆρας τῆς οἰκουμένης, Ἀχαιμενίδας φημί, προσλαβόμενοι, τοὺς κάκιστ' ἀπολουμένους, κἀντεῦθεν τὸ θράσος καὶ τὴν μανίαν ἐπηυξηκότες κατατρέχειν αὐτίκα καὶ Μακεδονίαν ἠπείγοντο, καὶ Θετταλίαν αὐτὴν ἐπὶ νοῦν ἔχοντες ἤδη. Ὁ δὲ κρατῶν καὶ περὶ πᾶσι μέν, ὡς εἰκός, δείσας, τὸ δὲ πλεῖστον Ἄθω τὸν θαυμαστὸν ἐπὶ νοῦν

ἔχων καὶ τὸ σώζεσθαι τὸν χορὸν τῶν ἁγίων ἐκείνων περὶ πλείστου τιθέμενος· οὕτω γὰρ αὐτῷ σώζεσθαι καὶ τὴν βασιλείαν καὶ μὴ παντάπασιν ἂν ἀποβαλεῖν καὶ αὐτὰς ᾤετο τὰς χρηστοτέρας ἐλπίδας· ἐπεὶ μὴ στρατῷ καὶ ὅπλοις εἶχεν ἀμύνειν, τὸν δεύτερον, ὡς φασί, πλοῦν ἔρχεσθαι δεῖν ἔγνω· καὶ γράμματα τῆς αὐτοῦ χειρὸς αὐτίκα πρὸς ἐκείνους ἐφοίτα τοὺς μὲν καθ' ἡσυχίας ἔρωτα πανταχῇ τοῦ ὄρους διεσπαρμένους, μοναδικούς τε καὶ σύνδυο, καὶ αὐτὰ δὲ φημὶ τὰ τῶν φροντιστηρίων ἀτείχιστα ἢ καὶ ἄλλως εὐάλωτα διὰ σαθρότητα περιβολῶν καὶ σπάνιν ἐνοικούντων πρὸς τὰ τῶν ὀχυρωμάτων δυσαλωτότερα μετοικίζεσθαι κατοχυρούμενα καὶ αὖθις, ὁπόση δύναμις, πρὸς τὸ ἀσφαλέστερον, μεταβαίνειν δὲ καὶ πρὸς τὰς ἐγγυτέρω πόλεις τοὺς βουλομένους, ἀποκρύπτοντας ἑαυτοὺς μικρὸν ὅσον ὅσον, κατὰ τὸν μέγαν εἰπεῖν Ἡσαΐαν· «ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου».—Ταῦτα μαθόντες οἱ τῆς μεγάλης καὶ θεοφιλοῦς φατρίας ἐκείνης, οἱ μὲν τὴν ἐξ ἀρχῆς εὔστασιν μέχρι τέλους τηρεῖν ἐγνωκότες «ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;» μετὰ τοῦ προφήτου πρὸς τὸν Θεὸν ἕκαστος ἔλεγον· ὅθεν οὐδὲ τὴν ἱερὰν συνοικίαν οὐδὲ τὴν ἀσκητικὴν καλύβην εἰσὶν οἱ καταλιπεῖν ἐδοκίμαζον, τὸ μένοντες θνήσκειν τοῦ σώζεσθαι φεύγοντες μᾶλλον ἑλόμενοι· οἱ δὲ τῷ κελεύοντι νόμῳ πειθόμενοι διωκομένους ἀπὸ ταύτης εἰς τὴν ἑτέραν φεύγειν καὶ Παῦλον ἐκμιμούμενοι τὸν μέγαν, ὃς καί τί γε καθ' ἡμέραν ἀποθνήσκων καὶ τὴν ἐπιθυμίαν ἔχων ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι νῦν μὲν κοφίνῳ χαλασθεὶς ἐκ τοῦ τείχους τὰς τοῦ Δαμασκηνῶν ἐθνάρχου χείρας λάθρα διαδιδράσκει, νῦν δὲ Ῥωμαῖος ἐπικαλεῖται καὶ καίσαρα φωνῶν τὸν Ἰουδαίων δῆμον ἐκφεύγων, πόλεις καὶ νήσους καὶ τὰ ἐν αὐταῖς κατελάμβανον ὄρη, ὅσα δηλαδὴ πρὸς ἡσυχίαν ἐν αὐτοῖς ἐπιτήδεια. Θρῆνος μέντοι καὶ ἀθυμία τὸ πᾶν εἶχε, καὶ θορύβου μεστὸν ἦν ἐκεῖνο τὸ ἱερὸν σύστημα, τὴν ἀπ' ἀλλήλων διάζευξιν οὐκ ἀνεκτῶς φέρειν δυνάμενοι.... Φήμη ἀθρόος ἐπεισελθοῦσα τοὺς κάκιστ' ἀπολουμένους Ἀχαιμενίδας ἤδη προσελαύνειν διήγγελλε· Μακεδονίαν γὰρ ἀπνευστὶ καταδραμόντες καὶ λείαν Μυσῶν, ὃ δὴ λέγεται, τὰ ἐν αὐτῇ ποιησάμενοι, καὶ τὰ περὶ τὴν Θεσσαλονίκην ἤδη διιοῦντες ἦσαν καὶ χαλεπῶς τοὺς μὲν ἀναιροῦντες, τοὺς δ' ἐξανδραποδίζοντες.

№ 14.

Изъ дѣла аѳонскаго Протата о продажѣ келліи Каллиграфа Дохіарскому монастырю за 330 венеціанскихъ червонцевъ, въ іюнѣ мѣсяцѣ 6853=1345 года, когда индиктъ былъ 13-й (sic).

«Ἐρχομένων τῷ τότε καιρῷ πρὸς τὸ Ἅγιον ὄρος τῶν ἀθέων πειρατῶν, πολλὴν ἐποίουν τὴν ταραχὴν τοῖς ἐν αὐτῷ ἀσκουμένοις μοναχοῖς, πρὸς τούτοις δὲ καὶ ὁ κοινὸς τοῦ τῶν ἀνθρώπων γένους φθορεὺς ἐνέσπειρεν εἰς τὰς καρδίας τινῶν ἁπλουστέρων μοναχῶν καινοτομίας τινάς, καὶ ἐκ τούτου ἐλάμβαναν περισσοτέραν χώραν οἱ πειραταί. Τοῦτο μαθὼν ὁ Πρῶτος εἰς τὴν Κωνσταντινούπολιν, ὁποῦ ἦν προσκεκλημένος παρὰ τοῦ βασιλέως πρὸ τριῶν περίπου ἐτῶν διὰ κοινωφελεῖς ὑποθέσεις, ἔγραψε τοῖς μοναχοῖς, ἵνα ἐκλέξωσι τοὺς ἐκκρίτους τοῦ ὄρους, ἀδείᾳ τοῦ τε βασιλέως καὶ τοῦ πατρίαρχου, εἰς τὸ νὰ περιποιοῦνται τὰς ὑποθέσεις τοῦ ὄρους ἄχρι τοῦ ἐλθεῖν αὐτον. Καὶ δὴ συνάξεως γενομένης ἐκλέξαντο τέσσαρας τοὺς ἐκκριτωτέρους. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ἐκ τῆς τοῦ Ἐσφιγμένου μονῆς ἐπιστρέφοντες ἐάλωσαν ὑπὸ τῶν ἀσεβῶν πειρατῶν μετὰ τῶν ὑπηρετῶν αὐτῶν καὶ πάντων τῶν ἐν τῷ πλοίῳ. Ὅθεν ἡ κοινότης τοῦ Ἁγίου ὄρους ἀναγκαζομένη διὰ νὰ ἐκπληρώσῃ τὴν τιμὴν τῆς ἐξαγορᾶς αὐτῶν, ποσομένην ὑπὲρ τὰ πεντακόσια νομίσματα, ἐπώλησαν τὸ κελλίον τοῦ Καλλιγράφου διὰ 330 νομίσματα Βενετικὰ εἰς τὴν τοῦ Δοχειαρίου μονήν, ὡς συνορεῦον αὐτῇ· καὶ εἰς ἔνδειξιν δεδώκασιν αὐτῇ ἐκ τῆς κοινότητος γράμμα, γεγονὸς κατὰ μῆνα ἰούνιον ἰνδικτιῶνος ιγ΄ τοῦ ,ϛωνγ΄ ἔτους.

№ 15.

Изъ дѣла аѳонскаго Протата 6861=1353 года, мѣсяца апрѣля, индикта 6-го.

Ἡμεῖς διά τε συμβᾶσαν τῶν ἀθέων Τουρκῶν ἐπίθεσιν καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν ὁρῶντες τὰ τοῦ καθ' ἡμᾶς Ἁγίου ὄρους τῶν ἀνθρώπων ἐρημωμένα κἀντεῦθεν εἰς παντελῆ κατάπτωσιν καὶ ἀφανισμὸν προχωροῦντα, ὡς μηδ' ἐπανόρθωσίν ποτε προσδοκᾶν ὅλως, ἐκεῖνα δὲ ... ὡς συνιστάμενα ὅσα ταῖς μείζοσι τῶν μονῶν ἔφθασαν προσκυρωθῆναι καὶ μάλιστα τῇ μεγάλῃ καὶ σεβασμίᾳ καὶ ἱερᾷ λαύρᾳ διὰ τὸ πολυάνθρωπον ταύτην εἶναι ... Ἐπεὶ καὶ τὰ ἐν τῇ σκήτῃ τῶν Γλωσσίων κελλία καὶ ἡσυχαστήρια ἔφθασαν πρὸ καιροῦ ἐρημωθῆναι καὶ παντελῶς ἄοικα γενέσθαι, ὡς καὶ τὰ ἐν αὐτοῖς ἀμπέλια μικρὰ καὶ οὐδαμινὰ ὄντα κινδυνεύειν καὶ εἰς παντελῆ ἀχρηστίαν καὶ ἐρήμωσιν καταντῆσαι, συνείδομεν οἰκονομίᾳ χρήσασθαι καὶ προσκυρῶσαι ταῦτα τῇ σεβασμίᾳ Λαύρᾳ.

Здѣсь выраженіе πρὸ καιροῦ доказываетъ, что Глоссійскій скитъ опустошенъ былъ Турками *не задолго* до 1353 года, въ который мѣстность его

съ виноградниками отдана была Протатомъ лаврѣ Аѳанасія. Посему-то я отнесъ это событіе къ 1345 году. А упомянутое въ вышеприписанномъ протатскомъ дѣлѣ обезлюдѣніе Аѳона и распредѣленіе внѣмонастырныхъ келлій между большими и укрѣпленными монастырями, то и другое произошло послѣ нашествія Турковъ съ моря на Аѳонъ въ 1820 или 1824 году: о чемъ я упомянулъ въ § 89-мъ, стр. 160—169.

№ 16.

Содержаніе хрисовула царя Іоанна Палеолога, въ монашествѣ Іосифа, 6915=1407 года, мѣсяца февраля, индикта 15-го (sic).

+ Ὁ τῆς μεγάλης πόλεως ἄρχων, ὁλος ἀγαθὸς ὤν, ἀρχὴν ἐδημιούργησε ἄνθρωπον ὡς ἀθάνατον... Далѣе говорится о грѣхопаденіи человѣка по навожденію діавола, о вочеловѣченіи Сына Божія и о почитаніи Его умомъ, и словомъ, и дѣломъ (νῷ καὶ λόγῳ καὶ πράγματι), о долгѣ царей. Послѣ словъ же: «*должно почитать пресвятую Дѣву, яко виновницу спасенія христіанъ*», слѣдуетъ: Διὰ ταῦτα δὴ καὶ ἡ βασιλεία μου, κρίμασιν οἷς οἶδε Θεός Κύριος, Θεσσαλονίκης γενόμενος καὶ τῶν περὶ αὐτὴν πάντων πεποιημένος πρόνοιαν .... ἠβουλήθην ὑπὲρ τοῦ γένους ἐγὼ τὸ περὶ τὴν Παλλήνην ἀνανεώσασθαι τεῖχος, ὁ Κασσανδρίαν μὲν ὁ τοῦ Ἀλεξάνδρου πατὴρ ἐκεῖνος ὠνόμασεν, οἱ δὲ μετ' αὐτὸν Ποτίδαιαν, καὶ εὗρον ἐπὶ τοσοῦτον αὐτὸ ἐρημωμένον καὶ διαλυθέν, ὥσπερ τὰ ἐν τοῖς ὕδασιν τείχη φαινομενα· ᾠκοδόμησα τείχη καὶ πύργους ἐπάνω τῶν παλαιῶν θεμελίων, καὶ ἤνωσα τὴν ἐν τῷ κολπῳ τῷ Θερμαικῷ θάλασσαν μετὰ τῆς ἐν τῷ κόλπῳ Τορωναϊκῷ θαλάσσης καὶ νῆσον ἠργασάμην τὴν ἤπειρον, κάλλιστον εὐσεβέσι κτῆμα καὶ τοῖς ἀλλογενέσιν ἀνάρμοστον· εἶτα βόας ἀνεθέμην τῇ νήσῳ, ὠφελιμώτατα βίῳ ζῷα αὔλακας ἀνατέμνειν καὶ σπεῖραι σῖτον.... Ἐπεὶ δὲ τούτων ἁπάντων αἰτία μοι κόρη μόνη παρθένος καὶ δι' αὐτῆς Πρωτότοκος, ἔκρινε δικαιον ἡ βασιλεία μου διὰ χρυσοβούλλου τοὺς πρώτους καρποὺς τῶν σπόρων τῆς δεκατείας ἀποδοῦναι τῷ σωτῆρι Χριστῷ σὺν αὐτῷ τε καὶ τῇ αὐτῇ καλλίστῃ μητρὶ καὶ μετ' αὐτὴν τοῖς αὐτῶν καὶ δούλοις, ὧν ἐστιν ὁ τοῦ σωτῆρος βαπτιστὴς πρῶτος καὶ μετ' αὐτὸν οἱ ἅγιοι τεσσαράκοντα, οὓς ἀκολουθεῖ Παῦλος, ὁ ἐν τῷ Ἄθῳ καλούμενος οσιος. Ἐπιτρέπω δὲ τῆς δεκατείας τὸν μερισμὸν οὕτω γενέσθαι, ἱσταμένης ἁπάσης ἐν ἀριθμῷ τετάρτῳ καὶ εἰκοστῷ, ὁθεν δὴ καὶ τὸν παρόντα χρυσοβουλλον Λόγον ἐπιβραβεύει αὐτοῖς, δι' οὗ προσ-

τάσσει, ἵν' οἱ τῆς σεβασμίας μονῆς μοναχοὶ τιμωμένης εἰς ὄνομα τοῦ Χριστοῦ μου Παντοκράτορος ἐν τῇ μεγάλῃ πόλει τοῦ Κωνσταντίνου λαμβάνωσι τέταρτον ἀριθμόν, οἱ μοναχοὶ τῆς Λαύρας ... τέταρτον ἀριθμόν, οἱ μοναχοὶ τοῦ Βατοπεδίου τέταρτον ἀριθμόν, οἱ .... μονῆς Προδρόμου καὶ βαπτιστοῦ ἐν Θεσσαλονίκῃ πέμπτον ἀριθμόν, οἱ .... μονῆς Ξηροποτάμου τῶν ἁγίων τεσσαράκοντα τέταρτον, οἱ τοῦ ὁσίου Παύλου ἐν τῷ Ἄθῳ τρίτον ἀριθμόν. — Далѣе прописано: «всѣ эти монастыри, когда я живъ, пусть получаютъ свои части по вышеизложенному росписанію, а по смерти моей—и всѣ произведенія земли со всѣми животными и хозяйственными вещами» и проч.

№ 17.

Грамота Римскаго папы, данная Ватопеду въ сентябрѣ мѣсяцѣ 1439 года въ Флоренціи.

Grigorius(?) papa...Dei universis Christi fidelibus presentes litteras inspecturis salutem et apostolicam benedictionem. — Quum precelsa merito ſ insignia, quibus Regina celorum ſ virgo dei genitrix gloriosa, sedibus prelata sidereis quasi stella matutina prerutilat, devote considerationis indagine perscrutamur, dum etiam infra pectoris archana revolvimus quod ipsa utpote mater misericordie, gratie et pietatis amica, humani generis consolatrix pro salute fidelium, qui delictorum ſ onere pergravantur, sedula oratrix et pervigil ad Regem, quęm genuit, intercedit, dignum quum pectus debitum arbitramur, ut ecclesias in sui nominis honore dedicatas gratiosis prosequemur impendiis et indulgentiarum ſ muneribus honoremus. Cupientes itaque, ut ecclesia monasterii Vatopedi ordinis sancti Basilii, sita in pertinentiis montis sancti, que in honore et sub vocabulo beate Marie fundata existit, a Christi fidelibus congruis honoribus frequentetur et etiam sonservetur, ut fideles Christi eo libentius causa devotionis confluant ad eandem et ad ejus fabricam ac conservationem et manutentionem manus porrigant promptius adjutrices, quo ex hoc ibidem dono celestis gratie uberius conspexerunt se refectos de omnipotentis Dei misericordia et beatorum ſ Petri et Pauli apostolorum ſ cuis auctoritate confisi omnibus vere penitentibus et confessis, qui in festo eiusdem beate Marie prefatam ecclesiam devote visitaverint annuatim et ad eius fabricam et conservationem ac manutentionem manus perre-

xerint adjutrices, quatuor annos et totidem quadragenas de injunctis eis penitentiis misericorditer relaxamus presentibus, perpetuis, futuris temporibns valituris. Volumus autem, quod si alias visitantibus dictam esclesiam, vel ad eius fabricam seu conservationem vel manutentionem manus porrigentibus adjutrices, aut alias ibi pias eleimosynas erogantibus, aut aliqua alia indulgentia imperpetim, vel ad certum tempus nundum elapsum duratura concessa fuerit, praesens concessio nullius exstat roboris vel momenti. — Datum Florentie anno incarnationis dominicae millesimo quadringentesimo tricesimo nono ... septembri ... ꝑ ... in anno ... nono.

ї Citicius: —

№ 18.

Изъ греческаго журнала «Φιλολογικὸς Τηλέγραφος» 1819 г., января 28 и февраля 1-го въ статьѣ: Περιγραφὴ τῶν μοναστηρίων καὶ βιβλιοθηκῶν τοῦ Ἁγίου ὄρους:

«Οἱ καλόγηροι, βλέποντες τὰς προόδους τῶν ὀθομανικῶν ὅπλων ἐπὶ τοῦ σουλτάνου Ὀρχάνου καὶ τῶν ἀμέσων διαδόχων του καὶ προνοοῦντες τὴν μέλλουσαν τύχην Κωνσταντινουπόλεως αὐτῆς, ἔστειλαν πρέσβεις πρὸς τὸν σουλτάνον εἰς τὴν Προύσαν τ. μ—ας, φέροντας 14000 φλορίων δῶρον, καὶ παρακαλοῦντας, ὅταν τὰ νικήφορά του ὅπλα κυριεύωσι τὴν μητρόπολιν τῆς γραικικῆς μοναρχίας, ἵνα ἀφεθῶσιν οἱ καλόγηροι ἀπολαύοντες τὰ θρησκευτικά των προνόμια καὶ ἔχοντες αὐτοὶ μόνοι τὸ Ἅγιον ὄρος. Ὁ Ὀθομανὸς ἐδέχθη τὸ δῶρον καὶ ὑπεσχέθη αὐτοῖς τὸ ζητούμενον, ἐπικυρώσας τὴν ὑπόσχεσίν του καὶ μὲ χαττιχουμαγιούν, ἤτοι προνόμιον, τὸ ὁποῖον, ὡς ᾄδεται, φυλάττεται ἐν τοῖς ἀρχαίοις τῶν Καρυῶν».

№ 19.

Дѣло аѳонскаго Протата 6842=1334 года, мѣсяца іюля, индикта 2-го.

+ Ἡ σεβασμία τοῦ Κουτλουμούση μονή, πολλῆς κατὰ διαφόρους καιροὺς παρὰ τῶν πρὸ ἡμῶν ὁσιωτάτων Πρώτων ἀξιουμένη προνοίας καὶ διὰ πολλὰς μὲν ἄλλας εὐλόγους αἰτίας, ἐξαιρέτως δὲ διὰ τὴν τῶν ἐν αὐτῇ οἰκούντων κατὰ Θεὸν πολιτείαν καὶ ἄσκησιν καὶ τὸ τοῦ κοινοῦ βίου ἀκριβωμένον, ὃ παρ' αὐτῶν

μόνον βεβαίως ὡς ἐν οὐδεμιᾷ τῶν ἄλλων τετήρηται... οὐδ' ἧττον καὶ παρ' ἡμῶν ἀγάπης ἠξίωται πνευματικῆς καὶ γνησίας διὰ τὴν καλὴν κυβέρνησιν ἐπιστατοῦντος Θεοστηρίκτου ἱερομονάχου, ὃς τὸ καλὸν τοῦτο ποιμνίον οὕτως ἔχον παραλαβὼν οὐ μόνον σῶον τετήρηκε, ἀλλὰ καὶ ἀρίστως ἐπιδόσεσι τῶν κατ' ἄμφω προκοπῶν καλῶς ἄγαν προεβίβασε καὶ ἐπηύξησε. Далѣе говорится: кто не восхвалитъ такого боголюбезнаго общежитія, и порядка, и стремленія къ лучшему. Ἐπεὶ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ συνεργεῖν ἔδει ταύτην πρὸς τὰ καλὰ καὶ τῶν πρὸς σύστασιν ἀφορώντων αὐτῇ προνοεῖσθαι, δέον ἔγνωμεν καί τινος ἐπιμελείας, ὡς εἰκός, ἀξιῶσαι καὶ τρόπον ἐπινοήσασθαι ταύτῃ πρὸς πλείονα τῶν χρειῶν ἀπορίαν καὶ τῶν καθ' ἡμέραν ἐξόδων, ἃς οὐ μόνον ἐπὶ διοικήσει τῶν ἐν αὐτῇ μοναχῶν, ἀλλὰ καὶ τῶν καθ' ἑκάστην ἐπιξενουμένων ποιεῖσθαι βιάζεται. Οὐ δὴ χάριν καὶ κοινῇ γνώμῃ τῶν τιμιωτάτων καθηγουμένων καὶ τῶν λοιπῶν γερόντων συνάπτομεν ταύτῃ τὴν τοῦ Φιλαδέλφου μονὴν μετὰ τοῦ ἡσυχαστηρίου αὐτῆς καὶ ἀδιασπάστως τῇ τοῦ Κουτλουμούση ἑνοῦμεν, ὥστε εἶναι τὸ ἀπὸ τοῦδε εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ἀναφαίρετον ταύτην καὶ ἀναποσπάστον καὶ συνημμένην... Кто отнялъ бы присоединенную обитель, тотъ сдѣлалъ бы величайшій грѣхъ. Οὐδὲ γὰρ πρὸς χάριν τοῦτο ἢ λογισμόν τινα πεποιήκαμεν ἀνθρώπινον, ἀλλὰ διὰ τὸ δίκαιον αὐτό· εἰ γὰρ ταῖς ἄλλαις τῶν μεγίστων μονῶν καὶ εὐπορωτάτων οἱ πρὸ ἡμῶν ὁσιώτατοι Πρῶτοι πολλὰ τῶν τῆς Μέσης κελλίων ἀπεχαρίσαντο καὶ οὐδὲ τῶν ἠπορημένων, ἀλλὰ καὶ τῶν καλῶς ἐχόντων, καὶ ἡμεῖς τὴν ἐκείνων τετηρήκαμεν πρᾶξιν, τί ξένον ἢ παράλογόν τισι δόξαιμεν πεποιηκέναι, εἰ τοιαύτῃ μονῇ, πλουτούσῃ μὲν ἐν Θεῷ καὶ θείοις ἐνπλατυνομένῃ πλεονεκτήμασιν, ἀπορουμένῃ δὲ ἐν ταῖς ἀναγκαίαις τοῦ σώματος χρείαις καὶ ἔνδειαν ἐχούσῃ κἀντεῦθεν μυρίαις φροντίσι μεριζομένῃ, μικρόν τι κελλίον, καὶ αὐτὸ καταπεσεῖν ἤδη μέλλον, σηνήψαμεν πρὸς τὴν τῶν ἀμφοτέρων βοήθειαν; Εі γὰρ χρὴ τἀληθὲς εἰπεῖν, ἡ τοῦ Φιλαδέλφου μᾶλλον ἢ τῇ τοῦ Κουτλουμούση βεβοηθήκαμεν· ἐκείνη γὰρ πρὸς ἐσχάτην ἀπορίαν πρὸ πολλοῦ καταντήσασα, ὁ καὶ ἐν πολλαῖς ἄλλαις ἐξ ἀμελείας τῶν ἐπιστατούντων συμβέβηκεν. Ἄλλως τε δέ, εἴπερ ἐθέλει σκοπεῖν ἀκριβῶς, ἐκεῖνο τῇ τοῦ Κουτλουμούση μονῇ παρέσχομεν, ὃ πρὸ χρόνων λαβοῦσα παρά τινος τῶν πάλαι ὁσιωτάτων Πρώτων καὶ κατέχουσα ἐκουσίως πρὸ καιροῦ παρῃτήσατο. Καὶ τοῦτο μαθεῖν ἔστι σαφῶς ἀπ' αὐτοῦ τοῦ πρὸς τὴν τοιαύτην μονὴν γεγονότος ἐκδοτηρίου παρὰ τῶν τότε γράμματος. Εἰ γοῦν καὶ οἱ πρὸ ἡμῶν οὕτω τὴν τοιαύτην μονὴν ἐπεσκέπτοντο, πρὸς τὸ ἐστενωμένον ἀφορῶντες αὐτήν, καί τινος διὰ τοῦτο παρεῖχον αὐξήσεως ἀφορ-

μήν, καὶ ταῦτα τῶν δύο καὶ δέκα πλείονας μοναχῶν οὐκ ἐχούσῃ τότε, πόσον εἰκὸς καὶ παρ' ἡμῶν ταύτης ἀξιοῦσθαι προνοίας, εἰς τεσσαράκοντα νῦν προελθοῦσαν καὶ καθ' ἑκάστην αὐξανομένην ἡμέραν; Τοίνυν καὶ ἠξίωται... говорится о присоединеніи Филадельфской обители къ Кутлумушу подъ слѣдующимъ условіемъ: Кутлумушъ обязанъ поддерживать и улучшать сію обитель и за нее вносить въ Протатъ установленную дань.

+ Ὁ Πρῶτος τοῦ Ἁγίου ὄρους Ἰσαὰκ ἱερομόναχος.

№ 20.

Дѣло аѳонскаго Протата мѣсяца февраля 1363 года.

+ Καὶ τὸ τοῦ Γομάτου κελλίον ἂν καὶ αὐτὸ τυγχάνον τῶν ἐφ' ἡμῖν τελούντων, μᾶλλον δὲ τῷ Πρωτείῳ ὑποκειμένων, τὴν ἴσην καὶ αὐτὸ τοῖς ἄλλοις πέπονθεν ἐρήμωσιν παρὰ τῶν ἀθέων Ἀγαρηνῶν καὶ τὴν ἔτι πλέον ὅσον οὔπω προσδοκωμένην αὐτῷ συμβήσεσθαι φθορὰν καὶ παντελῆ ἀπώλειαν. Ὅθεν καὶ οὐ δίκαιον ἐλογισάμεθα παριδεῖν τοιοῦτο κελλίον ἀνεπιμέλητον καὶ παντάπασι ἀπρομήθευτον .... Ἔνθεν τοι συναγαγόντες τὴν μεθ' ἡμῶν ἀδελφότητα καὶ κοινῇ περὶ τούτου διασκεψάμενοι ἔδοξεν ἡμῖν πᾶσι καὶ ἀρεστὸν ἐφάνη, ἵν' ὅπερ δὴ κἀν τοῖς ἄλλοις κελλίοις, ὁπόσα ἔτυχον σεβασμίαις μοναῖς πλησιάζοντα, καλῶς βουλευσάμενοι πεποιήκαμεν προσκυρώσαντες ἐκεῖνα ταῖς τοιαύταις μοναῖς τοῦ καιροῦ ἡμᾶς τοῦτο διδάξαντος, οὐ γὰρ ἦν ἄλλως γενέσθαι ἵν' ἑκατέρωθεν ... ἔξῃ τὸ πρᾶγμα καλῶς, τά τε κελλία ποσῶς συνίστασθαι καὶ τὴν ἐκεῖθεν ἐπερχομένην τῷ Πρωτείῳ εἰσφορὰν ἀκατάλυτον εἶναι· ἀναγκαῖον γὰρ ἦν καὶ τοῦτο καὶ πολλῆς σπουδῆς καὶ ἐπιμελείας ἄξιον, ἐπεὶ τὰ πόρρω τῶν σεβασμίων μονῶν διακείμενα κελλία πᾶν-πᾶν ἀπώλλοντο τὴν ἐκ τῶν φρουρίων ἀσφάλειαν ἀποροῦντα, ὡς ἐντεῦθεν καὶ ἡμᾶς στενοχωρεῖσθαι τὸν ἐξ αὐτῶν πορισμὸν ἀπολέσαντας. Τοῦτο δὴ κἀνταῦθα καὶ ἐν τῷ προειρημένῳ τοῦ Γομάτου κελλίῳ τεθεωρήκαμεν γενέσθαι· τὴν γὰρ σεβασμίαν τοῦ Ἀλυπίου μονὴν εὑρόντες πλησιάζουσαν καὶ ἀγχιθυροῦσαν τῷ τοιούτῳ κελλίῳ, ἤδη προσκυροῦμεν αὐτὸ τῇ τοιαύτῃ μονῇ καὶ παραδίδομεν, ἵν' ἀπό γε τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς κατέχῃ καὶ νέμηται αὐτὸ μετά γε τοῦ ἡσυχαστηρίου αὐτοῦ κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα καὶ ἀνιστᾷ καὶ βελτιοῖ καὶ ἐπὶ τὸ κρεῖττον ἄγῃ, καθὼς ἂν ὁ καιρὸς δοίη αὐτῇ κ. τ. λ.—Далѣе говорится, что ни Протъ, ни кто-либо другой не властны отнять сію келью у Алипіева монастыря и сдѣлать ее независимою. Но сей мона-

стырь обязанъ вносить за нее въ Протатъ шесть мѣръ вина и шесть фунтовъ елея.

† Πρωτ҃ъ ст҃иее гори Ѧнтонїй їеромонахъ.

† Игуменъ Кутлумуша Θеофилъ.

† Игуменъ Равдухскій Іакинѳъ монахъ.

† Θεόφιλος μοναχὸς καὶ ἡγούμενος τοῦ Μηνίτζη. и проч. и проч.

№ 21.

Σιγίλλιον τῷ Ἱερισσοῦ διὰ τῶν ἐν τῷ Ἁγίῳ ὄρει δικαίων αὐτοῦ, κατὰ μῆνα ἀπρίλλιον, ἰνδικτιῶνος ἕκτης, 6876 ἔτους.

+ Φιλόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπολεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης +

Μηνὶ ἀπριλλίῳ τρίτῃ, ἰνδικτιῶνος ἕκτης προκαθημένης τῆς ἡμῶν μετριότητος ἐν τοῖς κελλίοις αὐτῆς τοῖς ἐν τοῖς δεξιοῖς κατηχουμενείοις τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, συνεδραζόντων αὐτῇ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τοῦ Καισαρείας, ⟨τοῦ Ἐφέσου,⟩ τοῦ Κυζίκου διὰ γνώμης πρὸς τὴν ἡμῶν μετριότητα, τοῦ Χαλκηδόνος, τοῦ Βιζύης καὶ τοῦ Βρύσεως, διεκομίσθησαν ἀναφοραὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἱερισσοῦ καὶ Ἁγίου ὄρους ἔγγραφοι, διαλαμβάνουσαι ὅπως εὑρίσκει πειρασμοὺς καὶ ὀχλήσεις παρὰ τοῦ ὁσιωτάτου Πρώτου τῶν ἐν τῷ Ἁγίῳ ὄρει σεβασμίων μονῶν βουλομένου κρατεῖν τινα τῶν ἀρχιερατικῶν αὐτοῦ δικαίων· βούλεται γάρ, φησίν, εἰς τὸ Ἅγιον ὄρος εἰσάγειν τοὺς παρὰ τῶν Σέρβων χειροτονουμένους ἀφήρπασέ τε τὸ ἐν ταῖς Καρέαις αὐτοῦ κάθισμα, καὶ οὔτε ποιμαντικὴν ῥάβδον ἀφίησιν αὐτὸν κρατεῖν ἐν αὐταῖς οὔτε ἱερουργεῖν οὔτε πρότερον μνημονεύεσθαι τὸν ἐπίσκοπον εἶτα τὸν Πρῶτον, ἀλλὰ τοὐναντίον μᾶλλον, ἀλλὰ μηδὲ εἰσέρχεσθαι ὅλως εἰς τὸ Ἅγιον ὄρος ἄνευ τῆς ἐκείνου προτροπῆς καὶ ἐνδόσεως μηδὲ χειροτονίας ποιεῖν. Ταῦτα πάντα ἐγγράφως ἀνενεγκὼν ὁ θεοφιλέστατος ἐπίσκοπος Ἱερισσοῦ καὶ Ἁγίου ὄρους ἐδεήθη τῆς ἡμῶν μετριότητος εὑρεῖν παρ' αὐτῆς βοήθειαν, ὥστε διορθωθῆναι ταῦτα καὶ ἔχειν αὐτὸν τὰ δίκαια αὐτοῦ. Ἡ γοῦν μετριότης ἡμῶν ⟨συν⟩ διασκεψαμένη τὰ περὶ τούτων τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων διέγνω καὶ ἀπεφήνατο, ὡς ἂν κατὰ τὴν διαταγὴν τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Χαλκηδόνι συνόδου, διαγορευούσης οὐτωσὶ κατὰ ῥῆμα ἐν ὀγδόῳ αὐτῆς κανόνι· «Οἱ κληρικοὶ τῶν «πτωχείων καὶ μοναστηρίων ὑπὸ τὴν ἐξουσίαν τῶν ἐν ἑκάστῃ πολει ἐπισκόπων

«κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν διαμενέτωσαν καὶ μὴ κατὰ αὐθάδειαν «ἀφηνιάτωσαν τοῦ ἐπισκόπου, οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν τοιαύτην διατύπω-«σιν, εἰ μὲν εἶεν κληρικοί, τοῖς τῶν κανόνων ὑποκείσθωσαν ἐπιτιμίοις, εἰ δὲ «μονάζοντες ἢ λαϊκοί, ἔστωσαν ἀκοινώνητοι», ἔχῃ καὶ ὁ δηλωθεὶς θεοφιλέστατος ἐπίσκοπος ἐν τῷ Ἁγίῳ ὄρει παντὶ πάντα τὰ ἀρχιερατικὰ αὐτοῦ δίκαια, ὅσαπερ ἔχουσιν οἱ ἀρχιερεῖς πάντες ἐν ταῖς αὐτῶν ἐκκλησίαις καὶ διενεργῇ ταῦτα ἀκωλύτως, μὴ εὑρίσκων παρά τινος ἐμποδισμὸν τῶν ἐν τῷ Ἁγίῳ ὄρει μήτε ἀνάκρισιν, ἀλλὰ πράττῃ ταῦτα πάντα ὡς γνήσιος ἀρχιερεὺς τοῦ Ἁγίου ὄρους κατὰ τὴν τῶν ἱερῶν κανόνων διατύπωσιν καὶ καθὼς οἶδεν ἡ μετριότης ἡμῶν οὕτως ἐκεῖ τὰ τοιαῦτα γινόμενα, ἐπὶ πολὺν χρόνον ἐκεῖ διατρίψασα καὶ καλῶς γινώσκουσα ταῦτα· ἔνθεν τοι καὶ συνοδικῶς παρακελεύεται ἀκωλύτως εἰσέρχε-σθαι τοῦτον εἰς τὸ Ἅγιον ὄρος, ὁπότε βούλεται, ὡς ἰδίαν ἐπισκοπὴν καὶ ἱερουρ-γεῖν ἐν αὐτῷ, ὅπου καὶ ὅτε βούλεται, κρατεῖν τε τὴν ποιμαντικὴν ῥάβδον, ὥσπερ ἐν παντὶ τούτῳ, οὕτω καὶ ἐν ταῖς Καρέαις, καὶ μνημονεύεσθαι πρῶτον αὐτόν, ἔπειτα τὸν Πρῶτον, ἔχειν τε καὶ τὸ ἐν ταῖς Καρέαις αὐτοῦ κάθισμα, εἴπερ εἶχε τοῦτο ἀνέκαθεν πᾶς ἀρχιερεὺς τοῦ Ἁγίου ὄρους, τὰς μέντοι χειροτονίας γίνεσθαι καθὼς ἐστι σύνηθες, ἐκλέγεσθαι μὲν τοὺς χειροτονουμένους ἐν ταῖς μεγάλαις μοναῖς παρά τε τῶν καθηγουμένων αὐτῶν καὶ τῶν λοιπῶν ἱερέων καὶ δοκιμάζεσθαι παρ' αὐτῶν καὶ μαρτυρεῖσθαι καὶ οὕτω χειροτονεῖσθαι παρὰ τοῦ ἐπισκόπου, τοὺς δὲ ἐν τοῖς ἔξω καθίσμασι καὶ τοῖς κελλίοις χειροτονεῖσθαι καὶ αὐτοὺς παρ' αὐτοῦ μετὰ καὶ εἰδήσεως τοῦ Πρώτου, καὶ ἁπλῶς πᾶσαν ἀρχιερα-τικὴν πρᾶξιν καὶ αὐτὸν διενεργεῖν ἀκωλύτως ἐν τῷ Ἁγίῳ ὄρει παντὶ καὶ μὴ ἀνα-κρίνεσθαι μήτε παρὰ τοῦ Πρώτου μήτε παρ' ἄλλου τινός.

Περὶ μέντοι τῶν χειροτονουμένων παρὰ τῶν Σέρβων παρακελεύεται ἡ με-τριότης ἡμῶν διὰ τοῦ παρόντος σιγιλλιώδους γράμματος μὴ δέχεσθαι αὐτούς τινα τῶν Ἁγιορειτῶν κατὰ τὸ παρόν, ἕως ἂν οἱ παρ' ἡμῶν πρέσβεις ἀποσταλέντες ἐκεῖ ὑποστρέψωσιν, ἵνα γνῶμεν, εἴπερ ἠνώθησαν καὶ ὑπείκουσι τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ, καὶ τότε γένηται τὸ δέον. ὀφείλουσιν οὖν ταῦτα πάντα γίνεσθαι κατὰ τὴν παροῦσαν παρακέλευσιν τῆς ἡμῶν μετριότητος, ὥστε δὲ μηδένα εὑρίσκειν αὐτὸν ἐμποδισμὸν ἢ ἀνάκρισιν, ἀλλὰ πάντα ποιεῖν ἀκωλύτως, καὶ βάρος ἐπιτιμίου ἀφορισμοῦ ἐκφωνεῖ αὕτη κατὰ τοῦ βουληθησο-μένου διενοχλῆσαι αὐτῷ τὸ σύνολον ἐπί τινι τῶν ἀνηκόντων αὐτῷ δικαίων. Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἱερισ-σοῦ καὶ Ἁγίου ὄρους καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν

μετριότητος κατὰ μῆνα ἀπρίλλιον τῆς ἐνισταμένης ἕκτης ἰνδικτιῶνος τοῦ ,ϛωος΄ ἔτους +

Ἡ μετριότης ἡμῶν, καθὼς εἴρηται, πολὺν χρόνον ἐν τῷ Ἁγίῳ ὄρει διατρίψασα, καθὼς καὶ οἱ περιόντες ἔτι τῶν Ἁγιορειτῶν γινώσκουσιν, οἶδεν ἀκριβῶς τὴν ἐκεῖ τάξιν καὶ ὅτι τότε τινὲς τῶν δυνατῶν ἐπεχείρησαν καταλῦσαι τὰ τοῦ ἐπισκόπου δίκαια καὶ οὐκ ἴσχυσαν οὐδ' ὅλως· διὰ τοῦτο καὶ οὐδὲ νῦν ἐστι δυνατὸν τοῦτο γενέσθαι, ἀλλ' εἰς τὸ διηνεκὲς ἡ τοιαύτη πρᾶξις ἀπαρασάλευτος τηρηθήσεται. περὶ δὲ τῆς τῶν Σέρβων χειροτονίας οὐ νῦν ἡμεῖς λέγομεν μὴ δεχθῆναι ταύτην παρὰ τῶν Ἁγιορειτῶν, ἀλλ' ἀφ' οὗ ἐχωρίσθησαν τῆς ἡμῶν κοινωνίας καὶ ἐκράτησαν τὰς ἐκκλησίας τὰς ἀνηκούσας ἡμῖν καὶ ὑπὸ τὴν καθ' ἡμᾶς μεγάλην καὶ καθολικὴν ἐκκλησίαν τελούσας, ἐξ ἐκείνου οὐ δέχονται τούτους οὔτε ἐνταῦθα οὔτε ἀλλαχοῦ. ἐπεὶ δὲ ἐζήτησαν νῦν ἑνωθῆναι καὶ ἀπεστείλαμεν καὶ πρέσβεις διὰ τὴν ἕνωσιν, διὰ τοῦτο εἴρηκεν ἡ μετριότης ἡμῶν μήπω δέχεσθαί τινα τούτους, ἕως ἂν ὑποστρεψάντων τῶν πρέσβεων γνωρίσωμεν, τί μέλλει γενήσεσθαι, καθὼς γίνεται καὶ ἐνταῦθα παρὰ τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ καὶ παρὰ πᾶσι τοῖς ἄλλοις τοῖς ὑπ' αὐτὴν τελοῦσί· τοῦτο γοῦν γινέσθω καὶ παρὰ τῶν κατοικούντων ἐν τῷ Ἁγίῳ ὄρει.

+ Εἶχε ⟨καὶ⟩ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ Φιλόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης +.

(Miklosich et Müller, Acta Patriarch. Constantinopol. I, стр. 555—557).

№ 22.

Ἐπιστολὴ τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου καὶ τῆς ἁγίας συνόδου τῶν τότε εὑρεθέντων ἀρχιερέων πρὸς τοὺς Ἁγιορείτας.

Τιμιώτατοι πατέρες οἱ τὴν ἀγγελικὴν πολιτείαν διάγοντες ἐν τῷ Ἁγίῳ ὄρει τοῦ Ἄθῳ, οἱ ἐν ταῖς μοναῖς οἰκοῦντες καὶ οἱ ἐν ἡσυχίᾳ ὄντες, πάντες οἱ φοβούμενοι τὸν Θεὸν καὶ ἐν τῷ νόμῳ αὐτοῦ πορευόμενοι χάρις, καὶ ἔλεος καὶ εἰρήνη τοῦ Θεοῦ εἴη μετὰ πάντων ἡμῶν. Γνωστὸν ὑμῖν ἔστω, ὅτι πῶς ἐν τῇ ἁγίᾳ συνόδῳ ἐδήλωσαν ἡμῖν ὁ πανοσιώτατος Πρῶτος κῦρ Δομέτιος ἱερομόναχος, ὃν πρὸ καιροῦ ἐλθόντα ἐχειροτονήσαμεν Πρῶτον παντὸς τοῦ ἁγιωνύμου ὄρους, καὶ ὁ πανοσιώτατος καθηγούμενος τῆς ἁγίας βασιλικῆς λαύρας κῦρ Γρηγόριος, ὅτι τὸ πῶς τινες τῶν αὐτόθι μονῶν ἀνατρέπουσι τὸν τύπον, ὃν ἔθεντο οἱ ἅγιοι πατέρες μετὰ φρικώδους καὶ ἀλύτου ἀφορισμοῦ, τοῦ τηρεῖν πάντα ἀπαράθραυστα τοὺς ἐκεῖσε οἰκοῦντας ἐν τῷ προειρημένῳ Ἁγίῳ ὄρει, καθὼς τὰ σιγγίλια τῶν ἀοιδίμων βασι-

λέων καὶ θείων συνόδων διαλαμβάνουσι κρατεῖν καὶ οἰκεῖν ἐν αὐτῷ μετὰ φόβου καὶ τρόμου. Νῦν δέ, ὡς ἔγνωμεν, ἐτραχηλιάσατε κατὰ τοῦ οἰκείου δεσπότου, ὡς ὁ πάλαι Ἑωσφόρος, καὶ ἐδαφιάσατε τὰ ὅρια τῶν ἁγίων καὶ τὴν καθολικὴν ἐκκλησίαν ἡμῶν ὁπλομαχεῖτε μετὰ σφοδρότητος, καὶ μετὰ τὴν παράβασιν τῶν ἁγίων θεσμῶν οὐκ ἐκορέσθη ὁ ταλαίπωρος ὑμῶν βίος, ἀλλ' ὁρμήσατε, κινούμενοι ὑπὸ τοῦ ἐχθροῦ τῶν ψυχῶν ὑμῶν, ἁρπάζειν τὰ ἀλλότρια καὶ προσηλῶσθαι τῇ ἱεροσυλίᾳ· βαβαί! τολμοῦντες αἴρειν ἀθέως ἀπὸ τῶν ὁρίων καὶ νομίμων τῆς τοῦ Πρωτάτου ἐκκλησίας. Τινὲς δὲ ἐξ αὐτόθι, υἱοὶ τοῦ ψεύδους καὶ τῆς γεέννης κληρονόμοι, ἠπάτησαν ἡμᾶς καὶ γραφὰς ἔλαβον πρὸς τὴν ἀπώλειαν τῶν ψυχῶν αὐτῶν. Διὰ τοῦτο ἡ βασιλικὴ πρόσταξις καὶ πατριαρχικὴ ἔστειλεν αὐτοῦ τὸν πανιερώτατον μητροπολίτην Θεσσαλονίκης κῦρ Γαβριὴλ καὶ τὸν πανιερώτατον μητροπολίτην Βερροίας κῦρ Δανιὴλ σὺν τῷ Πρώτῳ καὶ ἡγουμένῳ τῆς λαύρας, ὅπως γένηται αὐτοῦ σύναξις, ὡς θέμις, τῶν ἐγκρίτων λογάδων, καὶ διαιρεθῇ τὸ σύνορον τοῦ Πρωτάτου σὺν τοῖς δικαιώμασι πᾶσι, ὡς διεταξάμην αὐτὸ συνοδικῶς. Ἡ δὲ σύνοδος, οἱ τότε εὑρεθέντες ἀρχιερεῖς, εἰσιν οὗτοι· Μάξιμος ὑπέρτιμος Ἐφέσου, Γεννάδιος Ἡρακλείας, Μακάριος Κυζίκου, Ἀχίλλειος Κερασοῦντος, Μιχαὴλ Νικομηδείας, Γεώργιος Νικαίας, Γαβριὴλ Θεσσαλονίκης, Κλήμης Μονεμβασίας, Ἱλαρίων Τραπεζοῦντος, Συμεὼν Λαρίσσης, Νικόλαος Σερρῶν, Κυπριανὸς Τυάνων, Μητροφάνης Φιλιππουπόλεως, Ἰωσὴφ Μιτυλήνης, Ἀθανάσιος Αἴνου, Μακάριος Δ<ιδυ>μοτείχου, Μιχαὴλ Ἀναστασιουπόλεως, Ἀθανάσιος Μελενίκου, Δανιὴλ Βερροίας, Νεόφυτος Λακεδαιμονίας, Συμεὼν Μαρώνης, Παίσιος Μεσημβρίας, Παῦλος Φιλαδελφίας, Ἰωὴλ Μελιτινῆς, Ἀντώνιος Σμύρνης, Νικόδημος Ζηχίας, Προκόπιος Ἀβυδῶν. Ταῦτα δὲ φαμὲν μετὰ ἀλύτου δεσμοῦ· εἰ μὲν οὐκ ἐπιστρέψουσιν εἰς τὸν ἀπ' ἀρχῆς τύπον καὶ τὰ νομοθέσια τῶν ἁγίων πατέρων καὶ ὡς διαχωρίσουσιν οἱ ἀφ' ἡμῶν ἀπεσταλμένοι σὺν τοῖς ἐκεῖσε ἁγίοις πατράσι,.... *) κατὰ τὸν παλαιὸν ὅρον καὶ νόμον οἰκοῦντες εἰς αἰῶνα. Εἰ δέ τις ἀντερεῖ τὸν τῶν θείων πατέρων θεσμὸν καὶ τὸν ἡμέτερον, ἔστω ἀφωρισμένος ἀπὸ τῶν τιη̄ θεοφόρων πατέρων τῆς ἐν Νικαίᾳ συνόδου καὶ τῶν λοιπῶν ἁγίων συνόδων καὶ ἐξ ἡμῶν πάντων· καὶ ἔσονται προπορευόμενοι καὶ προκόπτοντες ὡς οἱ υἱοὶ τοῦ Χὰμ καὶ τὰ σκηνώματα τούτων ἐπαυξούμενα ὡς ὁ πύργος τῆς Χαλάνης, πρὸς τούτοις δὲ καὶ ἀρθήσεται πᾶν ἔλεος Θεοῦ ἀπὸ τὴν μονὴν καὶ γενεὰν ἐκείνην, ἐὰν μὴ ἐπιστραφῶσιν εἰς τὸν ἀρχαῖον τύπον. Ὅσοι δὲ ἐπιστρέψουσι καὶ εἰσακούσωσι τῶν ἁγίων πατέρων τὸν θεσμὸν καὶ τὸν ἡμέτερον, πλατύναι Κύριος ὁ Θεὸς αὐτοὺς

*) Здѣсь не достаетъ словъ.

ὡς τοῦ Ἰάφεθ τὴν γενεάν, καὶ κληρονομήσειαν τὴν ἡτοιμασμένην βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἔλεος εἴη μετ' αὐτῶν. Ἀμήν.

Τόμος καὶ τύπος τοῦ Ἁγίου ὄρους καὶ τοῦ Πρωτάτου *).

Φθασάντων τοίνυν ἡμῶν εἰς τὸ Ἅγιον ὄρος κατὰ τὴν πρόσταξιν τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν καὶ τῆς ἁγίας συνόδου, εὐθὺς συνηθροίσθησαν οἱ ἔγκριτοι καὶ λογάδες τοῦ Ἁγίου ὄρους εἰς τὸ Πρωτάτον, ὡς ἔθος, καὶ ἐπεδώκαμεν τὸν θεσμὸν τοῦ βασιλέως καὶ τῆς συνόδου. Ἐδέξαντο δὲ ταῦτα μετὰ πολλοῦ φόβου καὶ εὐχαριστίας. Καὶ πρῶτον εὕρομεν ἀταξίαν καὶ ἀλληλομαχίαν περὶ τῶν καθεδριῶν τῆς συνάξεως αὐτῶν, καὶ οὕτω διετάξαμεν αὐτούς, ὡς εὕρομεν εἰς ἀρχαῖον τύπον· πλὴν μονύδρια πολλὰ ἐρημώθησαν ὑπό τῶν Σαρακηνῶν καὶ ἕνεκεν τούτου καὶ ἡ τάξις αὐτῶν παρῆλθεν, ἕτερα δὲ ἐδομήθησαν ὑπὸ τῶν πιστῶν. Καὶ οὕτως ἐκελεύσαμεν καθέζεσθαι· ὁ Πρῶτος καὶ ὁ λαύρας ἐπίσης διὰ τὴν χειροτονίαν τοῦ πατριάρχου, ἀμφότεροι ἔχοντες καὶ βακτηρίας ἐν ταῖς χερσὶν αὐτῶν καὶ μόνον ὡς ἀρχηγοί· ἐκατέρωθεν ⟨δὲ⟩ τούτων ὁ Βατοπεδίου καὶ ὁ Ἴβηρ, ὁ Χειλανταρίου καὶ ὁ Ξηροποτάμου, ὁ Καρακάλου καὶ Ἀλυπίου, ὁ Ξενόφου καὶ Ἐσφιγμένου, ὁ Ζωγράφου καὶ Δοχειαρίου, ὁ Βασιλείου μονῆς καὶ Φιλοθέου, ὁ Παντοκράτορος καὶ ὁ Ῥωσσῶν, ἡ Κασταμονίτου μονὴ καὶ ἡ τοῦ Χαρίτωνος, ὁ ἅγιος Παῦλος καὶ ὁ ἅγιος Διονύσιος, ὁ Ῥαβδούχου καὶ ὁ Σαραβαρίου, ὁ ἅγιος Γρηγόριος καὶ ἡ τοῦ ἁγίου Σίμωνος Πέτρα, ὁ ἅγιος Σάββας καὶ τοῦ Μακροῦ. Ἐκ τῶν αὐτῶν μονῶν ἐκλεγέτωσαν τὸν ἐγκριτώτερον καὶ πνευματικώτερον, καὶ ποιήτωσαν Πρῶτον εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως, ὡς ἔθος καὶ παλαιὰ παράδοσις. Καὶ αὐτὸς τοὺς ἡγουμένους τῶν μοναστηρίων χειροτονείτω ἐκτὸς τῆς λαύρας· οὗτος γὰρ μόνον χειροτονεῖται ὑπὸ τοῦ πατριάρχου. Χρὴ δὲ σέβεσθαι τὸν Πρῶτον καὶ ὑπείκειν ὡς αὐτῷ τῷ οὐρανίῳ πατρί. Τοίνυν καὶ ἐξουσίαν ἔχει ὁ Πρῶτος λαμβάνειν παρ' ἑκάστου μοναστηρίου, ἀπὸ μὲν τῶν μεγάλων μοναστηρίων τὸν μῆνα δύω μουζούρια σίτου ἢ ἀλεύρου καὶ κριθὴν τρία μουζούρια, ἀπὸ δὲ τῶν μικροτέρων μονῶν δύω μουζούρια τὸν μῆνα ὄσπρια καὶ ἄλλας χρείας κατὰ τὴν ἑκάστου δύναμιν. Εἰς τὴν ἐκκλησίαν τοῦ Πρωτάτου δώδεκα ἐκκλησιαστικοὶ μηδαμῶς ἐκλιπέτωσαν· ὁ λαύρας καὶ ὁ Βατοπεδίου δύω τοῦ δεξιοῦ χοροῦ, ὁ Ἴβηρ καὶ ὁ Χειλανταρίου ἕτεροι δύο τοῦ ἀριστεροῦ χοροῦ, τὰ δὲ ἕτερα μοναστήρια τοὺς ὀκτώ· παρέχειν τε αὐτούς ἀνὰ

---

*) Копія такъ-называемаго Трагоса.

ἓν μουζούριον τὸν καθ' ἕκαστον μῆνα πόδεσιν, ἔλαιον, κηρόν, θυμίαμα τὸ ἀρκοῦν. Καὶ ταῦτα τάττομεν μετὰ ἀλύτου ἀφορισμοῦ, μὴ ὑστερεῖσθαι ἡ τοῦ Πρωτάτου ἐκκλησία τούτων ὅλως καὶ μὴ περιφρονεῖσθαι τὴν σύναξιν τοῦ Ἁγίου ὄρους. Ἀλλ' οὖν οἱ ἡγούμενοι οἱ πνευματικοὶ ἄνδρες παρίτωσαν πρὸς τὸ διορθῶσαι καὶ εἰρηνεῦσαι τὰ πάντα· εἶτα ὑπὸ ἄλλων ποιείτωσαν τὰς δουλείας ἐντὸς καὶ ἐκτός. Ὁμοίως κατὰ τρόπον τοῦ Πρώτου εἰς ἐπίσκοπον ἐκλεγέτωσαν καὶ ὑπ' αὐτοῦ χειροτονεῖσθαι ἱερεῖς καὶ διακόνους· ἄνευ τοιγαροῦν ἐτῶν εἰκοσιπέντε μὴ εἰσερχέσθω εἰς διακόνου βαθμόν, εἰς τριάκοντα δὲ πρεσβύτερον, εἰ δὲ ἐλάττω τῶν εἰρημένων χρόνων, ὁ χειροτονῶν σὺν τῷ χειροτονουμένῳ καθαιρείσθω κατὰ τοὺς θείους νόμους. Ὅσα δὲ μοναστήρια τοῦ Ἁγίου ὄρους ὑπάρχουσι σταυροπήγια, τοῦ πατριάρχου τὸ ὄνομα ἀναφέρειν καὶ μόνον· εἰς δὲ τὸν τοῦ τόπου ἐπίσκοπον χειροτονείσθωσαν, μήτε τοῦ πατριάρχου ἔξαρχος μήτε ἄλλου τινὸς ἐξουσίαν ἔχει εἰς τὸ Ἅγιον ὄρος. Ὁ ἐπίσκοπος μὴ εἰσερχέσθω εἰς τὸ Ἅγιον ὄρος ἄνευ ἐρωτήσεως καὶ θελήματος τοῦ Πρώτου. Μηδενὸς μοναστηρίου ποιεῖν χειροτονίας ἄνευ γράμματος καὶ συγχωρήσεως τοῦ Πρώτου. Παῖδας ἀγενείους εἰς τὸ ὄρος ὅλως μὴ δέχεσθαι, μήτε εἰς μοναστήριον μήτε εἰς κελλίον μήτε ἐν κρυπτῷ, κἂν τε υἱὸς τυγχάνῃ κἂν τε ἀδελφὸς ὑπάρχῃ ἢ συγγενής. Εἴ τις τούτῳ τολμήσῃ προσεγγίσαι ἢ προσψαῦσαι, ἔστω ἀφωρισμένος καὶ κατηραμένος, ὁμοίως καὶ οἱ συνεσθίοντες καὶ πίνοντες μετὰ τούτων τῶν ἀγενείων παίδων. Καὶ εἰ μὴ ἐξώσῃ αὐτοὺς ὁ Πρῶτος καὶ ἡ σύναξις τοῦ ὄρους, ἔστωσαν καὶ αὐτοὶ ὑπὸ τοῦ ἀναθέματος. Λαϊκοὶ προσποιείτωσαν καὶ αὐτοὶ τρία ἔτη εἰς τὸ ὄρος· εἶτα ἢ ὑποκειρέσθωσαν ἢ ἐξῶσαι αὐτοὺς ἔξω τοῦ ὄρους. Εἰ δὲ μή, ἔστωσαν καὶ αὐτοὶ ὑπὸ τῶν ἐπιτιμίων. Θηλυκὰ ζῷα μηδεὶς εἰσαγαγέτω ἐντὸς τοῦ ὄρους, μηδὲ λαϊκοὺς ἀφιέναι ὅλως νέμεσθαι θηλυκὰ ἢ ἀρσενικὰ ζῷα. Ὅρος καὶ νομὴ τῶν ἀμφοτέρων ἕως τῆς μεγάλης Βίγλας· περαιτέρω δὲ μὴ προβῆναι. Εἰ δέ τις τούτων καταφρονήσῃ, ἔστω καὶ αὐτὸς ὑπὸ τὰ ἐπιτίμια τῶν ἀγενείων. Ὁ Πρῶτος ἐὰν ποιήσῃ παραίτησιν ἢ παρὰ τοῦ πατριάρχου ἐκβληθῇ ὡς οὐκ ἀρμόζων, μὴ ἔχειν ἐξουσίαν λαβεῖν τι τὸ παράπαν, εἰ μὴ μόνον ἃ εἶχε πρὸ τοῦ ἐλθεῖν καὶ τὰ ἀμφία αὐτοῦ· εἰ δὲ λάβῃ τι, ἔστω ὑπὸ τῷ ἀναθέματι ὡς ἱερόσυλος. Μηδὲν μοναστήριον ἔχειν μετόχι ἢ σύνορον εἰς ταῖς Καραῖς τὸ παράπαν· εἰ δέ τις φωραθῇ τοῦτο ποιῶν, ἔστω καὶ αὐτὸς ὑπὸ τὰς ἀρὰς τοῦ πατριάρχου καὶ τῆς συνόδου· καὶ εἰ μὲν παρασιωπήσῃ ὁ Πρῶτος καὶ ἡ σύναξις περὶ τούτου, ἔστωσαν καὶ αὐτοὶ εἰς τὸ ἐπιτίμιον τῶν προειρημένων, ἐὰν μὴ καὶ αὐτοὶ ἀντείπωσι καὶ τῷ πατριάρχῃ ἀναγγείλωσιν. Ὀφείλουσι τὰ κελλία τὰ ἐν ταῖς

Καραῖς ἅπαντα κατ' ἔτος πέντε δουλείας ποιεῖν τῷ Πρώτῳ· εἰς τὸν καιρὸν τῶν ἀμπελίων, εἰς τὸ ξυλοκοπεῖον καὶ χορτοκοπεῖον· δίδειν κατ' ἔτος εὐλογίαν τῷ Πρώτῳ ἐκ τοῦ οἴνου, ἐκ τοῦ ἐλαίου καὶ ἐκ τῶν λεπτοκαρύων, οἱ μὲν πλείω, οἱ δὲ ἐλάττω, κατὰ τοὺς ἀγρούς. Μηδὲν κελλίον περιοριζειν σύνορον ἢ ὕδωρ, εἰ μὴ μόνον τὴν περιοχὴν καὶ νομὴν αὐτοῦ. Μηδὲν τῶν κελλίων κόπτειν ξύλα ἄνευ ἐρωτήσεως καί συγχωρήσεως τοῦ Πρώτου, ἐκτὸς πυροξύλων· ὁ πύργος τοῦ ἁγίου Σάββα, διὰ τὸ πολλάκις ἐρωτᾶν καὶ πειράζειν τὸν Πρῶτον, συγχωροῦμεν εἰς τὸν ἄνωθεν λόφον κόπτειν ξύλα καὶ μόνον, περαιτέρω δὲ μὴ προβαίνειν ἄνευ θελήματος τοῦ Πρώτου· εἰ δὲ καταφρονήσωσιν, ἔσονται ὑποδικοι τῷ ἀναθέματι, καὶ ὁ λόφος ἀρθήσεται ἀπ' αὐτῶν μετ' αἰσχύνης. Ὁ δὲ γέρων τοῦ αὐτοῦ πύργου κατὰ πάντα τῷ Πρώτῳ πείθεσθαι ὡς καὶ τὰ ἄλλα καθίσματα, μηδὲ γαυριᾶν τὴν ἑαυτοῦ μονήν· μηδεμίαν ἐξουσίαν ἔχειν· μόνον τὴν τροφὴν πορίζεσθαι· τὸν γέροντα, ὡς ὁ κτίτωρ ἐνετειλατο περὶ αὐτοῦ, καθὼς καὶ ἕτερα μοναστήρια ἔχουσι Περὶ δὲ τῶν Καρῶν τὸ σύνορον ἄρχεται ἀπὸ τῆς κρηήνης τοῦ Βασιλικοῦ ῥέοντος εἰς τὸ κάταντες μέχρι τοῦ Ἀλυπίου τοῦ μεγάλου ῥύακος, εἶτα στρέφεται ἀπ' αὐτὸν τὸν ῥύακα ἄνω ἄχρι τῆς συμπληρώσεως αὐτοῦ εἰς τὸ χεῖλος τοῦ μεγάλου ῥύακος τοῦ Παντοκράτορος, εἰς τὸ σύνεγγες κελλίον τοῦ μεγαλομάρτυρος Γεωργίου, τὸ οὕτω λεγόμενον τοῦ φανερωμένου, ὁ ἐστιν εἰς τὸ σύνορον τοῦ Πρωτάτου· διασκελίζον τὸ χεῖλος τοῦ μεγάλου ῥύακος τοῦ Παντοκράτορος ἕως εἰς τὸ κάταντες τοῦ βάθους· αὖθις τὸν αὐτὸν ῥύακα ορθιον μήτε κλίνειν δεξιὰ μήτε ἀριστερὰ μέχρι τῆς συμπληρώσεως εἰς τὴν κορυφὴν τοῦ ὄρους· εἶτα στρέφεται τὴν πρὸς τὸν Ἄθω κορυφὴν ἕως εἰς τὸ σταυροδρόμιον τὴν πρὸς τοῦ Ξηροποτάμου ὁδόν, ἐν ᾗ καὶ σταυρὸς ἵσταται· κλίνει πρὸς βορρᾶν καὶ τὴν ὁδὸν καταλαμβάνει τῶν Καριῶν· ἀπέρχεται τὴν αὐτὴν ὁδόν καὶ συγκλείει τὸ σύνορον ἔνθα καὶ ἤρξατο. Καὶ ταῦτα περὶ τοῦ βουνοῦ τῶν Καρῶν. Τὰ δὲ τῆς σκήτεως κελλία ἅπαντα ὀφείλουσι τὸν Πρῶτον κατ' ἔτος ἑκατὸν σανίδας ποιεῖν καὶ μόνον. Εἰς δὲ τὰ κελλία τοῦ Φακινοῦ καὶ πέριξ ἐκεῖσε ἅπαντα οφείλουσι καὶ αὐτὰ πέντε δουλείας ποιεῖν τῷ Πρώτῳ· ἐκεῖσε εἰς τὸν πύργον· καθαίρειν τὸν αὔλακα εἰς τὸν αἰγιαλὸν τοῦ πλοίου· εἰς τὸ δρέψαι τὸν ἐλαιῶνα καὶ εἰς τὴν κατασκευὴν αὐτῶν· δίδειν δὲ καὶ αὐτοὺς τὸ ὀφειλόμενον τῷ Πρώτῳ ἐκ τοῦ οἴνου καὶ ἐκ τοῦ ἐλαίου. Καὶ ταῦτα μὲν περὶ τῶν ὁρίων καὶ νομίμων τῆς μεγάλης ἐκκλησίας τοῦ Πρωτάτου· ἐγένετο τύπος κατὰ τὸν παλαιὸν καὶ ἀρχαῖον τύπον· καὶ οὕτω φαμὲν μετὰ ἀλύτου ἀφορισμοῦ· οὕτως ἔστωσαν καὶ διαμενέτωσαν ἀῤῥαγῆ καὶ ἀπαράθραυστα εἰς τὸν αἰῶνα. Ὁ δὲ ἐναντιούμενος εἰς ταῦτα εἴτε νῦν εἴτε μετέπειτα· ο μὴ δώοι

Κύριος· καὶ ἀνατρόπας ποιῶν κατὰ τῶν τοιούτων νόμων, ὥσπερ οἰκονομηθέντων παρὰ παντὸς τοῦ Κοινοῦ, ... *) καθὼς ἔκ τινος παρατροπῆς καὶ ἀνωμαλίας εἰς τὸ Πρωτάτον ἀνήγοντο πρώτην φιλοτιμίαν, οὐκ εὐλόγως ἔχοντες ὡς ἴδια τὰ κοινά, πρὸς οὓς ἐβούλοντο ἀποχωριζόμενοι ὡς ἐντεῦθεν δοκεῖν τὸ Πρωτάτον ἐρρίπιον γενέσθαι καὶ γυμνὸν καὶ πάσης χρείας ἐστερημένον μηδὲ δύνασθαι λατρεύειν τὸν ἑαυτῶν Δεσπότην. Τὰ νῦν δὲ ὁ θειότατος καὶ μέγιστος ἡμῶν βασιλεὺς καὶ ἡ πατριαρχικὴ μεγαλειότης τὰ ἀποχωρισθέντα πάλιν ἐπανεσώσατο εἰς τὸ Πρωτάτον. Δεῖν ἔγνωμεν οὖν κοινῶς συνθέντες καθ' ἕκαστον τῶν ἐξ ἀρχῆς διδομένων εἰς τὸ Πρωτάτον παρ' ἑκάστου μοναστηρίου ἔκ τε οἴνου καὶ ἐλαίου τὴν ποσότητα ἐνταῦθα καταγράψαι, ἵνα μὴ πάλιν εἰς τὸ ἐξῆς τὰ τῆς μέσης γίνωνται φροῦδα ἀπὸ τῶν μετέπειτα Πρωτευομένων πλεονεξίᾳ καὶ παραλόγῳ ὁρμῇ. Καί τι ἔδιδεν ἡ ἑκάστη μονή· ἄτινα καὶ ἐξ ἀρχῆς προεθεσπίσθησαν. Νῦν δὲ ὀφείλουσι διδόναι ἄτινα ἡ παροῦσα διαλαμβάνει θέσις ἀμεταθέτως καὶ ἀπαραβλήτως. Ἡ λαύρα διὰ τὰ πάντα φιλοκάλυγα καὶ ἓν νόμισμα μετὰ μανδυλίου. Ὁ Βατοπεδίου διὰ τοῦ Χαλκέως καὶ Τριπολίτου καὶ τοῦ Τροχαλᾶ οἶνον μέτρα κε′ καὶ ἔλαιον λίτρας τοσαύτας. Ὁ Ἴβηρ οἶνον μέτρα ι′ καὶ ἔλαιον λίτρας ὡσαύτως. Ὁ Χειλανταρίου οἶνον μετρα ζ′ καὶ ἔλαιον λίτρας τοσαύτας καὶ ἓν νόμισμα μετὰ μανδυλίου διὰ τοῦ Ὁμολογητοῦ καὶ τοῦ ἁγίου Γεωργίου. Ὁ Ξηροποτάμου οἶνον μετρα ς′, ἔλαιον λίτρας ὁμοίως. Τοῦ Καρακάλου ὡσαύτως. Τοῦ Φιλοθέου οἶνον μέτρα δ′, ἐλαίου λίτρας ὁμοίως. Τοῦ Ἐσφιγμένου ὡσαύτως καὶ διὰ τὴν Βάνιτζαν ἓν νόμισμα. Τοῦ Ἁλυπίου οἶνον μέτρα ζ′ ἐλαίου λίτρας ε′. Τοῦ Ξενόφου οἶνον μέτρα έ, ἐλαίου λίτρας ὁμοίως καὶ διὰ τοῦ προφήτου Δανιὴλ ἓν νόμισμα. Ὁ Ζωγράφου οἶνον μέτρα ς′ ἐλαίου λίτρας ὡσαύτως. Τοῦ Δοχειαρίου οἶνον μέτρα δ′, ἔλαιον λίτρας ὁμοίως καὶ διὰ τὸν ἀγρὸν καὶ Καλλιγράφον ἓν νόμισμα. Ὁ Ῥωσσῶν οἶνον μέτρα ε′, ἐλαίου λίτρας ὁμοίως. Ὁ Παντοκράτορος διὰ τοῦ Φαλακροῦ καὶ τοῦ ἁγίου Αὐξεντίου οἶνον μέτρα ιζ′, ἐλαίου λίτρας ὁμοίως. Ἡ τοῦ Βασιλείου μονὴ οἶνον μέτρα δ′, ἐλαίου λίτρας ὁμοίως. Ἡ τοῦ Κασταμονίτου μονὴ οἶνον μέτρα ε′, ἐλαίου λίτρας δ′. Ἡ τοῦ κῦρ Χαρίτωνος μονὴ οἶνον μέτρα ιβ′, ἐλαίου λίτρας δ′. Ὁ ἅγιος Παῦλος ἓν νόμισμα. Ὁ ἅγιος Διονύσιος ἓν νόμισμα καὶ διὰ τοῦ ἁγίου Ὀνουφρίου οἶνον μέτρα ζ′. Ὁ ἅγιος Γρηγόριος ἓν νόμισμα. Ἡ Πέτρα τοῦ Σίμωνος ὁμοίως. Τοῦ Σαράβαρι οἶνον μέτρα ε′, ἐλαίου λίτρας τοσαύτας. Ὁ Ἀναπαυσίας ὁμοίως. Ὁ Κατζαρίου οἶνον μέτρα ζ′, ἐλαίου λίτρας γ′. Τοῦ Ῥαβδούχου οἶνον μέτρα· ιδ′, ἐλαίου λίτρας ζ′. Ὁ ἅγιος Σάββας οἶνον μέτρα ιβ′, ἐλαίου λίτρας γ′. Τοῦ Μακροῦ

*) Въ подлинникѣ не достаетъ второй половины періода.

οἶνον μέτρα ιγ′, ἐλαίου λίτρας ε′ καὶ λεπτοκάρυα πινάκια δ′. Διὰ τοῦ Πρώτου τὰ λιβάδια καὶ τὸν ἐκεῖσε τόπον ὀφείλουσι κατ' ἔτος δύω νομίσματα παρέχειν τῷ Πρώτῳ ἡ μονὴ τοῦ Χειλανταρίου καὶ ἡ τοῦ Ζωγράφου.

Ταῦτα πάντα βουλόμεθα ἔχειν ἀμεταποίητα καὶ ὀρθά, μηδέποτέ ποθεν μέρος τι χαριζόμενον πρός τινος, καθὼς καὶ ὁ κράτιστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς διορίζει καὶ ὑποθεσπίζει καί ὁ παναγιώτατος ἡμῶν δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης σὺν τῇ ἁγίᾳ συνόδῳ. Εἰ δ' ὅστις μεθ' ἡμῶν γενησομένων Πρώτων παρὰ φαῦλον τὸ ψήφισμα θέμενος εἰς ἀνατροπὴν χωρήσει καὶ καταλύσει τῶν ἄνω γεγραμμένων, ἔστω ἀφωρισμένος καὶ κατηραμένος παρὰ τοῦ οἰκουμενικοῦ πατριάρχου καὶ τῆς συνόδου καὶ παρὰ τῶν ἁγίων πατέρων τῶν ἀρχαίων καὶ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. Ταῦτα ἐγένετο ἐν μηνὶ μαΐῳ, τῇ β′ ἰνδίκτῳ, τῷ ,ςΠβ′ ἔτει ἐπὶ τῆς βασιλείας τοῦ εὐσεβεστάτου βασιλέως Μανουὴλ καὶ τοῦ οἰκουμενικοῦ πατριάρχου Ἀντωνίου.

(Ср. Γεδεών, Ὁ Ἄθως, стр. 115—118).

Ἀριθμὸς τῶν ἐν τῇ ἁγίᾳ συνόδῳ ἀρχιερέων 28 ἐκτὸς τῶν ὁσιωτάτων ἀρχιμανδριτῶν, πρωτοσιγγέλλων καὶ ἡγουμένων καὶ τῶν εὐλαβεστάτων κληρικῶν καὶ ἀρχόντων τῆς μεγάλης ἐκκλησίας. Οἱ δὲ ἐν τῇ συνόδῳ τοῦ Ἁγίου ὄρους μετὰ ἀρχιερέων, ἡγουμένων τε καὶ λογάδων ἐννεακόσια καὶ ὀγδοήκοντα πέντε.

Τὸ δὲ παρὰ τῆς μεγάλης ἐκκλησίας τὸ δώρημα τοῦ Πρώτου ἔχει οὕτως· ἐπὶ τὸ φελόνιον δύο σταυροὺς ἔμπροσθεν καὶ ὄπισθεν διαῤῥαμμένους ἐκ βλατίου πορφυροῦ ἐυφυῶς· δηλονότι ὡς ἄρχων τοῦ τόπου. Ἔστι δὲ καὶ ὑπογονάτιον. Ἀναγνώστας καὶ ὑποδιακόνους ποιεῖν, καθιερεῖν τὰς νέας γινομένας ἐκκλησίας ἐν ὅλῳ τῷ ἁγιωνύμῳ ὄρει καὶ ἐνταλτήρια πνευματικοῖς δίδειν καὶ χειροτονεῖν τοὺς ἡγουμένους ὅλους τοῦ Ἁγίου ὄρους ἐκτὸς τῶν ἡγουμένων τῆς μεγάλης λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου, φορεῖν καὶ σταυρὸν ἐπὶ τοῦ καπασίου, ὡς οἱ ἀρχιερεῖς.

Εἴ τις νόμιμον τοῦτο ἀποσυλήσῃ ἢ κρύψῃ ἢ καταθήσιν ἢ ἀφανίσῃ ἀπὸ τὴν μεγάλην ἐκκλησίαν τοῦ Πρωτάτου, νὰ ἔχῃ ἀνάθεμα αἰῶνιον. Ἀμήν.

Ἐκ τοῦ τράγου...

+ Ὅταν τοὺς γέροντας θεάσωμαι κατὰ τὸν καιρὸν τῆς θείας μεταλήψεως φοροῦντας κουκούλια ποικιλτὰ διὰ μετάξης διαφόρου, λίαν ἐκπλήττομαι, καὶ

μικροῦ εἰς οἰμωγὴν μὲ τὸ ξένον τοῦ σχήματος παρακινεῖ, ὅπερ πάντως καὶ αἱ κατὰ κόσμον σώφρονες γυναῖκες ᾐδέσθησαν ἄν, ὡς ἑταιρικὸν καὶ ἥκιστα κοσμίου καὶ καθεστηκυίας γυναικὸς ἁρμόδιον. Πρόφασις δὲ τῆς αὐτῶν φιληδονίας καὶ κενοδοξίας καὶ ὁ τοῦ σταυροῦ· οἵμοι· τύπος ἐγκαλουμένοις, μηδὲ εἰδότες τίνος ἕνεκα τὸν σταυρὸν τυποῦμεν ἐν τῷ κουκουλίῳ. Ὁ μὲν γὰρ σταυρὸς τυπούμενος δι' ἐρυθροῦ οὐδὲν ἄλλο ἡμῖν χαρακτηρίζεται, εἰ μὴ τὸν τοῦ Χριστοῦ δι' αἵματος θάνατον· οὗτοι δὲ ἀναισθητοῦντες, ὥσπερ οἱ φαρισαῖοι τὰ φυλακτήρια ἐπλάτυναν καὶ ἐμεγάλυναν τὰ κράσπεδα τῶν ἱματίων, διὰ παντὸς τοῦ κουκουλίου οὐ μόνον διὰ κοκκίνου, ἀλλὰ καὶ ὠχροῦ καὶ λευκοῦ καὶ πρασίνου τοῦτον τυποῦσι, κρανίον δὲ πρὸς τὴν βάσιν αὐτοῦ λόγχην τε καὶ κάλαμον μετὰ σπόγγου καὶ ἕτερα τούτοις παραπλήσια, οἷόν τινα εἰκόνα τούτοις τυποῦσιν. Ἐπεὶ εἰ εὐχερὲς ἦν αὐτοῖς, τάχα καὶ τὸν Χριστὸν κρεμάμενον ἐν μέσῳ λῃστῶν καὶ ὄχλου πολλοῦ ἀνιστόρησαν ἄν, μὴ εἰδότες, ὡς εἶπον, ὅτι οὐ χρεία εἰκονικῆς ἐμφάσεως ἐν τῷ κουκουλίῳ, ἀλλὰ σημείωσις μόνη σταυροῦ· ἅμα μὲν τὸ αἰδέσιμον τοῦ σχήματος φυλάττοντες, ἅμα δὲ καὶ τὴν σφραγῖδα τοῦ Χριστοῦ, τὸν σταυρόν, τυποῦντες, ὡς κυριώτερον τῶν ἄλλων παθῶν εἰς ὑπόμνησιν μὲν τοῦ πάθους, ὡς εἴρηται, ἵνα καὶ ἡμεῖς τοῦτο ζηλώσωμεν, καὶ εἰς φυλακτήριον τῆς ἡμετέρας ψυχῆς, ἵνα μὴ θίγῃ ἡμῶν ὁ ὀλοθρευτής.

№ 23.

Дѣло соборнаго управленія аѳонскихъ монастырей 6907 = 1399 года, мѣсяца мая, о перенесеніи Ливадогенійскаго монастырька въ карейское проастіе Кофу̀.

Содержаніе.

+ Іериссовскій епископъ Софроній многократно просилъ Прота Св. горы и игуменовъ, чтобы ему позволено было перенесть τὸ τοῦ Λιβαδογενείου μονύδριον εἰς τὸ προάστειον τὸ ἐν ταῖς Καρέαις, ὃ προσηγορεύεται τοῦ ὁσίου Μάρκου τοῦ Κωφοῦ, потому что этотъ монастырекъ (Ливадогенійскій) раззоренъ былъ Сарацинами. Протъ Св. горы Исаакъ и прочіе игумены дозволили ему это; и онъ своими трудами и иждивеніемъ перенесъ всѣ матеріалы въ проастіе Кофу̀ и улучшилъ тутъ церковь свв. архангеловъ Михаила и Гавріила и всѣ кельи около нея. Посему соборное управленіе дало этому возобновленному монастырьку (Кофу̀) ἅπασαν τὴν αὐτονομίαν

τοῦ Λιβαδογενείου κατέχειν αὐτὰ σὺν τοῖς ὁρίοις; кромѣ сего отдало ему келью Мины на берегу моря σὺν τοῖς νομίοις αὐτοῦ и на Кареѣ находящіеся виноградники, масличія, орѣшники, огороды, овощи, поля (ἀγρούς), μὴ εἰς πρόσωπα ὡρισμένα τόσα ἢ τόσα, ἀλλὰ μένειν αὐτοδέσποτον κατὰ διαδοχὴν εἰς αἰῶνα τὸν ἅπαντα, съ правомъ выбора игумена изъ среды братій. Новый монастырекъ долженъ подчиняться Проту и ежегодно взносить ему дань, какъ то: 5 мѣръ вина, 2 фунта деревяннаго масла, двѣ чашки орѣховъ (λεπτοκάρια πινάκια δύο) и еще пять рабочихъ пóмочей (ἔτι τε ἀγγαρίας πέντε). Далѣе прописаны проклятія нарушителямъ сего постановленія. Ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν Συνάξεως γράμμα μηνὶ μαΐῳ 6907 ἔτους.

† Протъ Св. горы Исаакъ іеромонахъ.
† Игуменъ Лавры Давидъ.
† Игуменъ Ватопеда Никодимъ.
† Иверскій игуменъ подписался по-грузински.
† Игуменъ хиландарскій Аѳанасій.
† Игуменъ ксиропотамскій Пахомій.
† Игуменъ каракальскій Григорій.
† Игуменъ алипійскій Никандръ.
† Игуменъ ксенофскій Рафаилъ.
† Игуменъ изографскій Діонисій.
† Игуменъ сфигменскій Акакій.
† Игуменъ филоѳеевскій Дороѳей.
† Игуменъ рѹшкій(sic) Даніилъ.
† Игуменъ Пандократора Аѳанасій.
† Великій екклисіархъ карейскїй іеромонахъ Ѳеофанъ.
† Игуменъ дохіарскій Меѳодій.
† Игуменъ харитонскій Иларіонъ.

№ 24.

Καὶ ἰατροὶ δὲ ἄρα λοιμοῦ τοῖς σώμασι ἐπισκήψαντος καὶ ταῦτα λυμαινομένου, κἂν δυσίατον τυγχάνῃ τὸ ἐνοχλοῦν, ἀλλ' οὖν τοῖς ἐκ τῆς τέχνης..... οις καὶ ταῖς χρηστοτέραις διαίταις περιγίνονται τῆς νόσου κατὰ μικρὸν τὴν

προτέραν εὐεξίαν τοῦ νοσοῦντος ἀνακαλούμενοι· καὶ οἱ τῶν ψυχῶν δὲ ἰατροί, οἷς πάντως ἀγὼν τὸ κατὰ Θεὸν τοὺς μοναχοὺς ζῆν τὴν στενὴν ὁδὸν εἱλομένους καὶ τεθλιμμένην, εἴ ποτέ τινας τῆς εὐθείας παρατραπῆναι συμβαίη, τούτους ταῖς κατὰ μικρὸν ἀσκήσεσι, ὅθεν ἐξετράπησαν, εἰς τοῦτο χειραγωγοῦσιν. Εἰ γὰρ καὶ μαθητῶν πολλάκις ἐπιμελλομένων, ὡς δύναμις, διεγείρουσι αὐτῶν τὴν σπουδὴν οἱ τούτων παιδαγωγοί, ὥσπερ κέντρῳ τῷ λόγῳ χρώμενοι, μή ποτε ῥαθυμίας ἐπεισελθούσης ἐξίτηλος αὐτοῖς γένηται ἡ περὶ τὴν τέχνην ὁρμή, πολλῷ μᾶλλον ἐπὶ τῆς μοναχικῆς πολιτείας προσήκει, ἣ καὶ τέχνη τεχνῶν ἄριστα ὀνομάζεται, τοὺς κατ' ἀρετὴν ἡμεληκότας βιοῦν καὶ τῆς στενῆς ὁδοῦ τὸ ἄναντες ἀποσεισαμένους, τούτους πᾶσι τρόποις, ὅθεν ἐξετράπησαν, εἰς τοῦτο καθοδηγεῖσθαι. Ἐπεὶ γοῦν καὶ ἐν ταῖς κατὰ τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω σεβασμίαις μοναῖς ἠμελήθη τὰ πλείω τῆς μοναχικῆς πολιτείας τῇ τοῦ καιροῦ καὶ τῶν πραγμάτων ἀνωμαλίᾳ, δεῖν ἔγνω ἡ βασιλεία μου ἐκεῖνα τῶν ἠμεληθέντων ἀνασκευάσασθαι πρὸς τὸ κρεῖττον, ὅσα νῦν πάλιν δίδωσιν ὁ καιρός, μή ποτε τῇ κατὰ μικρὸν ἀμελείᾳ φροῦδα γένηται τὰ τῆς μοναδικῆς πολιτείας. Εἰ δὲ μὴ πρὸς πάντα εὐθὺς τοὺς μοναχοὺς διεγείρομεν τὰ ἐξ ἀρχῆς τυπωθέντα, οὐ διὰ τοῦτο παροπτέα γε ταῦτα, ἅπερ ἐπιμελητέον καὶ τὰ λείποντα κατορθῶσαι· ἐπεὶ καί τὰ ὑγιεινὰ τῶν σιτίων μή, ὅτι τοῦ νοσήματος εὐθὺς ἀναιρετικά, διὰ τοῦτό γε παροπτέα, ἀλλ' αἱρετέα μᾶλλον, ὅτι ποιητικὰ πάντα τῆς ὑγιείας κατὰ μικρόν. Ἄλλως τε οὐδ' ἂν ἄλλως εἴη ἐπὶ τὰ μείζω τινὰ τῆς μοναχικῆς πολιτείας ἐλθεῖν, εἰ μή πως ἀπὸ τῶν ἐλαττόνων ἄρξαιτο.

Ἔστι δὲ πρῶτον τὸ τὰς ἀποταγάς, ὡς οἷόν τε, ‹τη›ρεῖσθαι τῶν μοναχῶν. Τάξις γὰρ μοναχικῆς πολιτείας οὐ μόνον ὅσα τείνει πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν καὶ κτῆσιν καὶ τῶν ἄλλων τῶν πνευματικῶν ἔργων ἐπίδοσιν, δι' ὧν ψυχὴ μεταῤῥυθμίζεται πρὸς τὰ κρείττω καὶ τελεώτερα· δῆλα δὲ ταῦτα τῷ βουλομένῳ ἐκ τῶν θείων γραφῶν· ἀλλά γε δή καὶ ἡ τῶν ἀποταγῶν καὶ ὑποταγῶν ὑπόμνησις καὶ ἐκπλήρωσις, εἰδότων ἀκριβῶς καὶ τὰ τῆς μισθαποδοσίας, ἅτινα κεῖνται παρὰ Θεοῦ τοῖς μοναχικῶς κατὰ τὴν ἐπαγγελίαν ζῆν ἑλομένοις, ὡς δὲ καὶ τὰ τῆς ἀπειλῆς καὶ τῆς κατακρίσεως, εἰ ψεῦσταί φανεῖεν τῶν συνθηκῶν, ἃς ἔθεντο πρὸς αὐτόν, ὅτε τὸ ἅγιον ἐνεδύοντο σχῆμα· ὡς ὅσον ἂν οἱ τοιοῦτοι ἐλλείπωσι τοῦ τὰ ὑπεσχημένα ποιεῖν, τοσοῦτον καὶ ἁμαρτάνουσιν εἰς Θεόν, παραβάται φανέντες τῆς πρὸς ἐκεῖνον ὁμολογίας.

Τὸν εἰσιόντα εἰς τὸ μοναστήριον καὶ ἀδελφὸν ἀποκαταστάντα χωρὶς τῆς οἱασοῦν ἀπαιτήσεως ἢ συμφωνίας εἰσιέναι, συνταξάμενον ὑποταγὴν φυλάττειν

τῷ προεστῶτι καὶ εἰρηνεύειν μετὰ τῶν ἀδελφῶν. Εἰ δέ τι καὶ προσενεγκεῖν τῇ μονῇ βουληθείη ἢ χάριν προσενέξεως καὶ ἀφιερώσεως, τοῦτο δίδοσθαι παρ' αὐτοῦ, ὡς μηδὲν ἔχειν δικαίωμα ἐν τῇ μονῇ τὸν προσενεγκόντα διὰ τὸ προσενεχθὲν ἢ καθὼς ἐστιν ἔθος γίνεσθαι ἐν τῇ ἱερᾷ καὶ μεγάλῃ λαύρᾳ, τόδε ἐστί· συμφωνίαν μέν οὐδεμίαν τούτων μεταξὺ προβῆναι διὰ τὸ καταβληθέν, ἀποκερδαίνειν δὲ καὶ αὐτὸν ἐκ τῆς μονῆς ὅπερ καὶ ἕκαστος τῶν ἀδελφῶν. Ἐὰν δὲ ἡ τῆς μονῆς ἐξέλθῃ ἀφηνιάσας ἢ ἐν τῷ κελλίῳ αὐτοῦ παρὰ γνώμην τοῦ ἰδίου καθηγουμένου καθίσῃ, προσχήματι ἡσυχίας τὴν ἰδιορρυθμίαν ἀσπασάμενος, τότε οὐδέ τι ἀπὸ τῆς μονῆς ὀφείλει λαβεῖν, οὐδὲ ὑπερπύρου ἐξ αὐτῆς ἀπαιτεῖν. Εἴτε γὰρ ὡς ἀφιέρωσις κατεβλήθησαν ταῦτα εἰς τὸ μοναστήριον, ἱεροσυλία ἐστὶ τὸ ἐξ αὐτοῦ πάλιν τὸν καταβαλόντα πειρᾶσθαι ταῦτα ἀναλαβεῖν· εἴτε κατὰ τὸν ἕτερον τρόπον, τὸν καὶ ἐν τῇ ἱερᾷ λαύρᾳ διενεργούμενον, οὐδὲ οὕτως ὀφείλει τι λαμβάνειν ἐκ τῆς μονῆς, ὅτι τὰ ὑπεσχημένα οὐκ ἐφύλαξεν οὐδ' ὥσπερ οἱ λοιποὶ τῶν ἀδελφῶν καὶ αὐτὸς ἐθέλει διάγειν. Δεῖ οὖν αὐτὸν ἐκείνων γε στερηθῆναι, ἃ κερδαίνουσιν οἱ ἄλλοι τῶν ἀδελφῶν διά τὴν καρτερίαν αὐτῶν ἐκ τοῦ μοναστηρίου καὶ τὴν εἰρήνην καὶ τὴν ὑποταγήν, ἣν πρὸς ἀλλήλους καὶ πρὸς τὸν προεστῶτα ἐνδείκνυνται.

Τὸ σπεύδειν μηδὲν ἰδιόκτητον ἔχειν τὸν μοναχικῶς ζῆν ἐλόμενον, ἀλλὰ τοῖς παροῦσιν ἀποτάξασθαι πᾶσι, τῆς ἐντολῆς μεμνημένον καὶ τῆς ἀπειλῆς, καθὰ καὶ ἐν τῷ περὶ ἀποταγῶν εἴρηται πρὸ μικροῦ, καὶ βίον διώκειν ἐσταυρωμένον, ὡς ἡ ὑπόσχεσις. Τοῦτο γάρ ἐστι τὸ ὄντως καλόν· οὐδεὶς γὰρ τὴν χεῖρα αὐτοῦ, φησί, βαλὼν ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετος ἐστιν εἰσελθεῖν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὀπισθεν καλῶν ἐκεῖνα, οἷς ὥσπερ βάρος, διὰ τὴν εἰς Θεὸν πορείαν ἀπεταξάμενος. Ἐπεὶ δὲ τοῖς μοναχοῖς νῦν ἰδιοκτήτως εὑρίσκονταί τινα κτήματα πρόσοδον μερικὴν αὐτοῖς ἐκποιοῦντα καὶ διὰ τοῦτο οὐ ῥαδίαν ἔχοντα τὴν ἀποβολήν, τούτων μὲν τὴν χρῆσιν ἐχέτωσαν οὗτοι παρ' ὅλην αὐτῶν τὴν ζωὴν ταῦτά γε καρπιζόμενοι, τελευτῶντες δὲ τῇ κατ' αὐτοὺς μονῇ ταῦτα παραπεμπέτωσαν, κατὰ τὴν ἐπικρατοῦσαν καί μέχρι τοῦ νῦν συνήθειαν ἐν τῇ λαύρᾳ. Εἰς τὸ ἔμπροσθεν δὲ προσήκει μὲν κατὰ τὴν ὑποτύπωσιν τοῦ ἁγίου Ἀθανασίου καὶ τὴν τούτων ἐπαγγελίαν μηδὲν αὐτοὺς ἰδιόκτητον ἔχειν· εἰ δ' ἐμπόδιον αὐτοῖς ὁ καιρός, μὴ συγχωρῶν ἀθρόαν αὐτοῖς γενέσθαι τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν, τοῦτο ἄχρις ἂν ὁ καιρὸς πάλιν παράσχῃ, συναιρουμένου Θεοῦ, οὕτως ἐχέτωσαν τὰ ἐπικτησθησόμενα, καθὼς ἔστι συνήθεια εἰς ἅπαν τὸ Ἅγιον ὄρος. Ἀπὸ δὲ τῶν προσόντων αὐτοῖς κινητῶν ἀφιέτωσαν τοῖς

ὑπουργοῖς αὐτῶν ὑποτακτικοῖς ὁ βούλωνται πρὸς ἀμοιβὴν τὴν ἐκείνων ὑπηρεσίαν ἀφορῶντες καὶ εἰς τὸ ἁρμόδιόν τε καὶ ἄμεμπτον.—Τὸν καθηγούμενον γίνεσθαι οὐ μόνον τῇ τῶν ἐντὸς πεντεκαίδεκα βουλευτῶν ψήφῳ καὶ ἐκλογῇ, κατὰ τὴν ὑποτύπωσιν τοῦ ἁγίου, ἀλλὰ καὶ τῇ συνελεύσει καὶ συμφωνίᾳ τῶν ἔξωθεν τῆς μονῆς οἰκούντων ἐκκρίτων ἀδελφῶν. Περὶ γὰρ τῶν τῆς μονῆς πραγμάτων ἀρκέσει πάντως ἡ τῶν ἐντὸς αὐτῆς βουλευτῶν διάσκεψίς τε καὶ συμφωνία, πρὸς δέ γε τὴν τοῦ καθηγουμένου ἐπιλογὴν χρεία πάντως καὶ τῆς τῶν ἔξωθεν παρουσίας· οὐχ ὅτι μόνον ἅπαξ γινόμενον, ἀβαρές ἐστι τοῖς ἔξωθεν τῇ μονῇ ἅπαξ παραβαλεῖν, ἀλλ' ὅτι καὶ πάντας δεῖ συνδραμεῖν ἐπὶ τούτῳ καὶ συμφωνῆσαι, ἅτε τὸν πνευματικὸν ἑαυτοῖς ἐπιλεγομένους πατέρα καὶ τούτῳ ἀκολουθεῖν καὶ μιμεῖσθαι καὶ ὑποτάσσεσθαι παρὰ τῆς ἐντολῆς καθάπαξ κελευομένους. Οἱ καὶ ποιήσουσι τοῦτον ἐπιλεγόμενοι κατὰ τὴν ἱερὰν ὑποτύπωσιν τοῦ ἁγίου Ἀθανασίου, τοῦ συνταξαμένου τὰ κατ' αὐτούς. Ὃς καὶ ὀφείλει μετὰ τῶν βουλευτῶν τοὺς διακονητὰς ἐκλέγεσθαι τῆς μονῆς καὶ οὓς μὲν εἰς τὰ μετόχια αὐτῶν ἀποστέλλειν ὁμονοίᾳ κοινῇ, οἷς δὲ τὰς ὑπηρεσίας τῆς μονῆς ἐγχειρίζειν· οὕτω γὰρ οὐδεὶς αὐτοῖς ἀντερεῖ οὐδ' ὑπονοήσει τούτους νοσφισαμένους, ἐπειδὴ παρὰ τῶν βουλευτῶν οὗτοι ἐξελέγησαν.—Πάντας τοὺς ἀδελφοὺς στοργὴν ἔχειν καὶ ἀγάπην εἰς τὸν προεστῶτα καὶ ὑπακούειν αὐτοῦ, ἐφ' οἷς ἂν εἴπῃ καὶ διατάξηται· «ὁ ἀκούων» γὰρ φησίν, «ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ»· καὶ ἔχειν αὐτὸν ὡς πατέρα, μᾶλλον δὲ καὶ πλέον πατρός, ἐπειδὴ τὰ πνευματικὰ κρείττονα τῶν σαρκικῶν. Τὸν δὲ καφηγούμενον βλέπειν ἅπαντας ὡς ἀδελφοὺς καί πατέρας καὶ πᾶσι τρόποις πειρᾶσθαι θεραπεύειν αὐτοὺς καί χειραγωγεῖν πρὸς τὴν τῆς σωτηρίας ὁδόν, ἐπεὶ καὶ ὁ Κύριος ἡμῶν καὶ Θεὸς οὐκ ἀπηξίωσε πατέρας καὶ ἀδελφοὺς καλέσαι τοὺς ἀκολουθοῦντας αὐτῷ· «οὗτοι» γὰρ φησίν, «ἡ μήτηρ μου, καὶ οὗτοι οἱ ἀδελφοί μου».—Τὸ μήτε εἰσελεύσεις ἰδίας ἔχειν εἰς τὸ μοναστήριον μήτε ἐξελεύσεις, ἀλλὰ πάντας μετὰ προτροπῆς καὶ μετανοίας ἐξέρχεσθαι τοῦ προεστῶτος· μετὰ δὲ τὸ ἐπανελθεῖν αὐτοὺς ἀνακρίνεσθαι παρ' αὐτοῦ διὰ τὰ καθ' ὁδὸν ψυχικὰ ἢ σωματικὰ συναντήματα καὶ κανονίζεσθαι αὐτοὺς, εἰ δεήσει παρ' αὐτοῦ ἢ ἀπολύεσθαι μετὰ συγχωρήσεως. Τοδε καὶ εἰς τοὺς ὑπουργοὺς διαβήσηται τῶν γερόντων μοναχῶν· εἰ γὰρ αὐτοὶ οἱ γέροντες μετὰ προτροπῆς ἐξελεύσονται τοῦ καθηγουμένου, πολλῷ μᾶλλον τοῦτο πρὸς τοὺς αὐτῶν τηρηθήσηται ὑπουργούς, ἢ πῶς ἂν φανεῖεν μαθηταὶ τούτων καὶ ὑπουργοί, ὧν τὸν βίον καὶ τὴν πολιτείαν οὐκ ἐμιμήσαντο; Τὸ πάντα τὰ τῆς μονῆς μετὰ βουλῆς τῶν κρειττόνων γίνεσθαι καὶ τοῦ καθηγουμένου. Ἐπὶ γὰρ τῶν πόλεων ὅσαι καλῶς πράττουσι τῇ

τῶν ἀρίστων βουλῇ διοικοῦνται, καὶ οὐ τῇ τῶν πολλῶν οὐδὲ τῶν τυχόντων οὐδ' ἂν τῇ τοῦ ἄρχοντος μόνου· τὸ μὲν γὰρ δημοκρατία, τὸ δὲ τυραννίς, ἀμφότερα δὲ ὁμοίως ἄτοπα· δίκαιον ἂν εἴη μηδὲν τῶν τοῦ μοναστηρίου γίνεσθαι ἄνευ τῆς τῶν κρειττόνων βουλῆς, ἀλλὰ πάντα μετ' εἰδήσεως καὶ γνώμης καὶ ἐνδόσεως αὐτῶν καὶ τοῦ καθηγουμένου. Εἶεν δ' ἂν οὗτοι τῷ ἀριθμῷ πεντεκαίδεκα κατὰ τὴν ὑποτύπωσιν τοῦ ἁγίου, οἳ καὶ ἐξ ὀνόματος καταγράφονται ἐν τῇ θέσει τοῦ μοναστηρίου. Ὅτε δὲ αὐτῶν τινὶ συμβαίη τῷ χρεῶν λειτουργῆσαι, τῇ τῶν ἐναπολειφθέντων βουλῇ πρὸς τὸν ἐκείνου τόπον ἕτερος ἐκλεγέσθω, ὡς ἂν ὁ τῶν βουλευτῶν ἀριθμὸς τηρῆται ἀμείωτος.

Τὸ συνέρχεσθαι τούτους ἐν τῇ συνάξει, εἰ οἷόν τε, καθ' ἑκάστην ἡμέραν, ἀπαραιτήτως δὲ καθ' ἑκάστην δευτέραν, καὶ βουλεύεσθαι μετὰ τοῦ καθηγουμένου περὶ τῶν πρακτέων καὶ ἐξετάζειν τὰς δουλείας τοῦ μοναστηρίου, πῶς ἐγένοντο παρὰ τῶν ἀποταχθέντων διακονητῶν, καὶ καταγράφειν αὐτῶν τῆς μονῆς τὸν γραμματικὸν εἴσοδον καὶ ἔξοδον, καὶ ὑπογράφειν ἐν αὐταῖς τινα τῶν βουλευτῶν διὰ τὸ ἀδιάβλητον. Εἰ δὲ γένηταί τις διαφωνία ἐν αὐτοῖς περὶ τῶν πρακτέων, τὴν τῶν πλειόνων ψῆφον κρατεῖν.

Τὸν ἀπ' ἄλλης μονῆς προσελθόντα μοναχὸν ἐν ἑτέρᾳ μονῇ μὴ προσδέχεσθαι αὐτίκα παρὰ τοῦ ταύτης καθηγουμένου οὔτε μὴν παραβλέπεσθαι τοὺς διὰ πλημμέλημά τι ἢ διὰ λιποταξίαν αὐτῶν τῆς ἰδίας μονῆς ἐξελθόντας καὶ τῆς πνευματικῆς αὐτῶν μάνδρας ἀποσκιρτήσαντας, ἀλλὰ τοὺς μὲν πᾶσι τρόποις ἐπανακαλεῖσθαι εἰς τὸ μοναστήριον κατὰ μίμησιν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν, ὃς ἐπὶ τὸ πλανώμενον ἦκεν ἀφεὶς τὰ μὴ πεπλανημένα, κατὰ τὴν παραβολήν· τοὺς δ' ἀπ' ἄλλης μονῆς ἐξελθόντας καὶ εἰς τὴν ἑαυτοὺς προσδραμεῖν ἐθέλοντας κατὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας τότε προσδέξασθαι, ὅταν μηνύσαντος αὐτοῦ τῷ ἰδίῳ καθηγουμένῳ, ἀφ' οὗ ἐξῆλθε, συγχωρῆσαι τῷ ἀδελφῷ τὸ ἁμάρτημα, οὗτος οὐκ ἐθελήσῃ τοῦτο ποιῆσαι. Καὶ τοῦτο ποιεῖν οὕτως ὀφείλουσι, δεδοικότες τὸ ἐπιτίμιον, ὅπερ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες διαγορεύουσι τῆς πρώτης καὶ δευτέρας συνόδου περὶ τῶν ἀφ' ἑτέρας μάνδρας εἰς ἑτέραν μεταπηδώντων καὶ προσδεχομένων ἄνευ τῆς δηθείσης δοκιμασίας.

Τὴν ζύμην, ἀφ' ἧς αἱ εὐλογίαι γενήσονται αἱ πρὸς τὴν θείαν ἀναφοράν, καθαρωτέραν εἶναι, καὶ οὐ κατὰ τὴν ἄλλην ζύμην, τὴν εἰς διακονίαν τῶν μοναχῶν· εἰ γὰρ ἐπὶ τῶν ἄνω χρόνων θυσίας τῷ Θεῷ κατὰ τὸ παλαιὸν προσγενομένης τὸ πρῶτον καὶ ἐξαίρετον αὐτῷ ἐκαρποφοροῦσαν, πολλῷ μᾶλλον τῆς ἀναιμάκτου θυσίας νῦν αὐτῷ παρὰ τῶν ἱερουργῶν τελουμένης τὴν ζύμην, ἐξ ἧς ὁ θεῖος

καὶ ἀκηλίδωτος ἄρτος γενήσηται, καθαρὰν καὶ ἐξαίρετον εἶναι προσήκει, ἀφ' ἧς οὐ πλείους εὐλογίας, ἀλλ' ἢ μόνας ὅσαι ἀρκοῦσιν εἰς ὑπηρεσίαν τῆς ἐκκλησίας γενήσονται. Τὸ γὰρ ἐπέκεινα τούτων ποιῆσαι καὶ ὡς περιττευούσας μὴ τῷ Θεῷ ἀναφέρεσθαι, ἀλλ' ἐσθίειν ταύτας τοὺς μοναχοὺς ἐφάμαρτον εἰς Θεὸν καὶ τὴν αὐτὴν καταδίκην ἐπάγον τοῖς τολμηταῖς, ἣν ὑπέστησαν ὅ τε Ἠλεὶ καὶ οἱ τούτου υἱοί, οἳ μὲν πρὶν τῷ Θεῷ θυσιάσαι τὰ προσφερόμενα λαμβάνοντες ταῦτα καὶ κατεσθίοντες καὶ ἄλλοις διαδιδόντες, ὁ δὲ μὴ ὡς ἐξαναστὰς κατὰ τούτων μηδὲ κωλύσας αὐτοὺς τῆς ὁρμῆς· ἐξ οὗ δὴ πταίσματος αἰσχρῶς αὐτοί τε ἀπώλοντο καὶ Ἠλεὶ ὁ τούτων πατήρ, ἥ τε τοῦ Θεοῦ κιβωτὸς ἐκείνη παρεδοθη τοῖς ἀλλοφύλοις, ὡσπερεὶ τοῦ Θεοῦ μὴ ἀνασχομένου ταύτην μετὰ τῶν παρανόμων τούτων εὑρίσκεσθαι.

Μηδένα τῶν τοῦ Ἁγίου ὄρους μοναχῶν ἐξέρχεσθαι καὶ συντεκνίας ἢ ἀδελφοποιίας ποιεῖν μετὰ κοσμικῶν· ἀνοίκειον γὰρ τοῦτο τοῖς μοναχοῖς, οἳ καὶ παισὶ καὶ πατράσι καὶ ἁπλῶς πᾶσι τοῖς καθ' αἷμα τούτοις προσήκουσιν ἀπετάξαντο. Καὶ εἰ προλαβόντες δέ τινες κατεπράξαντό τι τοιοῦτον, μηκέτι εἰς τοὺς αὐτῶν ἀπίτωσαν οἴκους μηδὲ συναριστάτωσαν τούτοις ἢ συνδειπνείτωσαν ἢ ὅλως μετ' αὐτῶν συμποσιαζέτωσαν, μηδέ τι αὐτοῖς καταλιμπανέτωσαν, ὡς κληρονόμοις αὐτῶν.

Τὰ μετόχια διδοσθαι πρὸς οὓς ἂν ὅτε καθηγούμενος ἐπιλέξηται μετὰ τῶν βουλευτῶν ἐπὶ μάρτυρι τῷ Θεῷ, μαρτυρούσης τῆς συνειδήσεως τούτων, ὡς οὐ κατὰ σχέσιν ἢ προσπαθῶς ἐδοθησαν ταῦτα ἢ ἕνεκα δωροληψίας. Εἰ μὴ γὰρ οὕτω γένηται, ἀναφύονται γογγυσμοὶ καὶ ψιθυρισμοὶ παρὰ τῶν μοναχῶν, ὁθεν ἐπιγίνεται ἡ καταστροφὴ τοῦ μοναστηρίου καὶ ἡ τῶν ψυχῶν ἀπώλεια καὶ φθορά, ἐκ τούτου δὲ καὶ ἡ τῶν μοναχῶν ἀνατρέπεται ἡσυχία καὶ ἡ μοναχικὴ κατάστασις καὶ πολιτεία· τοῦ γὰρ Κυρίου λέγοντος ὅτι «ὸς σκανδαλίσει ἕνα τῶν μικρῶν τούτων, συμφέρει ἵνα κρεμασθῇ λίθος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ εἰς τὴν θάλασσαν», ὁ τοσούτους καὶ τοιούτους σκανδαλίζων πόσον ὑφέξει τὸ κρῖμα; Τῷ τοιούτῳ ἁρμόσει τὸ «καλὸν ἦν εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος», ὅτι, ὅσον τὸ ἀφ' ἑαυτοῦ, τὸ σῶμα τῆς ἀδελφότητος, ὅπερ ἐστὶν αὐτὸς ὁ Χριστός, εἰς μέλη κατατέμνει καὶ μέρη διὰ τῆς καταλαλιᾶς καὶ τοῦ γογγυσμοῦ. Εὔκαιρον οὖν ἐστιν εἰπεῖν· ἐξάρατε ἐκ μέσου τὸν τοιοῦτον, ἵνα μὴ μικρὰ ζύμη ὅλον τὸ φύραμα δολοῖ.

Εἴ τι ἂν εἰσαχθείη ἐν τῇ μονῇ ἀπὸ προσενέξεως, εἴτε χρήματα εἶεν εἴτε ἱερὰ σκεύη εἴτε ἔλαιον εἴτε ἄλλο τι τῶν εἰς χρείαν σωματικήν, τὰ μὲν ἱερὰ

ἐν τῷ ναῷ ἀνατίθεσθαι, ὡς τῷ Θεῷ ἀφιερωθέντα, τὰ δ' ἄλλα ἐγχειρισθῆναι τοῖς διακονηταῖς καὶ γνώμῃ τῶν βουλευτῶν καὶ τοῦ καθηγουμένου ἐξαντλεῖσθαι ταῦτα εἰς τὰς ἀπαραιτήτους χρείας τοῦ μοναστηρίου· μήτινα δὲ ἐξ αὐτῶν τὸ οἰονοῦν ἰδιοποιεῖσθαι, ἱεροσυλία γὰρ τοῦτο καὶ ἀλλότριον τῆς μοναχικῆς πολιτείας.

Μηδένα εὐνοῦχον ἢ ἀγένειον παρὰ τῶν μοναχῶν εἰσδεχθῆναι ἢ δι' ὑπουργίαν τινὸς ἢ διὰ τὸ τὸ μοναχικὸν αὐτὸν ἀμφιάσασθαι σχῆμα· λάθοι γὰρ ἂν ἐντεῦθεν καὶ γυνὴ τῆς μονῆς ἐντὸς τολμήσασα εἰσελθεῖν, εἰς ἄνδρα μετασχηματισθεῖσα καὶ τὸν εὐνοῦχον ἢ τὸν ἀγένειον ὑποκριναμένη.

Μηδέποτε θῆλυ ζῷον εὑρεθῆναι τοῦ Ἁγίου ὄρους ἐντός, κἂν ὁποῖον ἄρα καὶ ᾖ κἂν ὁπόσην παρέχῃ μετὰ τῆς χρείας τὴν πρόσοδον· ἅπαξ γὰρ ἀπηγόρευται τοῦτο παρὰ τῶν ἁγίων ἐκείνων καὶ φιλαρέτων ἀνδρῶν οὐκ ἀφελῶς οὐδ' ἀλόγως, ἀλλὰ τῷ διὰ πάντων καθαροὺς εἶναι τοὺς ἐν αὐτῷ μοναχοὺς καὶ μηδὲ τοῖς ὀφθαλμοῖς αὐτοὺς ὑποχραίνεσθαι τῇ τοῦ θήλεος θεωρίᾳ.

Τοὺς οἰκοδόμους εἰσέρχεσθαι μὲν ἐντὸς τῆς μονῆς καὶ τὰ πρὸς χρείαν τῶν ἀδελφῶν ἐνεργεῖν, παίδας μέντοι μεθ' ἑαυτῶν οὐ συμπαραλήψονται ἀγενείους ἐπὶ προφάσει συνεργείας αὐτῶν· ὁ γὰρ αὐτὸς ἔσται καὶ ἐπὶ τούτων λόγος, ὃς καὶ περὶ τῶν εὐνούχων καὶ ἀγενείων εἴρηται πρὸ μικροῦ.

Τούτοις πᾶσι τοῖς τυπωθεῖσι καὶ ἐκτεθεῖσι παρὰ τῆς βασιλείας μου ἅπαντας τοὺς ἡγουμένους καὶ μοναχοὺς τοῦ Ἁγίου ὄρους ἐμμένειν συνοῖσον ἡγησάμεθα καὶ μηδαμῶς κατατολμᾶν τινα πρὸς ἀνατροπὴν χωρῆσαί τινος τῶν ἄνωθεν κεφαλαίων, μεμνημένον, ὡς εἴρηται, καὶ τῆς ἀπειλῆς καὶ τῆς μισθαποδοσίας· νῦν μὲν γὰρ στέφανοι καὶ γέρρα παρὰ Θεοῦ τοῖς ἐργάταις τῶν τοπωθέντων, νῦν δὲ κόλασις ἠπείληται καὶ πῦρ τοῖς τούτων καταφρονηταῖς. Δι' ὃ εἴ τις φωραθείη παρὰ φαῦλον θέμενος ἅπερ ἐπὶ συστάσει καὶ ὠφελείᾳ τῶν ἐν τῷ Ἁγίῳ ὄρει μοναχῶν ἐκτέθειται καὶ τετύπωται, μεμνήσθω καὶ τῶν ἀπειλῶν τῶν παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων καὶ γινωσκέτω, ὅτι καὶ παρὰ τῆς βασιλείας μου ὁ τοιοῦτος οὐκ ὀλίγην εὑρήσει τὴν ἀγανάκτησιν, ὡς καταπεπάτηκε τὴν ἰδίαν συνείδησιν καὶ ἀφορμὴ σκανδάλου τοῖς πολλοῖς γινόμενος.

Ἐπεὶ δὲ καὶ περὶ ἄλλων τινῶν μερικωτέρων κεφαλαίων ἠξίωσαν οἱ μοναχοὶ καὶ παρεκάλεσαν τὴν βασιλείαν μου ὑποτυπωθῆναι αὐτοῖς τὸ πρακτέον, διορίζεται καὶ περὶ τούτων ἡ βασιλεία μου ἐν προστάγματι αὐτῆς, ὅσα ἐκεῖσε καταγράφονται· ὃ δὴ καὶ ἐπικυροῖ καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς ἐπὶ τῷ πληροῦσθαι καὶ ταῦτα παρὰ τῶν μοναχῶν, ὥσπερ δὴ καὶ τὰ

ἐνταυθὶ καταγεγραμμένα. Ἐπὶ τούτῳ γὰρ καὶ ὁ παρὼν χρυσοβουλλος λόγος τῆς βασιλείας μου γέγονεν, ἐπι τῷ προσεῖναι τοῖς κατὰ τὸ Ἅγιον ὄρος τοῦ Ἄθω τιμιωτάτοις μοναχοῖς ὡς τυπικόν τε καὶ ὑποτύπωσιν τῆς ὀφειλομένης παρ' αὐτῶν πολιτείας, ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἱσταμένης τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἐννακοσιοστοῦ τεσσαρακαιδεκάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ἐπεσημήνατο κράτος.

ΜΑΝΟΥΗΛ ΕΝ ΧΩι ΤΩι ΘΕΩι ΠΙΣΤΟΣ ΒΑΣΙΛΕΥΣ ΚΑΙ ΑΥΤΟΚΡΑΤΩΡ ΡΩΜΑΙΩΝ Ο ΠΑΛΑΙΟΛΟΓΟΣ.

№ 25.

Ἴσον διαθήκης Ἰακώβου Πρικανᾶ, τοῦ καθηγουμένου τῆς λαύρας, εἰς τοὺς 1363 χρόνους ἐπ' ἡμερῶν τοῦ βασιλέως Ἰωάννου Καντακουζηνοῦ καὶ Φιλοθέου πατριάρχου Κωνσταντινουπόλεως.

..... Τῶν νέων τὰς φιλίας, τὰς ἀργολογίας, τὰς καταλαλιάς, τὰς υἱοθεσίας καὶ παραθέσεις τὰς ἀκαίρους καὶ βλαβεράς, τὰ συμπόσια καὶ τὰ συγκαθίσματα ἐν κελλίοις καὶ ἐν πραγματείαις καὶ ἐν πάσῃ κακῇ ἀναστροφῇ καὶ συνηθείᾳ καὶ ἕξει· καὶ τῶν ἀγενείων πολλὴν ὀφείλετε φροντίδα ποιεῖν οἱ ἐνοχοποιοῦμενοι καὶ μηδένα συγχωρεῖν τῆς μονῆς ἔνδον διὰ τὰ σκάνδαλα καὶ τοὺς πατρικοὺς θεσμοὺς καὶ πολλὴν ἀσθένειαν τῶν λογικῶν ἀνθρώπων, κἂν υἱὸς βασιλέως τυγχάνῃ· τὰ γὰρ Σόδομα καὶ Γόμορρα αἱ πέντε πόλεις αὗται διὰ ταῦτα πυρὸς ἀνάλωμα καὶ ὕδατι καταπόντιστοι γεγόνασι.

... Потомъ Прикана говорилъ, что въ монастыряхъ и лаврахъ сіяли благодать Божія, доколѣ они имѣли страхъ Божій и цѣломудріе. Ἐπὰν δὲ εἰς ἐκείνους ἐκράτησεν ἡ καταφρόνησις καὶ ἡ παρακοὴ τῶν πνευματικῶν, καὶ γεγόνασιν ἑτεροφιλίαι καὶ νέων καὶ ἀγενείων συμπόσια καὶ γελοιασμοὶ καὶ πρὸς τὸ ἀπηγορευμένον μύσος καὶ καταστρηπασμοὶ καὶ ἁφαὶ μελῶν καὶ συμπλοκαὶ πρὸς τὸ παρὰ φύσιν ἀτόπημα, καὶ ἕως πράξεως ὁ σκοτισμὸς ἐκράτησε πολλῶν καὶ διαφόρων ψυχῶν, καὶ ἀδιόρθωτον ἔμεινε τὸ ἀνόμημα· ἐγκατελείφθησαν παρὰ τοῦ Θεοῦ οἱ τόποι ἐκεῖνοι, καὶ οἱ κατοικοῦντες διὰ τῶν πολλῶν πειρασμῶν καὶ θλίψεων τοῦ ζῆν ἀπηλλάγησαν, καὶ ἕκτοτε μένουσιν οἱ τόποι ἐκεῖνοι βαρβάρων πεπληρωμένοι διὰ τὸ ἀνάξιον τῆς γενεᾶς ἐκείνης. Καὶ προσέχετε, παρακαλῶ ὑμᾶς, ἅγιοι μου πατέρες καὶ ἀδελφοί· μήποτε ἐξ ἀπροσεξίας καὶ παρα-

κοῆς πατρικῆς ἐμπέσητε καὶ ὑμεῖς εἰς ἀνοδίας καὶ βάραθρα καὶ ἔκκαυσιν τοῦ παρὰ φύσιν κακοῦ, καὶ θυμωθῇ καθ' ἡμῶν ὁ Κύριος, καὶ ὁ τόπος ὁ ἅγιος βεβηλωθῇ καὶ ἔρημος μένῃ διὰ τὸ ὑμῶν ἀνάξιον...

... Σώζεσθε, πατέρες μου ἅγιοι, σώζεσθε, καὶ πάλιν ἐρῶ· σώζεσθε.

№ 26.

Ἁγιορειτικὸς τόμος.

Ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων διὰ τοὺς ἐξ ἰδίας ἀπειρίας καὶ τῆς πρὸς τοὺς ἁγίους ἀπειθείας ἀθετοῦντας τὰς τοῦ πνεύματος μυστικὰς ἐνεργείας κρεῖττον ⟨ἢ⟩ λόγος ἐν τοῖς κατὰ πνεῦμα ζῶσιν ἐνεργουμένας καὶ δι' ἔργων φανερουμένας, ἀλλ' οὐ διὰ λόγων ἀποδεικνυμένας.

Τὰ μὲν ἀρτίως καθωμιλημένα καὶ κοινῇ πᾶσιν ἐγνωσμένα καὶ παῤῥησίᾳ κηρυττόμενα δόγματα τοῦ διὰ Μωσέως ὑπῆρχε νόμου μυστήρια τοῖς προφήταις μόνοις ἐν πνεύματι προσορώμενα, τὰ δ' ἐπηγγελμένα τοῖς ἁγίοις ἀγαθὰ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα τῆς κατὰ τὸ εὐαγγέλιον πολιτείας ἐστὶ μυστήρια τοῖς διὰ τοῦ πνεύματος ὁρᾶν ἠξιωμένοις, καὶ τούτοις μετρίως, ὡς ἐν ἀῤῥαβῶνος μέρει διδόμενά τε καὶ προορώμενα. Ἀλλ' ὥσπερ εἴ τις τότε τῶν Ἰουδαίων μὴ μετ' εὐλαβείας ἀκούων τῶν προφητῶν λεγόντων λόγον καὶ πνεῦμα Θεοῦ συναίδιά τε καὶ προαιώνια συνέσχεν ἂν τὰ ὦτα, δοκῶν ἀπηγορευμένων ἀκούειν τῇ εὐσεβείᾳ φωνῶν καὶ τῆς ἀνωμολογημένης τοῖς εὐσεβέσι φωνῆς ἐναντίων, δηλονότι τῆς λεγούσης· «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν»· οὕτω καὶ νῦν τάχα ἄν πάθοι τις, μὴ μετ' εὐλαβείας ἀκούων τῶν μόνοις ἐγνωσμένων τοῖς δι' ἀρετὴν κεκαθαρμένοις μυστηρίων τοῦ πνεύματος. Ἀλλ' ὥσπερ αὖθις ἡ τῶν προῤῥήσεων ⟨ἐκείνων⟩ ἔκβασις σύμφωνα τοῖς φανεροῖς ἀνέδειξε τὰ τότε μυστήρια, καὶ πιστεύομεν νῦν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, θεότητα τρισυπόστατον, φύσιν μίαν, ἁπλῆν, ἀσύνθετον, ἄκτιστον, ἀόρατον, ἀπερινόητον· οὕτω καὶ τοῦ μέλλοντος αἰῶνος ἐν καιροῖς ἰδίοις ἀποκαλυφθέντος κατὰ τὴν ἄφραστον ἔκφανσιν τοῦ ἐν τρισὶ τελείαις ὑποστάσεσιν ἑνὸς Θεοῦ, σύμφωνα τοῖς πᾶσιν ἐκφανήσεται τοῖς φανεροῖς τὰ μυστήρια. Δεῖ μέντοι κἀκεῖνο σκοπεῖν· ⟨ὡς⟩ εἰ καὶ τοῖς πέρασι τῆς γῆς ὕστερον ἐξεφάνη τὸ τρισυπόστατον τῆς θεότητος τῷ λόγῳ τῆς μοναρχίας μηδαμῶς λυμαινόμενον, ἀλλὰ τοῖς προφήταις ἐκείνοις καὶ πρὸ τῆς ἐκβάσεως τῶν πραγμάτων ἀκριβῶς ἐγινώσκετο καὶ τοῖς αὐτοῖς τηνικαῦτα πειθομένοις εὐπαράδεκτον

ἦν· τὸν ἴσον ἄρα τρόπον οὐδὲ νῦν τοῦς λόγους τῆς ὁμολογίας ἀγνοοῦμεν τῶν τε παῤῥησίᾳ κηρυττομένων καὶ τῶν μυστικῶς ἐν πνεύματι τοῖς ἀξίοις προφαινομένων, οἳ μὲν αὐτῇ τῇ πείρᾳ μεμυημένοι, ὅσοι τῇ τε τῶν χρημάτων κτήσει καὶ τῇ τῶν ἀνθρώπων δοξῃ καὶ ταῖς τῶν σωμάτων οὐ καλαῖς ἡδοναῖς διὰ τὴν εὐαγγελικὴν ἀπετάξαντο ζωήν, οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ἀποταγὴν ταύτην διὰ τῆς πρὸς τοὺς ἐν τῇ κατὰ Χριστὸν ἡλικίᾳ προήκοντας ἐβεβαίωσαν ὑποταγῆς· ἑαυτοῖς γὰρ καὶ τῷ Θεῷ δι' ἡσυχίας ἀπερμερίμνως σχολάσαντες καὶ διὰ προσοχῆς ἀκριβοῦς καὶ προσευχῆς εἰλικρινοῦς ὑπὲρ ἑαυτοὺς γενόμενοι καὶ γεγονότες ἐν Θεῷ διὰ τῆς πρὸς αὐτὸν μυστικῆς ὑπὲρ νοῦν ἑνώσεως τὰ ὑπὲρ νοῦν ἐμυήθησαν· οἳ δὲ τῇ πρὸς τοὺς τοιούτους αἰδοῖ καὶ πίστει καὶ στοργῇ. Οὕτω τοίνυν καὶ ἡμεῖς, τοῦ μεγάλου Διονυσίου λέγοντος ἀκούοντες ἐν τῇ δευτέρᾳ πρὸς Γάιον ἐπιστολῇ τὸ τοῦ Θεοῦ θεοποιὸν δῶρον θεότητα καὶ θεαρχίαν καὶ ἀγαθαρχίαν καὶ τὸν τὴν χάριν ταύτην τοῖς ἀξίοις παρέχοντα Θεὸν ὑπὲρ ταύτην τὴν θεότητα ‹εἶναι› πειθόμεθα· πολυπλασιασμὸν γὰρ ὁ Θεὸς οὐ πάσχει, κἂν δύο λέγῃ τις οὕτω θεότητας. Ἀλλὰ τὴν θεοποιὸν ταύτην χάριν τοῦ Θεοῦ ὁ θεῖος Μάξιμος περὶ τοῦ Μελχισεδὲκ γράφων ἄκτιστον εἶναι ἀποφαίνεται καὶ ἀεὶ οὖσαν ἐκ τοῦ ἀεὶ ὄντος Θεοῦ, ἀλλαχοῦ δὲ πολλαχοῦ ἀγέννητόν τε καὶ ἐνυπόστατον φῶς τοῖς ἀξίοις, ἡνίκα ἂν γένοιντο ἄξιοι, φανερούμενον, ἀλλ' οὐ τότε γινόμενον· τοῦτο τὸ φῶς οὗτος καὶ φῶς ὑπεραῤῥήτου δοξης καὶ ἀγγέλων καθαρότητα ὀνομάζει· ὁ δὲ μέγας Μακάριος καὶ τῶν ἀσωμάτων τροφὴν καὶ τῆς θείας φύσεως δοξαν καὶ τοῦ μέλλοντος αἰῶνος καλλονήν, πῦρ θεῖον καὶ ἐπουράνιον, φῶς ἄῤῥητον καὶ νοερόν, ἀῤῥαβῶνα πνεύματος ἁγίου, ἁγιαστικὸν ἀγαλλιάσεως ἔλαιον. ‹Ὅσ›τις οὖν τοὺς τὴν θεοποιὸν ταύτην χάριν τοῦ Θεοῦ ἄκτιστον καὶ ἀγέννητον καὶ ἐνυπόστατον λέγοντας τοῖς Μασσαλιανοῖς συντάσσει καὶ διθείτας καλεῖ, εἴπερ ἄρα τις, οὗτος ἔστω τοῖς τοῦ Θεοῦ ἁγίοις ἀντικείμενος καὶ τοῦ κλήρου τῶν σωζομένων, εἰ μὴ μεταμεληθείη, ἑαυτὸν ἐκβάλλων καὶ αὐτὸς ἐκπίπτων τοῦ ἑνὸς καὶ μόνου τῶν ἁγίων φύσει Θεοῦ. Ὅστις δὲ πιστεύων καὶ πειθόμενος καὶ συμφθεγγόμενος τοῖς ἁγίοις καὶ μὴ προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις τὸ μὲν φανερῶς λεγόμενον οὐκ ἀποσείεται, ὡς ἀγνοῶν· ἀγνοεῖ δὲ τὸν τρόπον τοῦ μυστηρίου· μὴ ἀπαξιούτω ζητεῖν καὶ μανθάνειν παρὰ τῶν εἰδότων· εἴσεται γὰρ ὡς οὐδὲν ἀνακόλουθον τοῖς θείοις λόγοις καὶ πράγμασι, καὶ ταῦτ' ἐπὶ τῶν ἀναγκαιοτάτων καὶ ὧν ἄνευ οὐδὲν οὐδαμῶς ἂν συσταίη οὔτε δόγμα τὸ καθ' ἡμᾶς ἀσφαλὲς οὔτε μυστήριον ὅλως θεοπρεπές. Ὅστις δὲ μόνῃ τῇ μιμήσει τε καὶ σχέσει χωρὶς τῆς θεοποιοῦ χάριτος τοῦ πνεύματος τὴν πρὸς τὸν Θεὸν τελείαν ἕνωσιν ἀποφαίνεται τελεῖσθαι κατὰ τοὺς

ὁμοήθεις καὶ ἀγαπωμένους ὑπ᾽ ἀλλήλων, καὶ τὴν θεοποιὸν χάριν τοῦ Θεοῦ ἔξιν τῆς λογικῆς φύσεως διὰ μόνης μιμήσεως προσγινομένην, ἀλλ᾽ οὐκ ἔλλαμψιν ὑπερφυῆ καὶ ἀπόῤῥητον καὶ θείαν ἐνέργειαν ὁρωμένην ἀοράτως τοῖς ἠξιωμένοις καὶ νοουμένην ἀπερινοήτως, οὗτος ἴστω τῇ τῶν Μασσαλιανῶν, ὡς οὐκ οἶδεν, ἀπάτῃ περιπεσών· φύσει γὰρ ἔσται κατὰ πᾶσαν ἀνάγκην θεὸς ὁ θεούμενος, εἰ κατὰ φυσικὴν δύναμιν ἡ θέωσις ἔσται καὶ τοῖς ὅροις τῆς φύσεως ἐμπεριλαμβάνεσθαι πέφυκε. Μὴ τοίνυν οὗτος τὴν οἰκείαν περιτροπὴν τοῖς ἀσφαλῶς ἑστῶσιν ἐπιχειρείτω προστρίψασθαι καὶ μῶμον τοῖς ἀμωμήτοις τὴν πίστιν ἐπενεγκεῖν, ἀλλὰ τὸ φρόνημα καταθέμενος μανθανέτω παρὰ τῶν πεπειραμένων ἢ τῶν ὑπ᾽ ἐκείνων δεδιδαγμένων, ὡς ἄσχετός ἐστι παντάπασιν ἡ τῆς θεώσεως χάρις οὐκ ἔχουσα τὴν οἱανοῦν δεκτικὴν ἑαυτῆς ἐν τῇ φύσει δύναμιν, ἐπεὶ οὐκέτι χάρις ἐστίν, ἀλλὰ τῆς κατὰ τὴν φυσικὴν δύναμιν ἐνεργείας φανέρωσις. Καὶ οὐδὲ παράδοξον ἔσται τὸ γενόμενον, εἰ κατὰ δεκτικὴν δύναμιν φύσεως ἡ θέωσις εἴη· φύσεως γὰρ ἂν εἰκότως ἔργον, ἀλλ᾽ οὐ Θεοῦ δῶρον ἡ θέωσις εἴη· καὶ δυνήσεται καὶ φύσει θεὸς ὁ τοιοῦτος εἶναι ‹καὶ› κυρίως προσαγορεύεσθαι· οὐδὲ γὰρ ἄλλο τι καθέστηκεν ἡ κατὰ φύσιν τῶν ὄντων ἑκάστου δύναμις ἢ φύσεως πρὸς ἐνέργειαν ἀπαράβατος κίνησις. Πῶς δὲ καὶ ἐξίστησιν ἑαυτοῦ τὸν θεούμενον ἡ θέωσις, εἰ τοῖς ὅροις τῆς φύσεως αὐτὴ περιείληπται, συνιδεῖν οὐκ ἔχω. Ὑπὲρ φύσιν τοίνυν καὶ ἀρετὴν καὶ γνῶσιν ἡ τῆς θεώσεως χάρις, καὶ ἀπείρως τὰ τοιαῦθ᾽ ἅπαντα κατὰ τὸν ἅγιον Μάξιμον ταύτης ἀποδεῖ· ἀρετὴ μὲν γὰρ πᾶσα καὶ ἡ ἐφ᾽ ἡμῖν τοῦ Θεοῦ μίμησις πρὸς τὴν θείαν ἕνωσιν ἐπιτήδειον ποιεῖται τὸν κεκτημένον, ἡ δὲ χάρις αὐτὴν τελεσιουργεῖ τὴν ἀπόῤῥητον ἕνωσιν· δι᾽ αὐτῆς γὰρ ὅλος μὲν ὅλοις τοῖς ἀξίοις ὁ Θεὸς περιχωρεῖ, ὅλῳ δὲ ὅλοι περιχωροῦσιν ὁλικῶς οἱ ἅγιοι τῷ Θεῷ, ὅλον ἀντιλαβόντες ἑαυτῶν τὸν Θεὸν καὶ τῆς πρὸς αὐτὸν ἀναβάσεως, οἷον ἔπαθλον, αὐτὸν μόνον κτησάμενοι τὸν Θεὸν ψυχῆς πρὸς σῶμα περιφύντα τρόπον ὡς οἰκείοις μέλεσι καὶ ἐν αὐτῷ εἶναι καταξιώσαντα. ‹Ὅσ›τις τοὺς ἐν τῇ καρδίᾳ ἢ τῷ ἐγκεφάλῳ λέγοντας τὸν νοῦν ἐνιδρῦσθαι Μασσαλιανοὺς εἶναι διισχυρίζεται, οὗτος ἴστω κακῶς τοῖς ἁγίοις ἐπιτιθέμενος· ὁ μὲν γὰρ μέγας Ἀθανάσιος τῷ ἐγκεφάλῳ τὸ λογικὸν ἐνεῖναι τῆς ψυχῆς φησί, Μακάριος δὲ ὁ τῇ μεγαλειότητι μηδὲν ἐλλείπων ἐν τῇ καρδίᾳ τὴν τοῦ νοῦ ἐνέργειαν, συνῳδὰ δὲ τούτοις οἱ ἅγιοι σχεδὸν ἅπαντες· ὃ γὰρ φησὶν ὁ Νύσσης θεῖος Γρηγόριος, ὅτι ὁ νοῦς οὔτε ἐντὸς οὔτε ἐκτὸς τοῦ σώματός ἐστιν, ὢν ἀσώματος *), οὐκ ἐναντιοῦται τοῖς ἁγίοις

*) Это мѣсто у Григорія въ разсужденіи его о строеніи человѣка читается такъ: «οὐχὶ μέρει τινὶ τῶν ἐν ἡμῖν ὁ νοῦς περιέχεται, ἀλλ᾽ ἐπίσης ἐν πᾶσι καὶ διὰ πάντων ἐστὶν οὔτε ἔξω-

ἐκείνοις, ἐντὸς γὰρ τοῦ σώματος ἐκεῖνοι λέγουσι τὸν νοῦν, ὡς συνημμένον τούτῳ· κατ' ἄλλον τοίνυν τρόπον τοῦτο λέγοντες ἥκιστα πρὸς ἐκεῖνον διαφέρονται· καὶ γὰρ οὐδὲ τῷ λέγοντι μὴ ἐν τόπῳ τὸ θεῖον εἶναι, ἢ ἀσώματον, ἀντίκειται ὁ ἔνδον γενέσθαι ποτὲ τὸν τοῦ Θεοῦ Λόγον λέγων παρθενικῆς καὶ παναμώμου μήτρας, ὡς ἐκεῖ συνημμένον ὑπὲρ λόγον τῷ καθ' ἡμᾶς φυράματι διὰ φιλανθρωπίαν ἄφατον. ⟨Ὅσ⟩τις τὸ ἐν Θαβωρίῳ τοὺς μαθητὰς περιαστράψαν φῶς φάσμα λέγει καὶ σύμβολον τοιοῦτον, οἷον γίνεσθαι καὶ ἀπογίνεσθαι, ἀλλ' οὐ κυρίως εἶναι καὶ οὐχ ὑπὲρ πᾶσαν νόησιν, ἀλλὰ χείρω[ν] νοήσεως ἐνέργειαν, σαφῶς ἀντιφθέγγεται ταῖς τῶν ἁγίων δόξαις· οὗτοι γὰρ κἂν τοῖς ἄσμασι κἂν τοῖς συγγράμμασιν ἀπόῤῥητον, ἄκτιστον, ἀίδιον, ἄχρονον, ἀπρόσιτον, ἄπειρον, ἀπεριόριστον, ἀγγέλοις καὶ ἀνθρώποις ἀθέατον, ἀρχέτυπον κάλλος καὶ ἀναλλοίωτον δόξαν Θεοῦ, ⟨δόξαν Χριστοῦ,⟩ δόξαν πνεύματος, ἀκτῖνα θεότητος καὶ τὰ τοιαῦτα προσαγορεύουσι· «δοξάζεται» γὰρ φησίν, «ἡ σὰρξ ἅμα τῇ προσλήψει, καὶ δοξα τοῦ σώματος ἡ δοξα τῆς θεότητος γίνε«ται· ἀλλ' ἀφανὴς ἦν ἡ δόξα ἐν τῷ φαινομένῳ σώματι τοῖς μὴ χωροῦσι τὰ καὶ ἀγγέ«λοις ἀθέατα· μεταμορφοῦται τοίνυν, οὐχ ὁ οὐκ ἦν προσλαβόμενος, οὐδὲ εἰς ὅπερ «οὐκ ἦν μεταβαλλόμενος, ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐμφαινόμενος [καὶ] «διανοίγων τούτων τὰ ὄμματα καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας· μένων «γὰρ αὐτὸς ἐν ταυτότητι, παρ' ὃ τὸ πρὶν ἐφαίνετο νῦν τοῖς μαθηταῖς ἑωρᾶτο φαινό«μενος· αὐτὸς γάρ ἐστι τὸ φῶς τὸ ἀληθινόν, τὸ τῆς δοξης ὡράισμα καὶ ὡς ἥλιος «ἔλαμψεν· ἀμυδρὰ ἡ εἰκών, ἀλλ' ἀμήχανον ἀπαραλείπτως ἐν τῇ κτίσει τὸ ἄκτιστ«ον εἰκονίζεσθαι». ⟨Ὅσ⟩τις ἄκτιστον τὴν οὐσίαν μόνην εἶναι λέγει τοῦ Θεοῦ, ἀλλὰ μὴ καὶ τὰς ἀϊδίους ἐνεργείας αὐτοῦ, ὧν καὶ ὑπερέχει πασῶν ὡς τῶν ἐνεργουμένων ἁπάντων τὸ ἐνεργοῦν, τοῦ ἁγίου ἀκουσάτω Μαξίμου λέγοντος· «τὰ ἀθάνατα «πάντα καὶ αὐτὴ ἡ ἀθανασία καὶ τὰ ζῶντα πάντα καὶ αὐτὴ ἡ ζωὴ καὶ τὰ ἅγια «πάντα καὶ αὐτὴ ἡ ἁγιότης καὶ τὰ ἐνάρετα πάντα καὶ αὐτὴ ἡ ἀρετὴ καὶ τὰ ἀγαθὰ «πάντα καὶ αὐτὴ ἡ ἀγαθότης καὶ τὰ ὄντα πάντα καὶ αὐτὴ ἡ ὀντότης Θεοῦ προδήλως «ἔργα τυγχάνουσιν, ἀλλὰ τὰ μὲν τοῦ εἶναι χρονικῶς ⟨ἠργμένα· ἦν γάρ ποτε ὅτε οὐκ «ἦν· τὰ δὲ τοῦ εἶναι χρονικῶς⟩ οὐκ ἠργμένα· οὐκ ἦν γάρ ποτε ὅτε οὐκ ἦν ἀρετὴ καὶ

θεν περιλαμβάνων οὔτε ἔνδοθεν κρατούμενος. Ταῦτα γὰρ ἐπὶ κάδων ἢ ἄλλων τινῶν σωμάτων ἀλλήλοις ἐντιθεμένων κυρίως λέγεται, ἡ δὲ τοῦ νοῦ πρὸς τὸ σωματικὸν κοινωνία ἄφραστόν τε καὶ ἀνεπινόητον τὴν συνάφειαν ἔχει, οὔτε ἐντὸς οὖσα· οὔτε γὰρ ἐγκρατεῖται σώματι τὸ ἀσώματον· οὔτε ἐκτὸς περιέχουσα· οὐ γὰρ περιλαμβάνει τι τὰ ἀσώματα· ἀλλὰ κατά τινα τρόπον ἀμήχανόν τε καὶ ἀκατανόητον ἐγγίζων ὁ νοῦς τῇ φύσει καὶ προσαπτόμενος καὶ ἐν αὐτῇ καὶ περὶ αὐτὴν θεωρεῖται οὔτε ἐγκαθήμενος οὔτε περιπτυσσόμενος.

ἀγαθότης καὶ ἁγιότης καὶ ἀθανασία». Καὶ πάλιν. «ἡ ἀγαθότης καὶ πᾶν εἴ τι ἀγαθό-
«τητος ἐμπεριέχεται λόγῳ καὶ ἁπλῶς πᾶσα ζωὴ καὶ ἀθανασία καὶ ἁπλότης καὶ ἀτρε-
«ψία καὶ ἀπειρίακαὶ ὅσα περὶ τὸν Θεὸν οὐσιωδῶς θεωρεῖται, ἔργα Θεοῦ εἰσι καὶ οὐκ
«ἠργμένα χρονικῶς· οὐ γάρ ποτε πρεσβύτερο‹ν› ἀρετῆς τὸ οὐκ ἦν οὐδέ τινος ἄλλου
«τῶν εἰρημένων, κἂν τὰ μετέχοντα αὐτῶν κατ' αὐτὰ ἤρκται τοῦ εἶναι χρονικῶς·
«ἄναρχος γὰρ πᾶσα ἀρετὴ μὴ ἔχουσα τὸν χρόνον ἑαυτῆς πρεσβύτερον, οἷα τὸν Θεὸν
«ἔχουσα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα· πάντων δὲ τῶν ὄντων καὶ μετεχόν-
«των καὶ μεθεκτῶν ἀπειράκις ἀπείρως ὁ Θεὸς ὑπερεξήρηται». Μανθανέτω τοίνυν ἐκ
τούτων, ὡς οὐ πάντα τὰ ὑφεστηκότα ἐκ Θεοῦ καὶ ὑπὸ χρόνον εἰσί· καὶ γὰρ ἔστιν ἃ
τούτων ἄναρχά ἐστι, καὶ τῷ λόγῳ τῆς μόνης ἀνάρχου φύσει καὶ τριαδικῆς μονάδος
καὶ τῆς κατ' αὐτὴν ὑπερφυοῦς ἁπλότητος ἥκιστα λυμαίνεται· τὸν αὐτὸν γὰρ τρό-
πον καὶ ὁ νοῦς κατ' ἀμυδρὰν εἰκόνα τῆς ὑπερβαλλούσης ἐκείνης ἀμερείας οὐδα-
μῶς διὰ τὰς ἐμφύτους ἑαυτοῦ νοήσεις σύνθετός ἐστιν. Ὅστις τὰς ἐνσημαινομένας
τῷ σώματι πνευματικὰς διαθέσεις ἀπὸ τῶν ἐν τῇ ψυχῇ τῶν κατὰ Θεὸν προκοπ-
τόντων χαρισμάτων τοῦ πνεύματος οὐ παραδέχεται καὶ τὴν τοῦ παθητικοῦ καθ'
ἕξιν νέκρωσιν ἀπάθειαν φησίν, ἀλλὰ μὴ τὴν ἐπὶ τὰ κρείττω καθ' ἕξιν ἐνέργειαν
ὁλικῶς ἀπεστραμμένου τὰ πονηρὰ καὶ ἐπεστραμμένου πρὸς τὰ καλά, ὡς τὰς πο-
νηρὰς ἕξεις ἀποκτησαμένου καὶ ταῖς ἀγαθαῖς [μὴ] πλουτήσαντος, οὗτος ἀκολού-
θως τῇ τοιαύτῃ δοξῃ καὶ τὴν ἐν τῷ ἀφθάρτῳ τῶν ὄντων αἰῶνι μετὰ σώματος
ἀπαναίνεται διαγωγήν· εἰ γὰρ συμμεθέξει τότε τῇ ψυχῇ τὸ σῶμα τῶν ἀπορρήτων ἀγαθῶν, καὶ νῦν δήπου συμμεθέξει κατὰ τὸ ἐγχωροῦν τῆς χορηγουμένης μυστικῶς καὶ ἀπορρήτως ὑπὸ τοῦ Θεοῦ χάριτος τῷ κεκαθαρμένῳ νῷ, καὶ αὐτὸ τὰ θεῖα πείσεται καταλλήλως ἑαυτῷ, μετασκευασθέντος καὶ ἁγιασθέντος, ἀλλ' οὐ καθ' ἕξιν νεκρωθέντος τοῦ τῆς ψυχῆς παθητικοῦ καὶ δι' ἑαυτοῦ, κοινοῦ σώματός τε καὶ ψυχῆς ὑπάρχοντος, τὰς τοῦ σώματος ἁγίαζοντος διαθέσεις τε καὶ ἐνεργείας· ἐπεὶ γὰρ τῶν ἀπηλλαγμένων τῶν τοῦ βίου καλῶν διὰ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν, κατὰ τὸν ἅγιον Διάδοχον, ὁ νοῦς εὐρώστως διὰ τὴν ἀμεριμνίαν κινούμενος τῆς θείας ἀῤῥήτως χρηστότητος αὐτὸς ἐπαισθάνεται, καὶ τῷ σώματι κατὰ τὸ μέτρον τῆς ἑαυτοῦ προκοπῆς τῆς οἰκείας χρηστότητος μεταδίδωσιν· ἡ δὲ τοιαύτη ἐγγινομένη χαρὰ τότε τῇ ψυχῇ καὶ τῷ σώματι ὑπόμνησίς ἐστι ἀπλανὴς τῆς ἀφθάρτου βιότητος. Ἄλλου μὲν φωτὸς ὁ νοῦς, ἑτέρου δὲ ἡ αἴσθησις ἀντιλαμβάνεσθαι πέφυκεν· ἡ μὲν γὰρ αἰσθητοῦ καὶ τὰ αἰσθητά, ἡ αἰσθητά, δεικνύοντος, τοῦ δὲ νοῦ φῶς ἐστιν ἡ ἐν νοήμασι κειμένη γνῶσις· οὐ τοῦ αὐτοῦ τοίνυν φωτὸς ὀψις τε καὶ νοῦς ἀντιλαμβάνεσθαι πεφύκασιν, ἀλλὰ μέχρις ἂν κατ' οἰκείαν

φύσιν καὶ ἐν τοῖς κατὰ φύσιν ἐνεργῇ ἑκάτερον αὐτῶν· ὅταν δὲ πνευματικῆς καὶ ὑπερφυοῦς εὐμοιρήσωσι χάριτός τε καὶ δυνάμεως, αἰσθήσει τε καὶ νῷ τὰ ὑπὲρ πᾶσαν αἴσθησιν καὶ πάντα νοῦν οἱ κατηξιωμένοι βλέπουσιν, ἵνα κατὰ τὸν θεολόγον εἴπωμεν μέγαν Γρηγόριον· ὡς οἶδε μόνος ὁ Θεὸς καὶ οἱ τὰ τοιαῦτα ἐνεργούμενοι.

Ταῦτα ὑπὸ τῶν γραφῶν ἐδιδάχθημεν, ταῦτα παρὰ τῶν ἡμετέρων πατέρων παρελάβομεν, ταῦτα διὰ τῆς μικρᾶς ἐγνώκαμεν πείρας, ταῦτα καὶ τὸν ἐν ἱερομονάχοις τιμιώτατον καὶ ἀδελφὸν ἡμέτερον κύριον Γρηγόριον τὸν Παλαμᾶν ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων συγγραψάμενον ἰδόντες καὶ ἀποδεξάμενοι ὡς ταῖς τῶν ἁγίων ἀκριβῶς ἑπόμενα παραδόσεσι πρὸς πληροφορίαν τῶν ἐντυγχανόντων ὑπεγράψαμεν.

(Migne, Patrol. graecae t. 150, coll. 1225—1236).

№ 27.

Изъ аѳонолаврской рукописи Маврокордата, 1708 года.

Λόγος τῶν ὑστέρων ὁ πρῶτος. Διήγησις καὶ ἀνατροπὴ τῶν ὑπὸ τοῦ Βαρλαὰμ συγγραφέντων κατὰ τῶν ἱερῶς ἡσυχαζόντων.

«Οὐδὲν ψεύδους δεινότερον· οὐδὲν συκοφαντίας ἄχθους βαρύτερον... Такъ начинается это слово. Далѣе Палама разсказалъ: какъ исихасты обрадовались пришествію къ нимъ Варлаама и чего ожидали отъ него, какъ онъ присусѣдился къ простѣйшимъ изъ нихъ, а впослѣдствіи поднялъ на нихъ пяту свою, какъ и почему онъ скрылъ сочиненія свои противъ нихъ, и былъ пощаженъ церковію. Потомъ продолжалъ: ὡς δὲ διὰ τούτους λόγους ἀφείθη καταδίκης δικαίας, ἐνέτυχε δὲ καί τισι τῶν ἀντιλεγόντων ἡμετέρων βιβλίων πρὸς τὰ τοιαῦτα καὶ τὸ ἄφυκτον κατενόησε τῶν ἐλέγχων, τὴν αἰσχύνην οὐ φέρων, καθίσας αὖθις τὰ μὲν ἀπαλείφει τῶν οἰκείων γραμμάτων, τὰ δὲ ἀμείβει, καὶ τὸ μὲν τῆς ὀμφαλοψυχίας ὄνομα ἐξαλείφει παντάπασιν, ἃ δὲ δαιμονιώδη πρότερον ἀπεφαίνετο, φυσικὰ προσαγορεύει νῦν· οὐκ οἶδα καὶ τοῦτο πῶς· οἷς δ' ἐνέτυχε τῶν ἐμῶν τὰ μὲν ὡς μηδ' ἰδὼν παραλείπει μηδ' ἀντιβλέψαι πρὸς ἐκεῖνα τολμῶν, ἔστι δ' ἃ συκοφαντικῶς ἀμείψας ἔπειτα κατ' ἐκείνων χωρεῖ. Καὶ ταῦθ' οὕτω πράττων, αὐτὸς ὡς συκοφαντούμενος ἀποδύρεται. Πιστεύει δὲ ταῦτα οὐδὲ τοῖς φίλοις αὐτοῦ πᾶσιν, ἀλλ' ὀλίγοις πάνυ τῶν οἰκειοτάτων, ὧν εἷς ὡς ἐμοὶ διακομίσας ταῦτα δίκαιον ἔγνω, παρ' ἑαυτοῦ τὴν ἀπάτην φωράσας, κἀμὲ ἱκετεύσας ἐμαυτῷ καὶ τοῖς λόγοις χρήσασθαι, πρὸς ἕκαστον ἐν μέρει τῶν ὀχυρωμάτων

τοῦ ψεύδους ἀντικαθισταμένῳ καὶ τὸ τῆς ἀληθείας φέγγος νόθοις διδασκαλίαις ἀνεπισκότητον, ἐφ' ὅσον ἄρα δυναίμην, κατασκευάζοντι.

Ἔστι δὲ αὐτῷ τὸ προοίμιον τοῦτο· «Ὥσπερ ἐπὶ τῆς ὑγείας, οὕτως ἔχει καὶ ἐπὶ τῆς φιλοσοφίας· αὐτοθεν μὲν γὰρ δίδοται παρὰ Θεοῦ καὶ δι' ἐπιμελείας εὑρίσκεται. Καὶ ὥσπερ οὐκ ἄλλο μὲν εἶδος ὑγείας διδοται παρὰ Θεοῦ, ἄλλο δὲ διὰ τῆς ἰατρικῆς παραγίνεται, ἀλλὰ τὸ αὐτό, οὕτω κἀπὶ τῆς σοφίας· δίδωσι μὲν γὰρ ταύτην προφήταις καὶ ἀποστόλοις Θεός, δέδωκε δὲ ἡμῖν τά τε διὰ τῶν θεουργιῶν λογια καὶ τὰ κατὰ φιλοσοφίαν μαθήματα, δι' ὧν πάλιν τὴν σοφίαν ζητοῦντες εὑρίσκομεν».

Τίς ταῦτ' ἀκούων οὐ νεμεσήσει τῶν εὖ φρονοῦντων καὶ τὸ διάφορον αὐτῶν ὅσον ἐπισταμένων, ὁτι καὶ συντάττεται γοῦν ὅλως ἡ θεουργικὴ σοφία τοῦ Πνεύματος τῇ παρὰ τῶν ἔξω μαθημάτων φιλοσοφίᾳ...

... Πῶς οὖν ἓν εἶδος σοφίας ἐκ τῶν ἱερῶν διδαγμάτων καὶ τῶν ἑλληνικῶν μαθημάτων ἡμῖν προσγενήσεται; Πῶς μία ἰδία τούτων ἀλήθεια;

... Οὐ τῶν ὄντων γνῶσις καὶ σοφία ἐστί, ἣν Θεὸς προφήταις καὶ ἀποστόλοις ἀμέσως δέδωκε· Πνεῦμα γὰρ ἅγιον ἐκείνη, Πνεύματος δὲ ἁγίου μετόχους Αἰγυπτίους καὶ Χαλδαίους καὶ Ἕλληνας οὐδέπω κατ' τήμερον ἀκηκόαμεν... Духъ Божій въ злохудожну душу не внидетъ.

... Σὲ δ' ἡμεῖς ἀντιλέγειν τοῖς πατράσι φαμὲν καὶ πάσῃ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ.

Это слово Паламы очень длинно. Главное содержаніе его таково: иное есть ученіе св. Духа, и иное — плотской человѣческой мудрости.

№ 28.

Изъ аѳонолаврской рукописи Маврокордата, 1708 года.

Ἔλεγχος τῶν συμβαινοντων ἀτοπων ἐκ τῶν δευτέρων τοῦ φιλοσόφου Βαρλαὰμ συγγραμμάτων, ἢ περὶ θεώσεως.

Ἀρχή.] Ἀλλ' εἰ μὲν κατὰ Μασσαλιανῶν, καθάπερ καὶ ἐπιγέγραπται, τὸ βιβλίον πεποιηται, τί παθὼν τὰ τῶν θειων πατέρων ἀναμὶξ ταῖς ἐκείνων κακοδοξιαις προβάλλεται καὶ κατ' αὐτῶν ἔπειτα πολὺς ῥεῖ, τῶν κατ' ἐκείνους ἀφέμενος; Εἰ δὲ κατὰ τῶν ἀπ' αἰῶνος ἁγιων καὶ τῶν αὐτοῖς ὁμολογεῖν αἱρουμένων ἡμῶν δεῖν ἔγνω πολεμον ἄρασθαι, τί βούλονται Μασσαλιανοὶ καὶ Βλαχερνῖται καὶ τὰ

τοιαῦτα προσρήματα; ἢ δῆλον ὅτι σκηνὴ τὰ τοιαῦτα καὶ προσωπεῖόν ἐστι διὰ τὴν πολλῶν ἀπάτην...

Τίνος ἕνεκεν οὗτος τὴν τοῦ πνεύματος θεοποιὸν χάριν κτιστὴν ἀποφῆναι διὰ πλείστης ὅσης σπουδῆς ἐποιήσατο; Τοῖς ὁμοφύλοις Λατίνοις χαρίζεται πρὸς τὸ ἐκείνων φρόνημα δολίως ἅμα καὶ βιαίως ἡμᾶς ὑφελκόμενος. Ὅταν γὰρ ἀκούσωμεν ἐκ τοῦ υἱοῦ διδόμενον τὸ πνεῦμα καὶ δι' υἱοῦ προχεόμενον, εἶτα καὶ τοῦ μεγάλου Βασιλείου λέγοντος· ἐξέχεεν ἐφ' ἡμᾶς ὁ Θεὸς τὸ πνεῦμα πλουσίως διὰ τοῦ υἱοῦ αὐτοῦ· ἐξέχεεν, οὐκ ἔκτισεν, ἐχαρίσατο, οὐκ ἐδημιούργησεν, ἔδωκεν, οὐκ ἐποίησεν· ὦμεν δ' ἀναπεπεισμένοι κτιστὴν τὴν χάριν εἶναι, τί ἐροῦμεν δίδοσθαι καὶ χαρίζεσθαι καὶ προχεῖσθαι διὰ τοῦ υἱοῦ; οὐκ αὐτὸ τὸ τὴν χάριν ἐνεργοῦν, εἴπερ ἐκεῖνο μόνον ἄναρχον εἶναι φαμέν, πᾶσαν δ' ἐνέργειαν αὐτοῦ κτιστήν, καθάπερ ὁ νέος οὗτος ἰσχυρίζεται θεολόγος; Ἆρ' οὖν οὐ τοῦτ' αὐτό ἐστιν ἄντικρυς τὸ τῶν Λατίνων φρόνημα, δι' ὃ τῶν τῆς καθ' ἡμᾶς ἐκκλησίας ἀπελήλανται περιβολων, ὅτι οὐχ' ἡ χάρις, ἄλλ' αὐτὸ τὸ πνεῦμα ἅγιον κἀκ τοῦ υἱοῦ πέμπεται καὶ διὰ τοῦ υἱοῦ προχεῖται; Ὁρᾶτε τὴν βαθεῖαν αὐτοῦ καὶ συνεσκιασμένην βουλὴν καὶ τὸ δολερὸν καὶ κακοῦργον τοῦ ἐγχειρήματος;

Τί δ' οὖν ἔμελλεν ἐπὶ τούτῳ παντὶ τρόπῳ σπεύδειν καὶ πᾶσαν μηχανὴν κινεῖν καὶ περιέργως προσβάλλειν, ἐπειδὴ φανερῶς οὐκ εἶχεν, ὁ πέρισυ (1339 г.) παρὰ τοῦ θειοτάτου βασιλέως ἡμῶν πρεσβευτὴς εἰς Ἰταλίαν καὶ τὰς ἄνω Γαλλίας ἀπεσταλμένος, ὡς ἐπὶ Πέρσας ἐκείνους ἐγείραι στείλασθαι προσελαύνοντος ἥρος, αὐτὸς δὲ τοῦ μὲν σκοποῦ τῆς πρεσβείας ἐπιλαθόμενος, ὡς ὕστερον ἐκ τῶν ἔργων ἐφάνη, προσχωρήσας δὲ τῷ πάπα καὶ τὰς εὐχὰς ἐκείνου σωτηρίους αὐτῷ γενέσθαι κατὰ τὴν ὁδὸν ἐπειπών, ἃς καὶ ἐπιβοᾶσθαι, τῆς πρὸς τοῦτον φερούσης ἐχόμενος, ὡς αὐτὸς φησίν, ἐπ' αὐτοῦ διετείνατο, εἶτα καὶ προσφύσας μὲν ἐκείνῳ τὰ χείλη καὶ τὸ γόνυ μεθ' ἡδονῆς, ὡς ἔοικε, καὶ σεβάσματος ἀσπασάμενος, τὴν δὲ κεφαλὴν ὑποθεὶς ταῖς ἐκείνου χερσὶ καὶ τὴν ἐκεῖθεν σφραγῖδα χαίρων δεξάμενος....

Τοῦ αὐτοῦ Παλαμᾶ κατάλογος τῶν ἐκβαινόντων ἀτόπων ἐκ τῶν τοῦ προτάσεων.

Λόγος δεύτερος κατὰ δευτέρων.

Это слово — не велико. Содержаніе его — о безначальной сущности и енергіи.

«Ἔχει τὸ γνωστικὸν ὁ Θεός, τὸ προγνωστικόν, τὸ δημιουργικόν, τὸ συνεκτικόν, τὸ προνοητικόν, τὸ θεουργικόν καὶ ἁπλῶς πάντα τὰ ταῦτα ἢ οὐκ ἔχει; Εἰ

μὲν γὰρ οὐκ ἔχει, οὐδὲ Θεός ἐστι λοιπὸν ἡ μόνη αὕτη ἄναρχος οὐσία. Εἰ δὲ ἔχει, εἰ μὲν ὕστερόν ποτε ταύτας τὰς δυνάμεις προσεκτήσατο, λοιπὸν ἦν οτε ἀτελὴς ἦν, ταὐτὸν δ' εἰπεῖν, οὐδὲ Θεός· εἰ δ' ἐξ ἀιδίου εἶχε ταύτας τὰς δυνάμεις, οὐχ ἓν μόνον ἄναρχον ἡ οὐσία τοῦ Θεοῦ, ἀλλὰ καὶ τῶν ταύτης δυνάμεων ἑκάστη . . .

№ 29.

Συνοδικὸς τόμος γεγραμμένος ἐπὶ ταῖς ἐξελεγείσαις καὶ ἀποβαλλομέναις τὴν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δυσσέβειαν μεγάλαις συνόδοις, ἐν αἷς οὐχ ἡ ἐκκλησία πᾶσα μόνη, ἀλλὰ καὶ ἡ σύγκλητος καὶ οἱ καθολικοὶ παρῆσαν τῶν Ῥωμαίων κριταὶ προκαθημένου καὶ τοῦ θειοτάτου βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου, ἕως οὗ περιῆν τῷδε τῷ βίῳ (6849=1341 ἔτους).

+ Ἐπαινετὸς ἀληθῶς ὁ εἰπών, τὴν ταπείνωσιν ἀληθείας εἶναι ἐπίγνωσιν· αὕτη γὰρ καὶ τῶν οἰκείων μέτρων ἐστὶ κατάληψις, καὶ δι' αὐτῆς τήν τε πρὸς Θεὸν εἰρήνην καὶ τὴν πρὸς τὸν πλησίον καρπούμεθα, δι' ἧς αὖθις καὶ τὴν ἐπὶ τοῦ παρόντος καὶ τὴν ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἀνάπαυσιν πορίζομεθα, κατὰ τὴν θεσπεσίαν ἐκείνην καὶ προτρεπτικὴν εἰς τοῦτο τοῦ κυρίου φωνήν· «μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾳός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν», αὕτη πείθει τὸν κεκτημένον ἑαυτῷ μὲν προσέχειν καὶ Θεῷ προσανέχειν, παντὸς δὲ κακοῦ τῷ τοῦ κυρίου φόβῳ κατὰ τὸν τοῦ σοφοῦ Σολομῶντος λόγον ἐκκλίνοντα, εὐλαβῶς περὶ τὰ ὑπὲρ ἑαυτὸν καὶ σωφρόνως ἔχειν, ὅρια πατέρων αἰώνια μὴ μεταίροντα καὶ τὰς ἐφ' ἑκάτερα παρατροπάς, ὑπερβολάς, φημί, καὶ ἐλλείψεις ἀποτρεπόμενον, τὴν βασιλικὴν ὁδεύειν καὶ μέσην καὶ πρὸς οὐρανοὺς καὶ Θεὸν ἁπλανῶς καὶ ἀσφαλῶς φέρουσαν, ἀλλ' ὁ ἐκ Καλαβρίας ὁρμώμενος μοναχὸς Βαρλαάμ, εἰς τὸ τῆς οἰήσεως πέλαγος ἐξ ἀφροσύνης πάντως καὶ ἰδιορρυθμίας καθεὶς ἑαυτον, καὶ μέγα φρονῶν ἐπὶ τῇ τῆς θύραθεν ἐπιστήμῃ φιλοσοφίας κατὰ τῆς ὑπερφυοῦς καὶ ὄντως φιλοσοφίας ἐχώρησεν, ἐπιστρατεύσας τῇ διδασκαλίᾳ τοῦ πνεύματος, τὴν μηδὲ χωρεῖν ὅλως τὰ τοῦ πνεύματος δυναμένην ψυχικὴν καὶ ἀποδεδοκιμασμένην φιλοσοφίαν, τὸν μαθητιῶντα γὰρ οὗτος ὑποκριθεὶς προσῆλθέ ποτε σὺν δόλῳ τισὶ τῶν παρ' ἡμῖν μοναχῶν, οἳ τὸν ἡσύχιον προελόμενοι βίον, τοῖς ἄλλοις πᾶσι χαίρειν εἰπόντες, Θεῷ προσανέχουσι, καὶ τούτων οὐδενὶ μὲν τῶν ἐλλογιμωτέρων, τοῖς ἁπλουστέροις δὲ μᾶλλον ἐφοίτησεν ἐξεπίτηδες, δέει πάντως τοῦ μὴ φωραθῆναι. μετὰ μικρὸν μέντοι καὶ αὐτῶν ἀποστάς, ἀποτρόπαιον ἐγγράφως τούτων κατηγόρηκε φρόνημα, ὡς δῆθεν ὑπ' αὐτῶν πρεσβευόμε-

νον, ἀκούσας γὰρ ἐκείνων λεγόντων, ὡς ἀπὸ παραδόσεως ἐχόντων τῶν ἁγίων πατέρων, ὅτι οἱ διὰ τῶν ἐντολῶν τοῦ Θεοῦ κεκαθαρμένοι τὰς καρδίας ἐλλάμψεις θείας μυστικῶς καὶ ἀπορρήτως ἐγγινομένας αὐταῖς δέχονται, κατηγόρησεν αὐτῶν, ὡς τὴν οὐσίαν αὐτὴν τοῦ Θεοῦ μεθεκτὴν λεγόντων, τῶν δὲ ἀπολογουμένων, οὐ τὴν οὐσίαν, ἀλλὰ τὴν ἄκτιστον καὶ θεοποιὸν χάριν τοῦ πνεύματος, διθείας αὐτοῖς ἐντεῦθεν ἔγκλημα προστρίψασθαι ἐπεχείρησεν, οὐ μὴν ἀλλὰ καὶ εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ παρελθὼν καὶ τὰ περὶ τούτου ἀνενέγκας τῇ ἡμῶν μετριότητι, κατηγορῶν μάλιστα τοῦ τεμιωτάτου ἐν ἱερομονάχοις κῦρ Γρηγορίου τοῦ Παλαμᾶ ἐζήτησε μετακληθῆναι καὶ αὐτοὺς εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον· μετακληθέντων τοίνυν ἑτέραν ὁ Βαρλαὰμ ἐτράπετο, ἀποφεύγων καὶ μὴ καταπειθὴς ὅλως γινόμενος εἰς τὴν σύνοδον ἀπαντῆσαι καὶ τοῖς κατηγορηθεῖσι παρ' αὐτοῦ μοναχοῖς εἰς λόγους ἐλθεῖν καὶ ἀντικαταστῆναι αὐτοῖς, ἐφ' οἷς κατ' αὐτῶν συνεγράψατο, πρόφασιν μὲν τῆς ἀποφυγῆς ποιούμενος τηνικαῦτα τὴν βασιλικὴν ἀποδημίαν, τῇ δ' ἀληθείᾳ, ἑαυτοῦ καταγνοὺς καὶ τὸν ἐντεῦθεν ἔλεγχον δεδιώς· ἔπειτα συνοδου συγκροτηθείσης παρουσίᾳ καὶ τοῦ ἐκ Θεοῦ βασιλέως, τοῦ ἀοιδίμου καὶ μακαρίτου, ἐν τῷ περιωνύμῳ ναῷ τῆς τοῦ Θεοῦ λόγου Σοφίας, τῆς τε συγκλήτου καὶ οὐκ ὀλίγων ἀπό τε τῶν τιμιωτάτων ἀρχιμανδριτῶν καὶ καθηγουμένων καὶ τῶν τῆς πολιτείας συνειλεγμένων, μεταπεμφθεὶς καὶ ὁ αὐτὸς Βαρλαὰμ καὶ προτραπεὶς εἰπεῖν καὶ ἀποδεῖξαι, εἴ τι εἰπεῖν ἔχει κατὰ τῶν καθ' ἡσυχίαν ζώντων μοναχῶν, παρόντων ἤδη καὶ αὐτῶν τῇ συνοδῳ, αὐτὸς ὡσπερεὶ τοῦ προκειμένου λήθην παθών, μάλιστα δὲ συγχέειν πειρώμενος τὰ τῆς ὑποθέσεως, εἰς ἐρωτήσεις καὶ ἀπορίας ἐχωρεῖτο δογματικάς, καὶ λύσεις τῶν ἀπορημάτων ἐζήτει, εἰς ὁ καὶ ἐνιστάμενος καὶ ἰσχυριζόμενος, μηδέν τι προτερον εἰπεῖν, πρὶν ἂν τὴν ἐπὶ ταῖς ἐρωτήσεσι ταύταις ἀπόκρισιν καὶ λύσιν κομίσηται· ἐπειδὴ καὶ ἅπαξ καὶ δὶς καὶ μετ' ἐμβριθείας ἀποκρουσθεὶς, οὐκ ἐνεδίδου τῆς ἐνστάσεως ταύτης, οὐδὲ ἐπείθετο λέγειν περὶ τῆς τῶν προκειμένων ἐξετάσεως, τῇ κατὰ τῶν μοναχῶν δηλαδὴ ἐγγράφου παρ' αὐτοῦ κατηγορίας, ἐπέτρεψεν ἡ μετριότης ἡμῶν ἀναγνωσθῆναι εἰς ἐπήκοον τῆς συνόδου τοὺς ἱεροὺς καὶ θείους κανόνας, δι' ὧν ἀπηγορευται καὶ οὐδαμῶς παρακεχώρηται, μὴ μόνον τοῖς κατ' αὐτόν, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσι, μηδέν τι περὶ δογμάτων κινεῖν, καὶ τοῖς ἄλλοις ἐντεῦθεν πάντως ἀνάγκην ἐπιτιθέναι περὶ τοιούτων ἀπολογεῖσθαι, μηδὲ διδασκαλικὸν ἑαυτοῖς περιτιθέντας ἀξίωμα, διεξιέναι περί τινων ἐκκλησιαιστικῶν ὑποθέσεων, μόνοις γὰρ ἐδοθη τοῦτο τοῖς ἀρχιερεῦσι Θεοῦ παρὰ τῆς ἄνωθεν χάριτος· φησὶ γὰρ ὁ τῆς οἰκουμενικῆς ἕκτης συνοδου κανὼν ξδ', ὅτι οὐ χρὴ λαικὸν δημο-

σίᾳ λόγον κινεῖν ἢ διδάσκειν, ἀξίωμα διδασκαλικὸν ἐντεῦθεν περιποιούμενον, ἀλλ' εἴκειν τῇ παρὰ τοῦ κυρίου παραδοθείσῃ τάξει, καὶ τὸ οὗς τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λόγου λαβοῦσι διανοίγειν, καὶ τὰ θεῖα παρ' αὐτῶν ἐκδιδάσκεσθαι, ἐν γὰρ τῇ μιᾷ ἐκκλησίᾳ διάφορα μέλη πεποίηκεν ὁ Θεός, κατὰ τὴν τοῦ ἀποστόλου φωνήν, ἣν ὁ θεολόγος ἑρμηνεύων Γρηγόριος, σαφῶς τὴν ἐν τούτοις τάξιν παρίστησι λέγων· «ταύτην αἰδώμεθα τὴν τάξιν, ἀδελφοί, ταύτην φυλάττωμεν, ὁ μὲν ἔστω τις ἀκοή, ὁ δὲ γλῶσσα, ὁ δὲ χείρ, ὁ δὲ ἄλλο τι, ὁ μὲν διδασκέτω, ὁ δὲ μανθανέτω, καὶ ὁ μὲν μανθάνων ἐν εὐπειθείᾳ, καὶ ὁ χορηγῶν ἐν ἱλαρότητι καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ, μὴ πάντες ὦμεν γλῶσσα τὸ ἑτοιμότερον, μὴ πάντες ἀπόστολοι, μὴ πάντες προφῆται, μὴ πάντες διερμηνεύωμεν»· καὶ μετά τινα· «τί σεαυτὸν ποιεῖς ποιμένα, πρόβατον ὤν; τί γίνῃ κεφαλή, ποῦς τυγχάνων; τί στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν στρατιώταις;» καὶ ἑτέρωθι ἡ σοφία διακελεύεται· «μὴ ἴσθι ταχὺς ἐν λόγοις, μή συμπαρεκτείνου, πένης ὤν, πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος εἰ δέ τις ἀλῷ τὸν παρόντα παρασαλεύων κανόνα, ἐπὶ ἡμέρας ἀφοριζέσθω τεσσαράκοντα». καὶ πάλιν ὁ τῆς ἐν Χαλκηδόνι κανὼν ἐννεακαιδέκατος· «δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας ἐν πάσῃ μὲν ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους, τὰ τῆς ἀληθείας νοήματά τε καὶ ῥήματα, καὶ μὴ παραβαίνοντας τοὺς ἤδη τεθέντας ὅρους ἢ τὴν ἐκ τῶν θεοφόρων πατέρων παράδοσιν, ἀλλὰ καί, εἰ γραφικὸς ἀνακινηθείη λογος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν, ἢ ὡς ἂν οἱ τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν οἰκείων συγγραμμάτων παρέθεντο, καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν, ἢ λόγους οἰκείους συντάττοντες, ἔστιν ὅτε καὶ ἀπόρως ἔχοντες πρὸς τοῦτο, ἀποπίπτοιεν τοῦ προσήκοντος, διὰ γὰρ τῆς τῶν προειρημένων πατέρων διδασκαλίας οἱ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ τῶν αἱρετῶν καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων, τὸν βίον μεταῤῥυθμίζουσι πρὸς τὸ βέλτιον, καὶ τῷ τῆς ἀγνοίας οὐχ ἁλίσκονται πάθει, ἀλλὰ προσέχοντες τῇ διδασκαλίᾳ ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσι, καὶ φοβῳ τῶν ἐπηρτημένων τιμωριῶν τὴν σωτηρίαν αὐτοῖς ἐξεργάζονται». μετὰ μέντοι τὴν ἀνάγνωσιν τῶν αὐτῶν ἱερῶν καὶ θείων κανόνων προεκομίσθησαν ἐπὶ τοῦ μέσου, ἃς ὁ Βαρλαὰμ φθάσας ἐποιήσατο ἀναφορὰς κατὰ τῶν μοναχῶν, καὶ ἀναγνωσθεισῶν τῶν τοιούτων ἀναφορῶν, προετράπη ὁ διαληφθεὶς ἱερομόναχος κῦρ Γρηγόριος ὁ Παλαμᾶς τὴν ἐπ' αὐταῖς ποιήσασθαι ἀπολογίαν, ὡς αὐτοῦ μάλιστα καθαπτομένου, ὅστις καὶ εἰπὼν ἐν προοιμίου λόγῳ καὶ ἀπολογησάμενος, ὅσα εἰκός, ἔπειτα διηγήσατο, καὶ ὡς ἐπισυνέβη τὰ τῆς

αὐτῶν διαφορᾶς, προτέρου τοῦ αὐτοῦ Βαρλαὰμ συγγραψαμένου καὶ κατηγορήσαντος αὐτῶν, ἅπερ ἀνωτέρω εἴρηται, καὶ ἐναντία τοῖς τῶν πατέρων θείοις λόγοις, ὡς ἀπεδείχθη, ἐκθεμένου, καὶ ὡς ἐξ ἀνάγκης καὶ αὐτὸς πρὸς τὴν ἀπολογίαν καὶ ἀντίῤῥησιν κεκίνηται. ἔπειτα ὡρίσθη ἐνεχθῆναι τὰ τοῦ Βαρλαὰμ συγγράμματα, ἃ καὶ πρὸς ἐξαπάτην τῶν ἀκουόντων «κατὰ Μασαλιανῶν» ἐπέγραφεν, ἐν οἷς συγγράμμασιν ἔλεγε καὶ περὶ τοῦ ἀπροσίτου φωτὸς τῆς μεταμορφώσεως δεσπότου σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν τῆς τοῦ φωτὸς τούτου θέας ἠξιωμένων, προκρίτων μαθητῶν αὐτοῦ καὶ ἀποστόλων, λέξεσιν αὐταῖς τάδε· «τὸ ἐν Θαβωρίῳ λάμψαν φῶς οὐκ ἀπρόσιτον ἦν, οὐδὲ κατὰ ἀλήθειαν ὑπῆρχε φῶς θεότητος, οὐδὲ ἀγγέλων ὅλως ἱερώτερον ἢ θειότερον, ἀλλὰ καὶ χεῖρον καὶ κατώτερον καὶ αὐτῆς τῆς ἡμετέρας νοήσεως, πάντα γὰρ τά τε νοήματα καὶ τὰ νοούμενα σεμνότερά ἐστι τοῦ φωτὸς ἐκείνου, ὡς τῇ ὄψει διὰ τοῦ ἀέρος προσπίπτοντος καὶ αἰσθητικῇ δυνάμει ὑποπίπτοντος, καὶ τὰ αἰσθητὰ μόνα δεικνύντος τοῖς ὁρῶσιν, ὑλικοῦ τε ὄντος καὶ ἐσχηματισμένου καὶ ἐν τόπῳ καὶ ἐν χρόνῳ φαινομένου, καὶ τὸν ἀέρα χρωματίζοντος, καὶ νῦν μὲν συνισταμένου τε καὶ φαινομένου, νῦν δὲ διαλυομένου καὶ εἰς τὸ μὴ εἶναι χωροῦντος, ἅτε φανταστοῦ, μεριστοῦ τε καὶ πεπερασμένου, δι' ὃ καὶ ὁρώμενον ἦν ὑπὸ τῶν στέρησιν πασχόντων τῶν ἱερῶν ἐνεργειῶν, μᾶλλον δὲ μηδέπω ταύτας ὅλως κτησαμένων, καὶ ἔτι ἀκαθάρτων ὄντων καὶ ἀτελῶν καὶ ἐπ' αὐτῆς ἐκείνης τῆς ἐπὶ τοῦ ὄρους θέας, ὡς μηδέπω ἀξιωθέντων τῆς τῶν θεοειδῶν νοήσεων, ἀναγόμεθα δὲ ἀπὸ τοῦ τοιούτου φωτὸς ἐπὶ νοήματα καὶ θεωρήματα, ἃ κρείττω ἐστὶν ἀσυγκρίτως τοῦ φωτὸς ἐκείνου· τοιγαροῦν οἱ λέγοντες αὐτὸ ὑπὲρ νοῦν καὶ ἀληθινὸν καὶ τὰ τοιαῦτα πεπλανημένοι εἰσὶ καθάπαξ, καὶ οὐδὲν τῶν φαινομένων καλῶν ὑψηλότερον εἰδότες, ἀσεβεῖς τε διὰ τοῦτο καὶ ὀλεθριώτατα δόγματα εἰς τὴν ἐκκλησίαν εἰσάγοντες». ταῦτα μὲν οὖν ὁ Βαρλαὰμ ἑτερόδοξα προδήλως καὶ ἐναντία τοῖς περὶ τοῦ θείου φωτὸς ῥηθεῖσι παρὰ τῶν ἁγίων, τούτων γὰρ ταῖς ῥήσεσι σύμφωνα διαβεβαιούμενοι καὶ φρονεῖν καὶ λέγειν οἱ μοναχοί, ταύτας καὶ προεβάλλοντο· φησὶ τοίνυν ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης. «σήμερον φωτὸς ἀπροσίτου ἄβυσσος, σήμερον αἴγλης θείας χύσις ἀπεριόριστος ἐν τῷ Θαβὼρ τῷ ὄρει τοῖς ἀποστόλοις αὐγάζεται, νῦν ὡράθη τὰ τοῖς ἀνθρωπίνοις ἀθέατα ὄμμασι, σῶμα γήϊνον θείαν ἀπαυγάζει λαμπρότητα, σῶμα θνητὸν δοξαν πηγάζει θεότητος· ὁ γὰρ λόγος σάρξ, ἡ σὰρξ δὲ λόγος ἐγένετο, εἰ καὶ μὴ τῆς οἰκείας ἐξέστη ἑκάτερον φύσεως· ὦ τοῦ θαύματος, οὐκ ἔξωθεν ἡ δόξα τῷ σώματι προσεγίγνετο, ἀλλ' ἔνδοθεν ἐκ τῆς ἀῤῥήτῳ λόγῳ γινομένης αὐτῷ καθ' ὑπόστασιν τοῦ Θεοῦ λόγου ὑπερθέου

θεότητος, ᾧ γὰρ ἐν ἐκείνῳ οἱ ἄγγελοι ἀκλινὲς ἐρείδειν τὸ ὄμμα οὐ σθένουσιν, ἐν τούτῳ τῶν ἀποστολων οἱ πρόκριτοι τῇ δοξῃ ἑαυτοῦ βασιλείας ὁρῶσιν ἐκλάμποντα, ἐντεῦθεν τοὺς κορυφαίους τῶν ἀποστολων προσλαμβάνεται μάρτυρας τῆς οἰκείας δοξης τε καὶ θεότητος, ἀποκαλύπτει δὲ αὐτοῖς τὴν οἰκείαν θεοτητα, τελείους δὲ εἶναι τοὺς τὴν θείαν δοξαν εἰκὸς κατοπτεύοντας, τὴν ἁπάντων ἐπέκεινα, τὴν μόνην καὶ ὑπερτελῆ καὶ προτέλειον· ὁ θεῖος γὰρ ὄντως καὶ θεηγόρος Διονύσιος, οὕτως ὁ δεσπότης, φησίν, ὀφθήσεται τοῖς ἑαυτοῦ τελείοις θεράπουσιν, ὃν τρόπον ἐν ὄρει Θαβὼρ τοῖς ἀποστολοις ὀπτάνεται, Ἰωάννην παραλαμβάνει, ὡς τῆς θεολογίας παρθένον καὶ καθαρώτατον ὄργανον, ὅπως τὴν ἄχρονον δοξαν τοῦ υἱοῦ θεασάμενος «ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ λόγος» βροντήσειε, μήτηρ γὰρ προσευχῆς ἡ ἡσυχία, προσευχὴ δὲ θείας δόξης ἐμφάνεια· ὅταν γὰρ τὰς αἰσθήσεις μύσωμεν, καὶ ἑαυτοῖς καὶ τῷ Θεῷ συγγενώμεθα καὶ τῆς ἔξωθεν τοῦ κόσμου περιφορᾶς ἐλευθερωθέντες ἐντὸς αὐτῶν γενώμεθα, τότε τρανῶς ἐν ἑαυτοῖς τὴν τοῦ Θεοῦ βασιλείαν ὀψώμεθα· ἡ βασιλεία γὰρ τῶν οὐρανῶν, ἥτις ἐστὶ βασιλεία Θεοῦ, ἐντὸς ἡμῶν ἐστιν, Ἰησοῦς ὁ Θεὸς ἀπεφθέγξατο· ἔμπροσθεν τῶν μαθητῶν μεταμορφοῦται, ὁ ἀεὶ ὡσαύτως δεδοξασμένος καὶ λάμπων ἀστραπῇ τῆς θεότητος, ἀνάρχως μὲν ἐκ πατρὸς γεννηθείς, τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος, καὶ ἡ τῆς θεότητος δοξα καὶ δοξα τοῦ σώματος γίνεται, ἀλλ᾽ ἀφανὴς ἡ δοξα ὑπάρχουσα ἐν τῷ φαινομένῳ σώματι τοῖς μὴ χωροῦσι τὰ ἀγγέλοις ἀθέατα, τοῖς σαρκὸς δεσμίοις ἀόρατος ἐχρημάτιζε· μεταμορφοῦται τοίνυν, οὐχ ὁ οὐκ ἦν προσλαβόμενος, οὐδέ, εἰς ὅπερ οὐκ ἦν μεταβαλλόμενος, ἀλλ᾽ ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐμφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας. καὶ τοῦτό ἐστι τό· μετεμορφώθη ἔμπροσθεν αὐτῶν, μένων γὰρ αὐτὸς ἐν ταυτότητι παρὸ τὸ πρὶν ἐφαίνετο, ἕτερος νῦν τοῖς μαθηταῖς ἐωρᾶτο φαινόμενος, καὶ ἔλαμψε, φησίν, ὡς ὁ ἥλιος, οὐχ ὅτι μὴ τοῦ ἡλίου λαμπρότερον, ἀμήχανον γὰρ ἀπαραλήπτως ἐν τῇ κτίσει τὸ ἄκτιστον εἰκονίζεσθαι, ἀλλ᾽ ὅσον ἐχώρουν καθορᾶν οἱ βλέποντες, Θεὸν μὲν γὰρ οὐδεὶς ἑώρακε πώποτε, καθὰ πέφυκε φύσεως, καὶ ὁ δὲ ἑώρακεν, ἐν πνεύματι τοῦτο τεθέαται· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, ταῦτά ἐστιν, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη πώποτε. οὕτως ἐν τῷ αἰῶνι τῷ μέλλοντι πάντοτε σὺν κυρίῳ ἐσόμεθα Χριστὸν ὁρῶντες, τῷ φωτὶ ἀστράπτοντα τῆς θεότητος, τοῦτο τὸ φῶς κατὰ πάσης φύσεως ἔχει τὰ νικητήρια, αὕτη ἡ ζωὴ ἡ τὸν κόσμον νικήσασα, ἀλλ᾽ ὁ Πέτρος «καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι», καὶ ἐντεῦθεν νεφέλη, οὐ γνόφου, ἀλλὰ φωτὸς ἐπεσκίασεν,

τὸ κεκρυμμένον γὰρ ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν μυστήριον ἐκκαλύπτεται, φωνὴ πατρὸς ἐκ νεφέλης τοῦ πνεύματος γέγονε, καὶ δοξα διηνεκὴς καὶ διαιωνίζουσα δείκνυται. ὁ δὲ Κρήτης θεσπέσιος Ἀνδρέας· «ἐπὶ τὸ ορος, φησίν, ἀνάγει τὸ ὑψηλὸν τοὺς μαθητὰς ὁ σωτήρ, τί ποιήσων ἢ τί διδάξων; τὴν ὑπεραστράπτουσαν παραδειξων τῆς οἰκείας θεότητος δοξαν τε καὶ λαμπρότητα· τοῦτο τοίνυν ἑορτάζομεν σήμερον, τὴν τῆς φύσεως θέωσιν, τὴν εἰς τὸ κρεῖττον ἀλλοίωσιν, τὴν ἐπὶ τὰ ὑπὲρ φύσιν ἔκστασιν καὶ ἀνάβασιν, καθ' ἣν καὶ τοῦ κρείττονος ἡ ἐκνίκησις, ἢ τό γε κυριώτερον εἰπεῖν, ἡ ἀνεκλάλητος θέωσις· τοῦτο θαυμάζουσιν ἄγγελοι, τοῦτο δοξολογοῦσιν ἀρχάγγελοι, τοῦτο πᾶσα τῶν ὑπερκοσμίων ἡ νοητὴ διακόσμησις, ἀύλως ἑστιωμένη, τεκμήριον ἐναργέστατόν τε καὶ ἀψευδέστατον τίθεται τῆς περὶ ἡμᾶς τοῦ λογου φιλανθρωπίας· οὐκ ἔστι τῶν ἐν τῇ κτισει θεωρουμένων, ᾧ χωρήσει τούτου τὴν ὑπερβολὴν τῆς λαμπρότητος, ὁ γὰρ ὑπερούσιος εἰς οὐσίαν ἀληθῶς ἐλθὼν καὶ ὑπὲρ οὐσίαν οὐσιωθείς, διὰ σαρκὸς ἡμῖν πεπολιτευται, ὃς δὴ καὶ ὑπερβαλλόντως ἐπὶ τοῦ ὄρους ἐξήστραψεν, οὐ τότε γενόμενος ἑαυτοῦ διαυγέστερος ἢ ὑψηλότερος, ἄπαγε, ἀλλ' ὅπερ καὶ πρότερον τοῖς τελουμένοις τῶν μαθητῶν καὶ μυουμένοις τὰ ὑψηλότερα κατὰ ἀλήθειαν θεωρούμενος, ἔξω γὰρ σαρκὸς καὶ κόσμου γενομενοι, καθ' ὅσον ἐφικτον, ἐνταῦθα τὰ τῆς μελλούσης καταστάσεως ἤδη, ἐξ ὧν ἐπειράθησαν, ἐδιδάχθησαν, εἰ γὰρ καὶ μηδενὶ τῶν ἁπάντων ἀκοινώνητόν ἐστι καθολου τὸ ἀγαθον, ἀλλ' οὐχὶ ὅλον, ὅ τι ποτέ ἐστιν, ἀλλ' ὅσον καὶ ὅπως τοῖς μετέχουσιν, ὡς ἐφικτόν, χωρητὸν γίνεται, καὶ τοῦτο δι' ἄκραν ἀγαθότητα ταῖς ἀπειροδώροις ἐλλάμψεσιν ὁδεῦον ἐπὶ πάντα καὶ προχεόμενον· ἀποδειξις δὴ τῶν λεγομένων αὐτὸ ἂν εἴη τὸ μακάριον πάθος τὸ πολυύμνητον, ὅπερ ἐπὶ τοῦ ὄρους πεπονθασιν οἱ ἀπόστολοι, ἡνίκα τὸ ἀπρόσιτον καὶ ἄχρονον φῶς τὴν οἰκείαν σάρκα μεταμορφῶσαν τῷ ὑπερβάλλοντι τῆς οἰκείας φωτοβλυσίας ὑπερουσίως ἐλάμπρυνεν. ὦ τοῦ θαύματος, κατ' ἔκστασιν τελειοτάτην τῆς φύσεως πίπτουσιν ὑπνοβάρει καὶ φοβῳ κρατούμενοι, μύσαντες τὰς αἰσθήσεις, πᾶσαν νοερὰν κίνησιν καὶ ἀντιληψιν παντελῶς ἑαυτῶν ἀποσπάσαντες, οὕτω κατὰ τὸν θεῖον ἐκεῖνον καὶ ὑπέρφωτον καὶ ἀόρατον γνόφον τῷ Θεῷ συνεγένοντο τῷ μηδόλως ὁρᾶν τὸ ὀντως ὁρᾶν εἰσδεχόμενοι καὶ τῷ πάσχειν ἀγνώστως τὴν καθ' ὑπεροχὴν ἀγνωσίαν ποριζομενοι καὶ τὴν πάσης νοερᾶς ἐπιστασίας ὑψηλοτέραν ἐγρήγορσιν ὕπνῳ μυσταγωγούμενοι, ἔξω πάντων ἐγένοντο τῶν ὁρωμένων τε καὶ νοουμένων, ἔτι δὲ καὶ ἑαυτῶν, ἵνα τὸ πάσης θεώσεώς τε καὶ ἀφαιρέσεως ἐκβεβηκὸς καθ' ὑπεροχὴν ὑπερούσιον, τῇ ἐκφάνσει τοῦ λόγου καὶ τῇ ἐπισκιάσει τοῦ πνεύματος καὶ τῇ ἄνωθεν ἐκ τῆς νεφέλης φερομένῃ φωνῇ τοῦ γεννήτορος

δι' ἀγνωσίας καὶ ἀβλεψίας παιδευθῶσι μυστήριον». περὶ τοῦ θείου τούτου φωτός, φησὶν ὁ μέγας Γρηγόριος ὁ Θεολόγος· «φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς μικροῦ στερρότερα καὶ ὀψεως»· καὶ αὖθις· «ἥξει μὲν ὡς ὁ ἐμὸς λόγος, τοιοῦτος δέ, οἷος ὤφθη τοῖς μαθηταῖς ἡ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος». ὁ δὲ ἅγιος Μάξιμος· «τοῦτό ἐστι, φησί, τὸ τοῦ Θεοῦ εὐαγγέλιον, πρεσβεία Θεοῦ καὶ παράκλησις πρὸς ἀνθρώπους δι' υἱοῦ σαρκωθέντος καὶ τῆς πρὸς τὸν πατέρα καταλλαγῆς μισθὸν δωρουμένου τοῖς πειθομένοις αὐτῷ τὴν ἀγέννητον θέωσιν, ἀγέννητον δὲ λέγω θέωσιν τὴν κατ' εἶδος ἐνυπόστατον ἔλλαμψιν, ἥτις οὐκ ἔχει γένεσιν, ἀλλ' ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν». καὶ αὖθις· «οὐ πᾶσιν ἀεὶ μετὰ δόξης, φησίν, ὁ Κύριος ἐπιφαίνεται τοῖς παρ' αὐτῷ ἱσταμένοις, ἀλλὰ τοῖς μὲν εἰσαγομένοις ἐν δούλου μορφῇ παραγίνεται, τοῖς δὲ δυναμένοις ἀκολουθῆσαι αὐτῷ τὸ ὑψηλὸν ἀναβαίνοντι τῆς αὐτοῦ μεταμορφώσεως ὄρος ἐν μορφῇ Θεοῦ ἐπιφαίνεται; ἐν ᾗ ὑπῆρχε πρὸ τοῦ τὸν κόσμον εἶναι». καὶ πάλιν ὁ αὐτός· «τὸ φῶς, φησί, τοῦ προσώπου Κυρίου τὸ νικῆσαν τῆς ἀνθρωπίνης αἰσθήσεως τὴν ἐνέργειαν τὸν τρόπον διετύπου τοῖς μακαρίοις ἀποστόλοις τῆς κατὰ ἀπόφασιν μυστικῆς θεολογίας, καθ' ἣν ἡ μακαρία καὶ ἁγία θεότης κατ' οὐσίαν ἐστὶν ὑπεράρρητος καὶ ὑπεράγνωστος καὶ πάσης ἀπειρίας ἀπειράκις ἐξηρημένη, οὐδ' ἴχνος ὅλως καταλήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασα, ὁ τοῖς οὖσι γάρ, φησὶν ὁ αὐτός, μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτός, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται, ὁπότε καὶ αὐτὸς ὁ τροπος, καθ' ὃν θέλων μετέχεται, μένει διηνεκῶς τοῖς πᾶσιν ἀνέκφαντος». φησὶ δὲ καὶ ὁ μέγας Βασίλειος· «τὸ πνεῦμα τὸ ἅγιον, ἀπρόσιτον τῇ φύσει, χωρητὸν δι' ἀγαθότητα, πάντα μὲν πληροῦν τῇ δυνάμει, μόνοις δὲ ὂν μεθεκτὸν τοῖς ἀξίοις, οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατὰ ἀναλογίαν τῆς πίστεως διαροῦν τὴν ἐνέργειαν, ἁπλοῦν τῇ οὐσίᾳ, ποικίλον ταῖς δυνάμεσιν, ὅλον ἑκάστῳ παρὸν καὶ ὅλον πανταχοῦ ὄν, ἀπαθῶς μεριζόμενον καὶ ὁλοσχερῶς μετεχόμενον, κατὰ τὴν εἰκόνα τῆς ἡλιακῆς ἀκτῖνος, καὶ ἑκάστῳ τῶν δεκτικῶν ὡς μόνῳ παρόν, διαρκεῖ τοῖς πᾶσι τὴν χάριν, καὶ ὁλόκληρον ἐπαφίησι». καὶ πάλιν· «αἱ μὲν ἐνέργειαι τοῦ Θεοῦ ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ, ἡμεῖς δὲ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεόν, τῇ δὲ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα, αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος». οὕτω γὰρ καὶ ὁ μέγας Ἀθανάσιος λέγει, ὅτι οὐδεὶς ἀνθρώπων δύναται Θεοῦ οὐσίαν γυμνὴν ἰδεῖν οὐδαμοῦ, ὅθεν πρόδηλον, ὅτι οὐ τὴν οὐσίαν τοῦ Θεοῦ ἔβλεπον οἱ ἅγιοι, ἀλλὰ τὴν δοξαν, ὡς καὶ περὶ τῶν ἀπο-

στολωὶ γέγραπται, ὅτι διαγρηγορήσαντες ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ αὖθις ὁ αὐτός, ἀπαθής, φησί, καὶ ἐν τοῖς παθήμασι τῆς σαρκὸς ὁ Χριστὸς ὡς Θεὸς νικήσας θάνατον καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθὼν εἰς τὸν οὐρανὸν ἐν δοξῃ φυσικῇ καὶ οὐκ ἐν χάριτι ἐρχόμενος ἐν τῇ αὐτοῦ θεότητι, ἐμφανῶς ἐκλάμπων ἐκ τοῦ ἐκ Μαρίας σώματος αὐτοῦ τοῦ ἁγίου τὴν δοξαν τὴν ἀπόῤῥητον, ὡς καὶ ἐπὶ τοῦ ὄρους ἔδειξεν ἀπὸ μέρους, διδάσκων ἡμᾶς, ὅτι καὶ πρότερον καὶ νῦν ὁ αὐτός ἐστιν ἀναλλοίωτος ὢν καὶ μεταβολὴν οὐδεμίαν ἔχων περὶ τὴν θεότητα. οὑτω καὶ ὁ μέγας Διονύσιος· «ὁταν ἄφθαρτοι, φησί, καὶ ἀθάνατοι γενώμεθα, καὶ τῆς χριστοειδοῦς καὶ μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σὺν Κυρίῳ κατὰ τὸ λόγιον ἐσόμεθα, τῆς μὲν ὁρατῆς θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι, φανωτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζούσης ὡς τοὺς μαθητὰς ἐν ἐκεινῃ τῇ θειοτάτῃ μεταμορφώσει, τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας ἐν ἀπαθεῖ καὶ ἀύλῳ τῷ νῷ μετέχοντες, καὶ τῆς ὑπὲρ νοῦν ἑνώσεως ἐν ταῖς τῶν ὑπερφανῶν ἀκτίνων ἀγνώστοις καὶ μακαρίαις ἐπιβολαῖς ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων νόων». καὶ ὁ μέγας Βασίλειος· «ἄθλον γάρ, φησίν, ἀρετῆς θεὸν γενέσθαι καὶ τῷ καθαρωτάτῳ φωτὶ καταστράπτεσθαι, ἡμέρας ἐκείνης υἱὸν γενόμενον, ἣ μὴ διακόπτεται ζόφῳ, ἄλλος γὰρ ταύτην ποιεῖ ἥλιος, ὁ τὸ ἀληθινὸν φῶς ἀπαστράπτων, ὃς, ἐπειδὰν ἅπαξ ἐπιφαύσῃ ἡμῖν, οὐκέτι ἐν δυσμαῖς κρύπτεται, ἀλλὰ πάντα τῇ φωτιστικῇ ἑαυτοῦ δυνάμει περιπτυξάμενος, διηνεκὲς καὶ ἀδιάδοχον τοῖς ἀξίοις τὸ φῶς ἐμποιεῖ, καὶ αὐτοὺς τοὺς μετέχοντας τοῦ φωτὸς ἐκείνου ἄλλους ἡλίους ἀπεργαζόμενος· τότε γάρ, φησί, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος». καὶ ὁ θεῖος Μάξιμος· «ἡ ψυχὴ γίνεται θεὸς τῇ μεθέξει τῆς θεικῆς χάριτος πασῶν τῶν κατὰ νοῦν τε καὶ αἴσθησιν ἐνεργειῶν, αὐτῇ δὲ παυσαμένῃ καὶ τὰς τοῦ σώματος συναποπαύσασα φυσικὰς ἐνεργείας, συνθεωθέντος αὐτῇ κατὰ τὴν ἀναλογοῦσαν αὐτῷ μέθεξιν τῆς θεώσεως, ὥστε μόνον τὸν Θεὸν διά τε τῆς ψυχῆς καὶ τοῦ σώματος τότε φαίνεσθαι, νικηθέντων αὐτῶν τῇ ὑπερβολῇ τῆς δοξης τῶν φυσικῶν γνωρισμάτων». καὶ ὁ μέγας Διονύσιος· «οὐδεμίαν ὁρῶμεν θέωσιν ἢ ζωήν, ἥτις ἀκριβῶς ἐμφερὴς ἐστι τῇ πάντων ὑπερκειμένῃ αἰτίᾳ» καὶ ὁ αὐτὸς ἐρωτώμενος, πῶς ὁ πάντων ἐπέκεινα ὑπὲρ θεαρχίαν ἐστὶ καὶ ὑπὲρ ἀγαθαρχίαν, εἰ θεότητα, φησί, καὶ ἀγαθότητα νοήσαις, αὐτὸ τὸ χρῆμα τοῦ ἀγαθοποιοῦ δώρου καὶ τὸ ἀμίμητον μίμητα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου, καθὸ θεούμεθα καὶ ἀγαθυνόμεθα, καὶ γάρ, εἰ τοῦτο ἀρχὴ γίνεται τοῦ θεοῦσθαι καὶ ἀγαθύνεσθαι τοῖς θεουμένοις καὶ ἀγαθυνομένοις, ὁ πάσης ἀρχῆς ὑπεράρχιος καὶ τῆς οὕτω λεγομένης θεότητος καὶ ἀγαθότητος, ὡς θεαρχίας καὶ ἀγαθαρχίας

ἐστὶν ἐπέκεινα». καὶ ὁ Νύσσης θεῖος Γρηγόριος· «εἰ καὶ τὰ κρίματα αὐτοῦ, φησίν, ἐξερευνηθῆναι οὐ δύναται καὶ αἱ ὁδοὶ οὐκ ἐξιχνιάζονται καὶ ἡ τῶν ἀγαθῶν ἐπαγγελία πάσης ὑπέρκειται τῆς ἀπὸ στοχασμῶν εἰκασίας, πόσῳ μᾶλλον τῷ μέτρῳ κατὰ τό ἄφραστόν τε καὶ ἀπροσπέλαστον ἄνω ἐστὶ καὶ ὑψηλότερον αὐτὸ τὸ θεῖον τῶν περὶ αὐτὸ νοουμένων». ἀλλὰ καὶ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνός πάλιν ἐν τοῖς ἱεροῖς μέλεσιν· «ἵνα σου δείξῃς ἐμφανῶς τὴν ἀπόῤῥητον δευτέραν κατάβασιν, ὅπως ὁ ὕψιστος Θεὸς ὀφθήσῃ ἐστὼς ἐν μέσῳ θεῶν, τοῖς ἀποστόλοις ἐν Θαβὼρ Μωσῇ σὺν Ἠλίᾳ τε ἀῤῥήτως ἔλαμψας». καὶ ἐν ἑτέρῳ μέλει· «καὶ μικρὸν ὑποκρύψας τῆς σαρκὸς τὸ πρόσλημμα, μετεμορφώθη ἔμπροσθεν αὐτῶν, ἐμφαίνων τοῦ ἀρχετύπου κάλλους τῆς εὐπρέπειαν, καὶ ταύτην οὐχ ὁλόκληρον, τὸ μὲν πληροφορῶν αὐτούς, ἅμα καὶ φειδόμενος, μήπως σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσιν, ἀλλ' ὡς ἠδύναντο χωρεῖν τοῖς σωματικοῖς ὀφθαλμοῖς περιφέροντες». καὶ ὁ μέγας Διονύσιος αὖθις· «ὁ θεῖος, φησί, γνόφος ἐστὶ τὸ ἀπρόσιτον φῶς, ἐν ᾧ κατοικεῖν ὁ Θεὸς λέγεται, καὶ ἀοράτῳ ὄντι, διὰ τὴν ὑπερέχουσαν φανότητα, καὶ ἀπροσίτῳ δι' ὑπερβολὴν ὑπερουσίου φωτοχυσίας». οὐχ ὁ Θεὸς δέ, φησὶν ὁ Χρυσόστομος, πατήρ, ἀλλ' ἡ χάρις ἐκεῖται. ἐπεὶ δὲ τὸν προσγενόμενον ἐπὶ τῆς θειοτάτης ἐκείνης θέας τοῖς ἀποστόλοις φόβον ἐκεῖνος αὖθις προεβάλλετο, ὡς ἀτελεῖς καὶ ἐπ' αὐτῆς ἐκείνης δεῖξαι διὰ τούτου τοὺς ἀποστόλους καὶ τὸ φῶς τοῦτο χαμαιζηλον τὸ τηνικαῦτα τούτοις ὁρώμενον, ὁ θείοτατος καὶ ἀοίδιμος βασιλεὺς ὑπὸ τοῦ τοιούτου τότε φωτὸς πάντως καταυγασθεὶς τὴν διάνοιαν, ἔστι καὶ φόβος, εἶπεν, οὐ τῶν εἰσαγομένων, ἀλλὰ τῶν τελείων, περὶ οὗ φησιν ὁ προφήτης· «ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος». καὶ ἀλλαχοῦ πάλιν· «φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ». δεῖγμα δὲ τοῦ μὴ τὸν εἰσαγωγικόν, ἀλλὰ τὸν τέλειον ἔχειν τότε φόβον τοὺς ἀποστολους τὸ ζητεῖν παραμένειν ἀεὶ τῷ ἀπόῤῥήτῳ ἐκείνῳ θεάματι, πεισήσωμεν γὰρ ὧδε, φησί, τρεῖς σκηνάς, καί· καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. ὁ γὰρ ἕτερον τρόπον τὸν φόβον ἔχων ἀπ' ἐκείνου προθυμεῖται φεύγειν, ὃ καὶ φοβεῖται, Πέτρος δέ, ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης, νομίσας τὸν διαστηματικὸν τοῦτον καὶ πεπερασμένον αἰῶνα παραῤῥυῆναι, τὸν δὲ ἀδιάστατόν τε καὶ ἄληκτον τοῦ φωτὸς ἐκεῖνον ἐπιφανῆναι, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, ἀπὸ διαθέσεως τῆς ψυχῆς ἐνθεαστικῶς ἔλεγεν, ἐκεῖνο γὰρ πάντως εἶδεν, ὁ οὐκ ἂν πάντως ἀνθρωπίνη φύσις ὁρᾶν δυνηθείη, εἰ μὴ πρὸς τὴν τοῦ ἁγίου πνεύματος χάριν ἀνακραθείη, τοσούτου γὰρ ἐκεῖνοι τότε ἠξιώθησαν, ὅσον ἀνθρωπίνη φύσις χωρήσειεν ἄν, συναιρομένου ταύτῃ τοῦ πνεύματος, μηδεὶς δὲ ἡμῶν ἀκούων, αὖθις εἶπεν ὁ καὶ τὰ θεῖα σοφὸς βασιλεύς, ἐφ' ὅσον εἰκὸς

ἐξυμνούντων τὸ θειότατον ἐκεῖνο φῶς, τὴν τοῦ Θεοῦ φύσιν θεατὴν ἡμᾶς ὑπολαμβανέτω, εἰ γάρ, ὡς καὶ πρὸς τοσοῦτον ὕψος θεωρίας ἀνέδραμον, χάριν καὶ δοξαν εἶδον θείαν, ἀλλ' οὐ τὴν φύσιν αὐτὴν τὴν χορηγοῦσαν τὴν χάριν, καὶ γὰρ ἴσμεν ἐκείνην, ὑπὸ τῶν θείων λογίων μεμυημένοι, ἀμέθεκτον, ἄληπτον, ἀόρατον καὶ αὐταῖς ταῖς ὑπερκοσμίοις καὶ ἀνωτάτω δυνάμεσιν, ὡς οὐδ' ἴχνος ολως καταλήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασαν. ἐπεὶ καὶ Γρηγορίων ὁ θεολογικώτατος ἔστιν ἃ τῶν προφητικῶν θεαμάτων καταλέξας προτερον, ἐφεξῆς εὐθὺς ἐπήνεγκεν· «ἀλλ' οὔτε οὗτοι, περὶ ὧν ὁ λογος, οὔτε τις ἄλλος τῶν κατὰ τούτους ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ κυρίου κατὰ τὸ γεγραμμένον, οὐδὲ θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγορευσεν». ἐξ ὧν δὴ ῥητῶν καὶ λόγων, ἀνιέρως τοῖς ἱεροῖς ἐπιβάλλων ὁ Βαρλαὰμ καὶ ἐπισφαλῶς, ἀπηλέγχετό τε καὶ κατησχύνετο, ἔτι τε εὕρηται ὁ τοιοῦτος Βαρλαὰμ πολλὰ καὶ τῶν τῆς ἡσυχίας ἐθίμων ἐγγράφως διαστρέψας καὶ κατηγορήσας, ἅμα τε καὶ τῇ συνήθει τούτοις, μᾶλλον δὲ πᾶσι τοῖς χριστιανοῖς προσευχῇ ἐπιθέμενος, τῇ Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με, διελάμβανε γὰρ καὶ περὶ ταύτης ἐπ' αὐτῶν τῶν λέξεων οὑτωσί· «ἐγὼ πολλῶν ὄντων, ἅ τις ἂν ἔχοι δικαίως ἐγκαλεῖν τῷ τῆς τοιαύτης διδασκαλίας ὑφηγητῇ, οὐδενὸς ἔλαττον ἡγοῦμαι καὶ τοῦτο, οτι τὰ τῶν χριστιανῶν ἐπιχειρῶν διὰ τῶν εἰσπνοῶν ἀνατρέπειν μυστήρια, συκοφαντεῖν καὶ τοὺς πατέρας, ὡς, ἅπερ νῦν αὐτὸς ἐκδιδάσκει, ταῦτα κἀκείνους φρονήσαντας προτερον». ἐμβρόντητε καὶ μιαρέ, τις πώποτε ἐκείνων νῆψιν καὶ φυλακὴν καρδίας καὶ προσοχήν, τοιαύτην τερατείαν, οἵαν σὺ παραδιδως, ὠνομασεν; φασὶ δὲ τοῦτον νενομοθετηκέναι τοῖς μύσταις, εὐχῇ χρῆσθαι διὰ παντὸς οὑτως ἐχούσῃ· «Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με». κἀκ τούτου οὖν ἔστι συνιδεῖν, ὁποῖος ἦν ὁ τῶν εἰσπνοῶν εὑρετής, τὸ μὲν γὰρ πάτερ ἡμῶν, ᾧ διαφεροντως οἱ Βογομίλοι χρῶνται, οὐ νομοθετεῖ, ᾤετο γὰρ οὑτω κατάδηλος ἔσεσθαι, οἷς δ' ὁμως ταύτῃ μόνῃ τῇ μικρᾷ εὐχῇ διὰ βίου προσανέχειν ὑποτίθεται, τούτοις τάς τε ἄλλας ἁπάσας εὐχὰς βαττολογίας καταλιμπάνειν νομιζεσθαι, οἷς δ' αὖθις πάντων χριστιανῶν ἐν ταύτῃ τῇ εὐχῇ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν καλούντων, οὗτος τὸ ὁ Θεὸς ἡμῶν εἰς τὸ υἱὲ Θεοῦ μετείληφε, τούτοις τὸ πᾶν τῆς ἑαυτοῦ κακοδοξίας ἡμῖν ἐξεκάλυψε. τῷ γὰρ τῶν Βογομιλων ἀκολούθως δογματι μεταβάλλει καὶ οὗτος ἐν τῇ εἰρημένῃ εὐχῇ τὸ ὁ Θεὸς ἡμῶν εἰς τὸ υἱὲ Θεοῦ, ἐπεὶ ἄλλην γε αἰτίαν, δι' ἣν τὴν τοιαύτην πεποίηκε μεταβολήν, οὐκ ἂν εἰπεῖν τις ἔχοι. καὶ ταῦτα μὲν ὁ ἀτοπώτατος Βαρλαάμ, τὰ δὲ καὶ αὐτὰ ἀπ' ἐναντίας ἔχει πάντως τῇ μακαριστῇ φωνῇ τοῦ θεμελίου τῆς πίστεως, Πέτρου, τοῦ κορυφαίου τῶν μαθητῶν, καὶ τῷ ἐπ' αὐτῇ

τοῦ δεσπότου μακαρισμῷ, ὁ μὲν γὰρ εἶπε πρὸς αὐτόν· «σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος», ὁ δὲ Κύριος πρὸς αὐτόν· «μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σάρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς», ἀλλὰ καὶ ἐν τῷ συμβολῳ τῆς πίστεως πιστεύομεν, λέγομεν, εἰς ἕνα Θεόν, πατέρα παντοκράτορα, καὶ εἰς τὸν υἱὸν τοῦ Θεοῦ, τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· ἆρ' οὖν οὐ Θεὸν εἶναι τὸν Χριστὸν δοξάζομεν, ἐπεὶ πιστεύειν φαμὲν εἰς τὸν υἱὸν τοῦ Θεοῦ; φησὶ δὲ περὶ τῆς τοιαύτης ἱερᾶς προσευχῆς καὶ ὁ χρυσορρήμων καὶ θεῖος διδάσκαλος Ἰωάννης, μονάζουσιν ἐπιστέλλων· «σχολάσατε διὰ παντος, καὶ παραμείνατε Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἕως οὗ οἰκτειρήσῃ ἡμᾶς, καὶ μηδὲν ἕτερον ζητήσητε ἢ μονον ἔλεος παρὰ τοῦ Κυρίου τῆς δοξης, ζητοῦντες δὲ ἔλεος, ἐν ταπεινῇ καὶ ἐλεεινῇ καρδίᾳ ζητεῖτε καὶ βοᾶτε ἀπὸ πρωὶ ἕως ἑσπέρας, εἰ δυνατὸν καὶ ὁλην τὴν νύκτα τὸ Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, ἐλέησον ἡμᾶς· παρακαλῶ οὖν ὑμᾶς, βιάσασθε τὸν νοῦν ὑμῶν εἰς τοῦτο τὸ ἔργον ἕως θανάτου, πολλῆς γὰρ βίας χρῄζει τὸ ἔργον τοῦτο, ὁτι στενή ἐστιν ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ οἱ βιαζομενοι εἰσέρχονται ἐν αὐτῇ, βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· παρακαλῶ οὖν ὑμᾶς, μὴ χωριζετε τὰς καρδιας ὑμῶν ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ προσμένετε καὶ φυλάττετε αὐτὴν μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε, ἕως οὗ ἐμφυτευθῇ τὸ ὀνομα τοῦ Κυριου ἔσω ἐν τῇ καρδιᾳ, καὶ μηδὲν ἕτερον ἐννοεῖτε, ἢ ἵνα μεγαλυνθῇ Χριστὸς ἐν ὑμῖν. παρακαλῶ αὖ ὑμᾶς, τὸν κανονα ταύτης τῆς προσευχῆς μηδέποτε καταπαύσητε ἢ καταφρονήσητε, ἀλλ' εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε ὀδεύετε, εἴτε τι ποιεῖτε, ἀδιαλείπτως κράζετε· Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, ἐλέησον ἡμᾶς, ἀδιαλείπτως γάρ, φησὶν ὁ θεῖος ἀποστολος, προσεύχεσθε χωρὶς ὀργῆς καὶ διαλογισμῶν». ἀλλὰ καὶ ὁ θεῖος Διάδοχος, «ἀπαιτεῖ, φησίν, ἡμᾶς πάντως ὁ νοῦς, οταν πάσας τὰς διεξοδους αὐτοῦ τῇ μνήμῃ ἀποφράξωμεν τοῦ Θεοῦ, ἔργον οφεῖλον αὐτοῦ πληροῦν τὴν ἐντρέχειαν». δεῖ οὖν αὐτῷ διδοναι τὸ κύριε Ἰησοῦ Χριστὲ εἰς ὁλοκληρον πραγματειαν τοῦ σκοποῦ, οὐδεὶς γάρ, φησί, λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγιῳ, ὅσοι γὰρ τοῦτο τὸ ἅγιον καὶ ἔνδοξον ὄνομα τῷ βάθει μελετῶσιν ἀεὶ τῆς καρδίας ἀπαύστως, αὐτοὶ καὶ τὸ φῶς αὐτῶν τοῦ νοῦ δύνανται ὁρὰν ποτε, πάντα γὰρ τὸν ἐπιπολάζοντα ῥύπον τῇ ψυχῇ ἐν αἰσθήσει ἱκανῇ καταφλέγει, καὶ γὰρ ὁ Θεὸς ἡμῶν, φησι, πῦρ καταναλισκον, ὁθεν εἰς ἀγάπην λοιπὸν πολλὴν τὴν ψυχὴν τῆς ἑαυτοῦ δοξης προσκαλεῖται ὁ Κύριος, ἐγχρονιζον γὰρ τὸ ἔνδοξον ἐκεῖνο καὶ πολυποθητον ὀνομα διὰ τῆς μνήμης τοῦ νοῦ τῇ θέρμῃ τῆς καρδιας ἕξιν ἡμῖν πάντως ἐμποιεῖ τοῦ

ἀγαπᾶν τὴν αὐτοῦ ἀγαθότητα, οὗτος γάρ ἐστιν ὁ μαργαρίτης ὁ πολύτιμος, ὄντινα, πωλήσας τις τὴν περιουσίαν αὐτοῦ, εὑρεῖν δύναται καὶ ἔχειν ἀνεκλάλητον ἐπὶ τῇ αὐτοῦ εὑρέσει χαράν. καὶ μακρὸν ἂν εἴη λέγειν τὰς περὶ τούτου καὶ εἰς τοῦτο τῶν θεοφόρων πατέρων εἰσηγήσεις καὶ προτροπάς. ἰσχυριζομένων τοίνυν τῶν μοναχῶν, τῆς πνευματοκινήτου τῶν θεοφόρων διανοίας ἐπιτερπές τε καὶ θεῖον ἐξ ἀρχῆς εἶναι μελέτημα τὴν εὐχὴν ταύτην, ἅμα δὲ καὶ βουλομένων ἐφεξῆς συνείρειν, ὅσα περὶ αὐτῆς ἐν τοῖς τῶν ἁγίων συγγράμμασι κεῖται, οἷόν ἐστι καὶ τὸ εἰρημένον τῷ διὰ λόγων δειμαμένῳ τὴν κλίμακα τῆς πνευματικῆς ἀναβάσεως, μνήμη γάρ, φησίν, Ἰησοῦ κολληθήτω τῇ πνοῇ σου, καὶ τότε εἴσῃ ἡσυχίας ὠφέλειαν. τοιαῦτα προθυμουμένων ἐφεξῆς λέγων τῶν μοναχῶν ὁ τὰ πάντα θαυμάσιος βασιλεύς, νῦν δὲ καὶ μακαρίῳ τέλει κατακλείσας τὸν βίον, ὡς χριστὸς Κυρίου τὸν ὑπὲρ τοῦ χρίσαντος Χριστοῦ λόγον αὖθις ὑπολαβών, ἀλλ' ἔστω, φησί, καὶ δεδόσθω τῶν κακοδοξων τοῦτό τινα φάναι τὴν ἀρχήν, οὐδὲν παρὰ τοῦθ' ἡμῖν ἔγκλημα καλῶς χρωμένοις τὸ κακῶς ἐκείνοις νενοημένον, οὐδὲ γάρ, ἐπειδὴ Θεὸν οὐράνιον λέγουσιν οἱ Πέρσαι, τὸν Ἀβραὰμ κακῶς ἐροῦμεν εἰπεῖν, τὸν Θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, οὐδ' ἐπειδὴ κοσμοποιὸν νοῦν Ἕλληνές φασι τὸν Θεόν, ἡμεῖς τοῦτον τοῦ κόσμου ποιητὴν οὐκ ἐροῦμεν, ἢ τοῦτο λέγοντες ἐγκληθείημεν ἂν δικαίως, ὡς κατ' ἐκείνους φρονοῦντες· Ἕλληνες μὲν γὰρ τὴν ὕλην ἀγέννητον καὶ τῷ Θεῷ συναίδιον λέγοντες, καὶ ποιητὴν φασι τοῦ κόσμου Θεόν, ἀλλ' οὐχ ὡς προαγωγεία τοῦ μήπω πρότερον μηδαμῶς ὄντος, ἀλλ' ὡς τοῦ ὄντος κοσμήτορα, τάξιν μόνον καὶ εἶδος καὶ θέσιν ἐναρμόνιον προστιθέντα τοῖς οὖσι μικροῦ τῆς κατ' ἀνθρώπους τέχνης, μηδὲν πλέον τῇ δυνάμει τοῦ Θεοῦ νέμοντες, ἡμεῖς δὲ, ὥσπερ τὴν εἰς τὸ εἶναι πρόοδον ἐκ μὴ ὄντων τὰ πάντα δέξασθαι πιστεύοντες πρὸς Θεοῦ, ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ τοῦτον ἀκριβῶς γινώσκομεν, οὕτω καὶ Θεοῦ υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγοντες ὑμνοῦμεν, ἐπιβοώμεθα αὐτὸν ὡς Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ καὶ τὴν τοῦ υἱοῦ θεότητα ὁμολογοῦντες καὶ τὸν αἴτιον τῇ τοῦ υἱοῦ θεοτητι προσμαρτυροῦντες. φασὶ δὲ καὶ Μασσαλιανοὺς καὶ Βογομίλους τὴν ὑπὸ τοῦ Κυρίου τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις παραδεδομένην εὔχεσθαι εὐχήν· τί οὖν; ἀποσχώμεθα ταύτης ἡμεῖς διὰ τοῦτο, καὶ καταπροδῶμεν τοῖς κεκλοφοσι κακῶς τὰ ἡμέτερα, καὶ διὰ τοὺς ὑποκρινομένους ἐν λόγοις τὸ εὐσεβὲς τῶν ὄντως εὐσεβῶν ἡμεῖς ἀποστῶμεν φωνῶν; ἄπαγε τῆς αἰσχίστης κακοβουλίας. ἀλλ ἐπειδὴ παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, μετ' ἐλπίδος ἐπικαλεσόμεθα τὸ ὄνομα

αὐτοῦ, καὶ σωτηρίας ἐκ τῆς τοιαύτης ἐπικλήσεως τευξόμεθα, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ προφήτου· «καὶ ἔσται, πᾶς, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται», καὶ ἐπειδήπερ οὐκ ἐστιν ὄνομα ἕτερον τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ καὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, μακάριος ὁ διὰ τῆς διηνεκὲς μελέτης τοῦ πολυυμνήτου τούτου ὀνόματος ἔνοικον ἔχων ἐν ἑαυτῷ τὸν Θεόν, εἰς αἰῶνα γάρ, φησίν, ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου, πῶς δ' οὐκ ἂν γένοιτο πνεύματος ἁγίου πλήρης ὁ τὸ θεῖον τοῦτο καὶ ὑπερδεδοξασμένον ὄνομα κατέχειν ἐν τῇ καρδίᾳ σπεύδων ἡμέρας καὶ νυκτός, τοῦ Κυρίου ἐν εὐαγγελίοις λέγοντος, ὅτι δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτὸν ἡμέρας καὶ νυκτός; ἀνεφάνη οὖν καὶ ἀπηλέγχθη ἐκ τούτων ὁ Βαρλαὰμ βλασφήμως καὶ κακοδόξως λαλῶν περί τε τοῦ ἐν τῷ Θαβωρίῳ θείου φωτὸς καὶ ὧν κατὰ τῶν μοναχῶν περὶ τῆς μελετωμένης αὐτοῖς καὶ προφερομένης συχνῶς ἱερᾶς εὐχῆς συνεγράφετο, οἱ δὲ μοναχοὶ ἀπεδείχθησαν ἀνώτεροι τῆς κατηγορίας αὐτοῦ, ὡς στέργοντες καὶ ἐμμένοντες ταῖς περὶ τούτων τῶν ἁγίων πατέρων ἐξηγήσεσι καὶ παραδοσεσι, καθὼς καὶ αὐτοὶ ἀριδήλως διωμολόγησαν καὶ διεβεβαιώσαντο· ἔνθεν τοι καὶ κοινῇ συνοδικῇ ψήφῳ, ἅτε κακῶς καὶ ἐπισφαλῶς τοῖς θείοις ἐπιβαλὼν ὁ αὐτὸς Βαρλαάμ, ὡς εἴρηται, καταψηφισθείς, συγνώμην ἐπὶ τούτοις δῆθεν ᾐτήσατο. καὶ γοῦν ἀποφαινόμεθα, ὡς εἰ μὲν ἐνδείξηται ἀληθῶς μετάνοιαν, καὶ διορθώσηται ἑαυτόν, καὶ οὐδαμῶς οὐκέτι περὶ τῶν τοιούτων λέγων καὶ συγγραφόμενος φωραθείη, εὖ ἂν ἔχοι· εἰ δ' οὖν, ἀποκήρυκτος ἔσται καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου τῶν Χριστιανῶν συστήματος, ἀλλὰ καί, εἴ τις ἕτερός τι τῶν ὑπ' ἐκείνου βλασφήμως καὶ κακοδόξως κατὰ τῶν μοναχῶν, μᾶλλον δὲ τῆς ἐκκλησίας αὐτῆς λαληθέντων ἢ συγγραφέντων φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν ἢ ὅλως τούτων ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρὰ τῆς ἡμῶν μετριότητος καθυποβαλλόμενος, ἀποκήρυκτος ἔσται καὶ αὐτὸς καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος. μετ' ἐμβριθείας μέντοι καὶ πνευματικῆς αὐστηρίας καὶ ἐπιτιμήσεως λέγομεν, μηκέτι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς λογον τινὰ τῶν ἁπάντων κινεῖν περὶ τούτων τε καὶ ἄλλων δογματικῶν λόγων, οὔτε ἐγγράφως δηλαδή, οὔτε ἀγράφως, ὡς οὐ μικρῶν ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἀνακυπτοντων σκανδάλων καὶ συγχύσεως καὶ ταραχῆς καὶ

σάλου καὶ τρικυμίας ἐπιγινομένης ταῖς ψυχαῖς τῶν ἀκουόντων καὶ τῶν ἀκεραιοτέρων μάλιστα, δι' ἃ δὴ πάντως καὶ οἱ ἀνωτέρω ἐκτεθειμένοι θεῖοι κανόνες τοῖς θεοφόροις καὶ ἁγίοις πατράσιν ἐξετέθησαν. χάριν γὰρ τοῦ μηκέτι μηδένα ταῖς ὁμοίαις πλάναις περιπεσεῖν ποιούμενοι πρόνοιαν, καὶ τὸ παρὸν εἰς ἀσφάλειαν ἐκθέμενοι γράμμα, ταῖς οἰκείαις ὑπογραφαῖς ἐπεσημηνάμεθα κατὰ μῆνα ἰούλιον τῆς θ' ἰνδικτιῶνος+

(Miklosich et Müller, Acta Patriarch. Constant. I, стр. 202 — 216; ср. Migne, Patr. gr. t. 151, coll. 679 — 692).

Εἶχε καὶ τὰς ὑπογραφὰς ταύτας.

Ἰωάννης ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁ ταπεινὸς μητροπολίτης Σάρδεων, ἔξαρχος πάσης Λυδίας καὶ ὑπέρτιμος Γρηγόριος.

Ὁ ταπεινὸς μητροπολίτης Λακεδαιμονίας καὶ ὑπέρτιμος Νεῖλος.

Ὁ μητροπολίτης Μαδύτων ταπεινὸς Ἰσαάκ.

Ὁ ταπεινὸς μητροπολίτης Βιτζύης καὶ ὑπέρτιμος Μακάριος.

Ὁ ταπεινὸς μητροπολίτης Ἀλανίας καὶ Σωτηριουπόλεως καὶ ὑπέρτιμος Λαυρέντιος.

Ἴσον τοῦ παρὰ τῶν ἀρχιερέων γεγονότος γράμματος κατὰ τὴν ιε' ἰνδικτιῶνα περὶ τοῦ συνοδικοῦ τούτου τόμου.

Στέργομεν καὶ ἀποδεχόμεθα τὴν περὶ τῆς εὐσεβείας κρίσιν καὶ διάγνωσιν καὶ ἀπόφασιν τῆς μεγάλης ἐκείνης συνόδου, καθ' ἣν προεκάθητο καὶ ὁ τρισμακάριστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς, καὶ τὸν ἐπὶ ταύτῃ γεγονότα τόμον, ὡς κατὰ πάντα συνήγορον τῆς εὐσεβείας, καὶ τὰς ἐν αὐτῷ διαγνώσεις καὶ ἀποφάσεις, στέργομεν ἐν πᾶσι καὶ ἀποδεχόμεθα· τὸν δὲ τηνικαῦτα καταδικασθέντα Βαρλαὰμ καὶ τοὺς κρίσει ἀληθινῇ καὶ ἀδικάστῳ ἐλεγχθησομένους συνοδικῶς τὰ ἐκείνου φρονοῦντας καὶ ἀμετανοήτως ἔχοντας ἐκ ψυχῆς ἀποβαλλομεθα καὶ ἐπικηρύττομεν.

Ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφείας Μακάριος.

Ὁ ταπεινὸς μητροπολίτης Παλαιῶν Πατρῶν καὶ ὑπέρτιμος Μητροφάνης.

Ὁ ταπεινὸς μητροπολίτης Ῥωσίου καὶ ὑπέρτιμος Θεοδουλος.

Ὁ ταπεινὸς μητροπολίτης Βάρνης καὶ ὑπέρτιμος Μεθοδιος.

Ὁ ταπεινὸς μητροπολίτης Σηλυβρίας καὶ ὑπέρτιμος Ἡσαίας.

Ὁ ταπεινὸς μητροπολίτης Διδυμοτείχου καὶ ὑπέρτιμος Θεοκτιστος.

Εἶχε καὶ ταῦτα ὀπισθεν·

Οὐ συνεκλήθην τὴν ἀρχὴν εἰς τὸ ἀκοῦσαι τὴν ὑπόθεσιν πρὸ τῆς συνόδου, ἀλλὰ καὶ ἐν τῇ συνοδῳ κληθέντος μου καὶ προενεγκόντος μού τινα γράμματα εἰς τὸ ἀναγνωσθῆναι οὐκ ἀνεγνώσθη. Μετὰ δὲ τὴν κρίσιν πάλιν οὐκ ἐκλήθην εἰς τὴν διάσκεψιν τοῦ γραφέντος τόμου· διὰ τοῦτο οὐκ ἠθέλησα ὑπογράψαι εἰς τὸν τόμον ἐν τῷ τόπῳ μου. Ἐπεὶ δὲ καὶ συνέβη ἐνεγκεῖν μοί τινας μέρη τινὰ ἀπὸ τῶν συγγραμμάτων τοῦ τιμιωτάτου ἱερομονάχου κῦρ Γρηγορίου τοῦ Παλαμᾶ· ἦσαν δὲ παρακεχαραγμένα· ὡς ὕστερον ἰδὼν καὶ ἀναγνοὺς τὰ ἐκείνου συγγράμματα, ἔμαθον τὴν ἀλήθειαν καὶ ἔμαθον ὅτι ἐν πᾶσι σύμφωνά εἰσι τοῖς ἁγίοις ἀκριβῶς κατὰ πάντα, ἀλλὰ καὶ τοὺς λόγους αὐτων ἀκούσας καὶ αὐτοὺς συμφώνους εὗρον τοῖς ἁγίοις κατὰ πάντα· διὰ τοῦτο ἰδίᾳ εἰς μαρτύριον καὶ ἀσφάλειαν τῆς ἀληθείας τῶν λεγομένων καὶ γεγραμμένων ὑπό τε τοῦ τιμιωτάτου ἱερομονάχου κῦρ Γρηγορίου τοῦ Παλαμᾶ καὶ τῶν λοιπῶν μοναχῶν ὑπέγραψα.

Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλησπόντου Ἀθανάσιος.

(Cp. Migne, Patr. gr. t. 151, col. 692).

№ 30.

Cantacuz. libr. II (vol. I), p. 552. ed. Bonnae.—Ἐπὶ τούτοις δὲ (свидѣтельства отцовъ церкви о Ѳаворскомъ несотворенномъ свѣтѣ) καὶ τὸν ὑπὸ τῶν κατὰ τὸν Ἄθω ὁσίων ἀνδρῶν συντεθειμένον παρῆγε τόμον (ὁ Παλαμᾶς), ὃς αὐτῷ μὲν συνηγόρει ὡς τὰ ἴσα τοῖς ἁγίοις φθεγγομένῳ, Βαρλαὰμ δὲ βλασφημίαν καὶ κακοδοξίαν κατηγόρει πολλήν.

Nicephor. Gregor. lib. XIV (vol. II), p. 718—719 ed. Bonn.—Εἶναί γε μὴν τὰ τῶν ἐκείνων μυσαρὰ καὶ ἀκάθαρτα δόγματα (исихастовъ), φησὶν ὁ εἰς τὸ τῶν Βυζαντίων ἱερὸν κομισθεὶς συνέδριον τῆς αὐτῶν ἀσεβείας τόμος πρὸς τῶν θεοφόρων τοῦ ὄρους ἀνδρῶν, τά τε ἄλλα, ὅσα μηδ' ἀκοῇ σωφρονεῖν αἱρομένων φέρειν εἶναι ῥᾴδια, καὶ ὅτι τὰς θείας λάθρα συντρίβοντες κατακαίουσιν εἰκόνας·.... ος πάντα διεξιὼν διαῤῥήδην τὴν σφῶν στηλιτεύει κακίαν, τοῖς πατριαρχικοῖς ἐγγεγραμένος κώδιξι.

№ 31.

Посланіе Константинопольскаго патріарха Іоанна Калеки къ монахамъ аѳонскимъ, 6853=1345 года, мѣсяца ноября, индикта 13.

† Τιμιώτατοι ἐν μοναχοῖς, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος· χάρις ὑμῖν εἴη καὶ εἰρήνη ἀπὸ Θεοῦ. Περὶ τοῦ Παλαμᾶ ἐγράψατε καὶ ἐδηλώσατε ὅσα ἐδηλώσατε, ἀφ' ὧν ἀγνοεῖν ἔτι δοκεῖτε καὶ περὶ τῶν πεπραγμένων συνοδικῶς καὶ ὅπως παρηκολούθησε τὰ κατ' αὐτόν· ἵν' οὖν μὴ διὰ τοῦτο ἀκοὰς δεχόμενοι ματαίας ἐκφέρησθε τοῦ προσήκοντος, δηλῶσαι δεῖν ἔγνωμεν ὑμῖν ὡς ἐν βραχεῖ τὴν ὑπόθεσιν. ὁ Παλαμᾶς καὶ ὁ Βαρλαὰμ εἶχον ὡς εἶχον κατ' ἀλλήλων καί, ἵνα μὴ μακρολογῶμεν, κατήντησαν ἐνταῦθα ο μὲν πρότερον ὁ Βαρλαάμ, εἶτα ἀπὸ ἐγκλήσεως αὐτοῦ καὶ ὁ Παλαμᾶς, καὶ συνόδου συγκροτηθείσης παρουσίᾳ καὶ τοῦ ἁσιδίμου καὶ μακαρίτου βασιλέως *) καὶ τῆς συγκλήτου προετράπη ὁ Βαρλαὰμ εἰπεῖν, εἴ τι εἰπεῖν ἔχει καὶ ἀποδεῖξαι κατὰ τοῦ Παλαμᾶ· ὁ δέ, ὡσπερεὶ τοῦ προκειμένου λήθην παθών, δογματικὰς προέτεινεν ἀπορίας καὶ λύσεις ἐπὶ τούτοις ἐπεζήτει· ἡμῶν δὲ προτρεπόντων λέγειν αὐτὸν περὶ ὧν ἐνεκλήτευσεν, ἐνιστάμενος ἦν, τῶν ἀποριῶν ἀπρὶξ ἐξεχόμενος. ἀνεγνώσθησαν οὖν εἰς ἐπήκοον διὰ ταῦτα ἀπὸ τῶν ἱερῶν καὶ θείων κανόνων οὗτοι· «οὐ χρὴ λαικὸν δη-«μοσίᾳ λόγον κινεῖν ἢ διδάσκειν, ἀξίωμα διδασκαλικὸν ἐντεῦθεν περιποιούμενον, «ἀλλ' εἴκειν τῇ παρὰ τοῦ Κυρίου παραδοθείσῃ τάξει καὶ τὸ οὖς τοῖς τὴν χάριν «τοῦ διδασκαλικοῦ λόγου λαβοῦσι διανοίγειν καὶ τὰ θεῖα παρ' αὐτῶν ἐνδιδάσκε-«σθαι. ἐν γὰρ τῇ μιᾷ ἐκκλησίᾳ διάφορα μέλη πεποίηκεν ὁ Θεός, κατὰ τὴν τοῦ «ἀποστόλου φωνήν, ἣν ὁ θεολόγος ἑρμηνεύων Γρηγοριος σαφῶς τὴν ἐν τούτοις «τάξιν παρίστησι λέγων· ταύτην αἰδώμεθα τὴν τάξιν, ἀδελφοί, ταύτην φυλάτ-«τωμεν, ὁ μὲν ἔστω τις ἀκοή, ὁ δὲ γλῶσσα, ὁ δὲ χείρ, ὁ δὲ ἄλλο τι, ὁ μὲν διδασ-«κέτω, ὁ δὲ μανθανέτω, καὶ ὁ μανθάνων ἐν εὐπειθείᾳ καὶ ὁ χορηγῶν ἐν ἱλαρό-«τητι καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ, μὴ πάντες γλῶσσα, τὸ ἑτοιμότερον, μὴ πάν-«τες ἀπόστολοι, μὴ πάντες προφῆται, μὴ πάντες διερμηνεύωμεν». καὶ μετά τινα· «τί σεαυτὸν ποιμένα ποιεῖς, πρόβατον ὤν; τί γίνῃ κεφαλή, ποὺς τυγχάνων; τί «στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν στρατιώταις; καὶ ἑτέρωθι ἡ σοφία διακε-«λεύεται· μὴ ἴσθι ταχὺς ἐν λόγοις, μὴ συμπαρεκτείνου, πένης ὤν, πλουσίῳ μη-«δὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος· εἰ δέ τις ἀλῷ τὸν παρόντα παρασαλεύων κανόνα, ἐπὶ ἡμέρας ἀφοριζέσθω τεσσαράκοντα».

Κανὼν ἕτερος ιθ' τῆς ἐν Χαλκηδόνι· «δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας «ἐν πάσῃ μὲν ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν «ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους, ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους τὰ «τῆς ἀληθείας νοήματά τε καὶ ῥήματα καὶ μὴ παραβαίνοντας τοὺς ἤδη τεθέν-

*) Андроникъ Младшій † 1341 г.

«τας ὅρους ἢ τὴν ἐκ τῶν θεοφόρων πατέρων παράδοσιν, ἀλλὰ καὶ εἰ γραφικὸς «ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν ἢ ὡς ἂν οἱ τῆς ἐκκλησιας «φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν οἰκείων γραμμάτων παρέθεντο, καὶ μᾶλλον «ἐν τούτοις εὐδοκιμείτωσαν ἢ λόγους οἰκείους συντάττοντες, ἔστιν ὁτε ἀπό- «ρως ἔχοντες πρὸς τοῦτο, ἀποπίπτοιεν τοῦ προσήκοντος. διὰ γὰρ τῆς τῶν προειρημένων πατέρων διδασκαλίας οἱ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ αἱρετῶν καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων τὸν βίον μεταῤ- ῥυθμίζουσι πρὸς τὸ βέλτιον καὶ τῷ τῆς ἀγνοίας οὐχ ἁλίσκονται πάθει, ἀλλὰ προσέχοντες τῇ διδασκαλίᾳ ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσι καὶ φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν τὴν σωτηρίαν αὐτοῖς ἐξεργάζονται». τούτων ἀναγνωσθέντων ἀπετρέψαμεν κατ᾽ αὐτοὺς καὶ ἡμεῖς καὶ οὐδὲν παρε- χωρήσαμεν λέγειν ἢ κινεῖν αὐτόν τι περὶ δογμάτων. μηδ᾽ οὕτω δὲ αὐτοῦ πειθο- μένου πρὸς τὸ προκείμενον ἐλθεῖν ⟨καὶ⟩ περὶ ὧν ἡ ἐξέτασις, προεκομίσθησαν ἐπὶ τοῦ μέσου ἃς ὁ Βαρλαὰμ φθάσας ἐποιήσατο ἀναφορὰς κατὰ τοῦ Παλαμᾶ καὶ ἀνεγνώσθησαν ἀκουόντων πάντων, ὁμοίως παρήχθησαν καὶ ἀνεγνώσθησαν καὶ ἀπό τῶν συγγραμμάτων αὐτοῦ ἐκεῖνα, ἐν οἷς ἔλεγε καὶ περὶ τοῦ ἀπροσίτου φωτὸς τῆς μεταμορφώσεως τοῦ δεσπότου σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν τῆς τοῦ φωτὸς τούτου θέας ἠξιωμένων προκρίτων μαθητῶν αὐτοῦ καὶ ἀπο- στόλων, λέξεσιν αὐταῖς τάδε· «τὸ ἐν Θαβωρίῳ λάμψαν φῶς οὐκ ἀπρόσιτον ἦν «οὐδὲ κατ᾽ ἀλήθειαν ὑπῆρχε φῶς θεότητος οὐδὲ ἀγγέλων ὅλως ἱερώτερον ἢ θειότε- «ρον, ἀλλὰ καὶ χεῖρον καὶ κατώτερον καὶ αὐτῆς τῆς ἡμετέρας νοήσεως· πάντα γὰρ τά τε νοήματα καὶ τὰ νοούμενα σεμνότερά ἐστι τοῦ φωτὸς ἐκείνου, ὡς τῇ ὄψει διὰ τοῦ ἀέρος προσπίπτοντος καὶ αἰσθητικῇ δυνάμει ὑποπίπτοντος καὶ αἰσθητὰ μόνα δεικνύντος τοῖς ὁρῶσιν, ὑλικοῦ τε ὄντος καὶ ἐσχηματισμένου καὶ ἐν τόπῳ καὶ ἐν χρόνῳ φαινομένου καὶ τὸν ἀέρα χρωματίζοντος καὶ νῦν μὲν συνισταμένου καὶ φαινο- μένου, νῦν δὲ διαλυομένου καὶ εἰς τὸ μὴ εἶναι χωροῦντος, ἅτε φανταστοῦ, μερι- στοῦ καὶ πεπερασμένου, δι᾽ ὃ καὶ ὁρώμενον ἦν ὑπὸ τῶν στέρησιν πασχόντων τῶν νοερῶν ἐνεργειῶν, μᾶλλον δὲ μηδέπω ταύτας ὅλως κτησαμένων καὶ ἔτι ἀκαθάρ- των ὄντων καὶ ἀτελῶν καὶ ἐπ᾽ αὐτῆς ἐκείνης τῆς ἐπὶ τοῦ ὄρους θέας, ὡς μηδέπω ἀξιωθέντων τῆς τῶν θεοειδῶν νοήσεως. ἀναγόμεθα δὲ ἀπὸ τοῦ τοιούτου φωτὸς ἐπὶ νοήματα καὶ θεωρήματα, ἃ κρείττω ἐστὶν ἀσυγκρίτως τοῦ φωτὸς ἐκείνου. τοιγαροῦν οἱ λέγοντες αὐτὸ ὑπὲρ νοῦν καὶ ἀληθινὸν καὶ ἀπρόσιτον καὶ τὰ τοιαῦτα πεπλανημένοι εἰσὶ καθάπαξ καὶ οὐδὲν τῶν φαινομένων καλῶν ὑψηλότερον εἰδότες, ἀσεβεῖς δὲ διὰ τοῦτο καὶ ὀλεθριώτατα δόγματα εἰς τὴν ἐκκλησίαν εἰσάγοντες».

ἔλεγέ τε ὁμοίως καὶ περὶ τῆς εὐχῆς τῆς Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με, καὶ περὶ αὐτῆς ἐπ' αὐτῶν τῶν λέξεων οὐτωσίν· «ἐγὼ πολλῶν ὄντων, ἅ τις ἂν ἔχοι δικαίως ἐγκαλεῖν τῷ τῆς τοιαύτης διδασκαλίας ὑφηγητῇ, οὐδενὸς ἔλαττον ἡγοῦμαι καὶ τοῦτο, ὅτι, τὰ τῶν χριστιανῶν ἐπιχειρῶν διὰ τῶν εἰσπνοῶν ἀνατρέπειν μυστήρια, συκοφαντεῖ καὶ τοὺς πατέρας, ὡς, ἅπερ νῦν αὐτὸς ἐκδιδάσκει, ταῦτα κἀκείνους φρονήσαντας πρότερον. ἐμβρό‹ν›τητε καὶ μιαρέ, τίς πώποτε ἐκείνων νῆψιν καὶ φυλακὴν καρδίας καὶ προσοχὴν τοιαύτην τερατείαν, ἣν σὺ παραδίδως, ὠνόμασεν; φασὶ δὲ τοῦτον νενομοθετηκέναι τοῖς μύσταις εὐχῇ χρῆσθαι διὰ παντὸς οὕτως ἐχούσῃ· Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με. κἀκ τούτου οὖν ἔστι συνιδεῖν, ὁποῖος ἦν ὁ τῶν εἰσπνοῶν εὑρετής· τὸ μὲν γὰρ πάτερ ἡμῶν, ᾧ διαφεróντως οἱ Βογόμιλοι χρῶνται, οὐ νομοθετεῖ· ‹ᾧετο› γὰρ οὕτω κατάδηλος ἔσεσθαι· οἷς δ' ὅμως ταύτῃ τῇ μικρᾷ εὐχῇ μόνῃ διὰ βίου προσανέχειν ὑποτίθεται, τούτοις τάς γε ἄλλας ἁπάσας εὐχὰς βαττολογίας καταλιμπάνει[ν] νομίζεσθαι, οἷς δ' αὖθις, πάντων χριστιανῶν ἐν ταύτῃ τῇ εὐχῇ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν καλούντων, οὗτος τὸ ὁ Θεὸς ἡμῶν εἰς τὸ υἱὲ Θεοῦ μετείληφε, τούτοις τὸ πᾶν τῆς ἑαυτοῦ κακοδοξίας ἡμῖν ἐξεκάλυψε. τῷ γὰρ τῶν Βογομίλων ἀκολούθως δόγματι μεταβάλλει καὶ οὗτος ἐν τῇ εἰρημένῃ εὐχῇ τὸ ὁ Θεὸς ἡμῶν εἰς τὸ υἱὲ Θεοῦ, ἐπεὶ ἄλλην γε αἰτίαν, δι' ἣν τὴν τοιαύτην πεποίηκε μεταβολήν, οὐκ ἂν εἰπεῖν τις ἔχοι». Ἐκρίθη τοίνυν καὶ ἀμφότερα ταῦτα, ἤγουν καὶ τὸ περὶ τοῦ ἀπροσίτου φωτὸς τῆς μεταμορφώσεως καὶ τὸ περὶ τῆς εὐχῆς, βλασφήμως καὶ κακοδόξως εἰρῆσθαι παρ' αὐτοῦ, ἀπελεγχθέντα διαφόροις καὶ γραφικαῖς ῥήσεσι τῶν θεοφόρων πατέρων, ἀναγνωσθεισῶν καὶ αὐτῶν ἐν ἐπηκόῳ, κἀντεῦθεν κατεψηφίσθη παρ' ἡμῶν κοινῇ καὶ συνοδικῇ ψήφῳ, καὶ οὐδὲ εἰς κατηγορίαν ὅλως ἐκρίθη δεκτός· φησὶ γὰρ καὶ ὁ τῆς ἐν Χαλκηδόνι τέταρτος κανὼν μετά τινα· «τοὺς ὑπό κατηγορίαν προλαβοῦσαν ὄντας μὴ πρότερον εἶναι «δεκτοὺς εἰς ἐπισκόπων κατηγορίαν ἢ ἑτέρων κληρικῶν, πρὶν ἂν ἀθῴους ἑαυτοὺς «τῶν ἐπαχθέντων αὐτοῖς ἀποδείξωσιν ἐγκλημάτων». πλατύτερον δὲ τὰ περὶ τούτου διέξεισιν ὁ τηνικαῦτα ἐκτεθεὶς ἐκκλησιαστικὸς τόμος, δι' οὗ καὶ ἐπιτίμιον ἀφορισμοῦ ἐπανετεινάμεθα καὶ ἀπηγορεύσαμεν δι' αὐτοῦ καὶ ἀπετρέψαμεν, ὥστε μηδένα ἐπ' ἀδείας λόγον ὅλως κινεῖν ὑποθέσεων τοιούτων καὶ νόθα παρεισάγειν εἰς τὴν ἐκκλησίαν Θεοῦ δόγματα ἢ καὶ δογματίζειν τολμᾶν, παρῃνέσαμεν δέ, ὡς εἰκός, καὶ τῷ Παλαμᾷ, ὥστε μηδέν τι περὶ τοιούτων ἢ γράφειν ἢ λέγειν, ἵνα μὴ θόρυβον ἐμποιῇ τῇ ἐκκλησίᾳ, μαθόντες δ' ἔπειτα, ὡς καὶ πάλιν τοῖς αὐτοῖς ἐπιχειρεῖ καὶ ὡς ἕνια τῶν τοῦ ἐκτεθέντος τόμου παρερμηνεύει παρὰ τὴν παράδοσιν

καὶ κοινὴν ἔννοιαν τῶν δογμάτων τῆς ἐκκλησίας Χριστοῦ, διεμηνυσάμεθα αὐτῷ πρὸς ἡμᾶς ἐπιστῆναι ἐπὶ τῷ μαθεῖν, εἰ ταῖς ἀληθείαις οὕτως ἔχει, ὃ δέ, οὐκ οἴδαμεν ὅπως πλὴν εἰ μὴ ἑαυτοῦ προκατεγνωκὼς ἦν, οὔτε ἦλθεν ὡς ἡμᾶς καὶ ἀπέδρα εἰς τὴν Ἡράκλειαν. καὶ πάλιν ἀπηγγέλη ἡμῖν τοῖς αὐτοῖς αὐτὸν κἀκεῖσε χρῆσθαι· ἐνεχθεὶς οὖν ἐκεῖθεν ἀπῃτήθη καὶ τοὺς λόγους ἐμφανίσαι, οὓς ἐξέθετο καταφρονήσας τοῦ ἀφορισμοῦ, καὶ ὁμολογίαν δοῦναι. πεποίηκε δὲ οὐδέτερον, ἀλλὰ καὶ τῶν προτέρων εἴχετο καὶ γράφων οὐκ ἔληγε· καὶ ἵνα τέλος ταῦτα λάβῃ ποτέ, δέον ἐκρίθη καὶ τῇ κρατίστῃ καὶ ἁγίᾳ μου δεσποίνῃ *) καὶ τοῖς φιλευσεβέσι καὶ φιλοθέοις ἄρχουσι κρατηθῆναι τοῦτον καὶ κωλυθῆναι ἐντεῦθεν τοῦ μὴ τοῖς πολλοῖς ἀναμίγνυσθαι, ἕως ἂν πληροφορίαν δῷ καὶ ἀπόδειξιν ἐναργῆ, ὡς ὀρθὸν ἔχει τὸ φρόνημα καὶ ὑποταγῇ καὶ οὐκέτι παρακούσῃ τῆς ἐκκλησίας ὑποτιθεμένης αὐτῷ τὰ σωτήρια.

Καλῶς δὲ ποιήσετε καὶ ὑμεῖς, εἰ γράψαντες αὐτῷ παραινετικῶς διεγείρητε πρὸς τοῦτο· ἐπειδὴ γὰρ ἐλαλήθησαν μὲν πρότερον περὶ αὐτοῦ ὅσα καὶ ἐλαλήθησαν, μήπω δὲ τούτων ἐξετασθέντων οὔτε τοῦ λέγειν οὔτε τοῦ γράφειν ἐπαύσατο καὶ μετὰ τὴν ἐπιτίμησιν, μικρὰ τοῦ ἀφορισμοῦ φροντίσας, ἐφωράθη δὲ ἔπειτα καί τινα τοῦ τόμου παρερμηνεύων καὶ λέγων καὶ γράφων παρὰ τὰς θεσπισθείσας, ὡς εἴρηται, τῶν ἁγίων παραδόσεις τε καὶ φωνάς· πῶς ἔχει λόγον ἀσφαλείας καὶ πληροφορίας χωρὶς δεχθῆναι παρὰ τῆς ἐκκλησίας; δεινὸν γὰρ καὶ δεινοῦ πέρα, μάλιστα εἰ αἰτιώτατος ἄλλοις παραχωρηθείη γενέσθαι ψυχικοῦ κινδύνου, ὅπερ καὶ ὑμεῖς καὶ πᾶς τις ἄλλος εὖ φρονῶν οὐκ ἄλλως ἐρεῖ. ἡ χάρις τοῦ Θεοῦ εἴη μετὰ πάντων ὑμῶν. μηνὶ νοεμβρίῳ, ἰνδικτιῶνος ιγ΄.

(Cp. Miklosich et Müller, Acta Patriarch. Constant. I, стр. 238—242).

№ 32.

+ Ἐπειδὴ ἀπηλέγχθη ὁ μοναχὸς Βαρλαὰμ ἐπὶ τῆς συγκροτηθείσης ἱερᾶς καὶ θείας συνόδου χάριν τῶν λαληθέντων παρ' αὐτοῦ κατὰ τῶν ἱερῶς ἡσυχαζόντων, βλάσφημα λαλῶν καὶ ἄντικρυς ἐναντία τοῖς θείοις τῶν πατέρων λόγοις, καὶ διὰ τοῦτο κρίνει ἀναγκαῖον ἡ μετριότης ἡμῶν, ἵνα περισυναχθῶσιν, ὁπουδήποτε εὑρίσκονται, συγγράμματα τούτου περὶ τῆς τοιαύτης ὑποθέσεως· ἀπολύουσα τὸ παρὸν γράμμα παρακελεύεται διὰ τούτου τοῖς τε ἐν ταῖς σεβασμίαις μοναῖς μοναχοῖς καὶ τοῖς οἰκήτορσι τῆς βασιλίδος ταύτης τῶν πόλεων, ἵνα, ὅστις ἔχει

*) Анна, супруга Андроника Младшаго.

σύγγραμμά τι τοῦ τοιούτου μοναχοῦ περὶ τῆς τοιαύτης ἢ περὶ ἄλλης ἐκκλησιαστικῆς ὑποθέσεως, μηδὲν ἔχῃ τοῦτο παρ' ἑαυτῷ ἀπὸ τοῦ νῦν, ἀλλὰ ἐνέγκῃ τοῦτο εἰς τὴν ἡμῶν μετρίοτητα. ὁθεν καὶ οὐδεὶς ὀφειλει ἀπὸ τούτων συσχεῖν καὶ ἔχειν παρ' ἑαυτῷ τοιοῦτόν τι σύγγραμμα, εἴτε πολὺ εἴτε ὀλίγον, τοῦ δηλωθέντος μοναχοῦ Βαρλαάμ, εἰδότες, ὡς ὁ μὴ φανερὸν ποιήσας καὶ ἐνεγκών, ὅπερ, ὡς εἴρηται, ὑπὸ ἀφορισμὸν ποιήσεται ἑαυτόν, ὃν ἐκφωνεῖ ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος, ἀπολυθέντος εἰς ἀσφάλειαν τοῦ μὴ περιπεσεῖν τινα τῷ ἐκ τοῦ εἰρημένου βάρους κρίματι. αὐτὰ δὲ ταῦτα παρεκελεύεται ἡ μετριότης ἡμῶν καὶ πρὸς τοὺς οἰκήτορας τῶν ὁπουδήποτε λοιπῶν πόλεων, τούς τε μοναχοὺς καὶ τοὺς κοσμικούς, ἵνα καὶ αὐτοί, ὑφορώμενοι τὸ ἐκ τοῦ ἀφορισμοῦ κατάκριμα, ἐμφανίσωσι πρὸς τὸ μέρος τῶν ὁπουδήποτε ἐκκλησιῶν, εἴ τι ἔχει ἕκαστος σύγγραμμα τοῦ εἰρημένου μοναχοῦ, ὡς εἴρηται, ὥστε δημοσίᾳ ἀφανισθῆναι αὐτό +.

(Тамъ-же, стр. 201—202).

№ 33.

... Ἀκηκόαμεν ἐξενηνέχθαι βιβλίον κατὰ Λατίνων τῷ καλῷ τά τε ἄλλα καὶ περὶ τοὺς λογους καὶ τούτων μάλιστα κορυφαῖον εἶδος Καλαβρῷ Βαρλαάμ, καὶ δι' ἐφέσεως ἦν ἡμῖν ἐντυχεῖν τῷ βιβλίῳ· τῆτες τοίνυν κατὰ τὴν ἑορτὴν Πεντηκοστὴν ἥκει τις ἡμῖν τὸ ποθούμενον φέρων ...

Μηδὲν ἄτοπον εἶναι, εἰ τίς δύο μὲν ἀρχὰς λέγει, τὸν Πατέρα δηλονότι καὶ τὸν Υἱόν, μὴ μέντοι γε ἀντιδιῃρημένας μηδὲ ἀντιθέτους ἀλλήλαις, ἀλλὰ τὴν ἑτέραν ὑπὸ τὴν ἑτέραν ἢ ἐκ τῆς ἑτέρας. Προιὼν δὲ ἐπιβεβαιοῖ μηδαμόθεν ἔχειν τὸ ἄτοπον τὴν δοξαν ταύτην, μάρτυρα προάγων τὸν ἐν θεολογίᾳ πολὺν Γρηγόριον λέγοντα περὶ τοῦ Υἱοῦ· ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, καὶ αὐτὸς δ' οἰκαθεν ἀποδεικνὺς τὸ τῆς δοξης ταύτης ἀσφαλὲς προσκατασκευάζει λέγων· σώζεται γὰρ οὕτω τὸ τῆς μοναρχίας δόγμα ... κ. τ. λ.

Ἡ δημιουργικὴ ἀρχὴ μία ἐστίν, ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ὅταν οὖν ἐκ τοῦ Θεοῦ τὰ ἐκ τοῦ μὴ ὄντος προηγμένα λέγωμεν, τήν τε ἀγαθότητα, δι' ἣν τὸ εἶναι ἔχον, καὶ τὴν ἐγγεγενημένην χάριν, ὁθεν ἕκαστον τοῦ εὖ εἶναι καταλλήλως μετεσχήκασι, καὶ τὴν ἐπιγεγενημένην ὕστερον, δι' ἣν πρὸς τὸ εὖ εἶναι τὰ διαπεπτωκότα ἐπανῆλθον, ὅταν ταῦτα τε καὶ περὶ τούτων ποιώμεθα τοὺς λόγους, ἀρχὴν καὶ πηγὴν καὶ αἴτιον καὶ τὸν Υἱὸν ἐν ἁγίῳ Πνεύματι φαμέν, οὐχ ἑτέραν· ἄπαγε· ἀλλὰ τὴν αὐτήν, ὡς τοῦ Πατρὸς δι' αὐτοῦ ἐν ἁγίῳ

Πνεύματι καὶ προάγοντος καὶ ἐπανάγοντος καὶ συνέχοντος καλῶς τὰ πάντα. Ὁ δὲ Πατὴρ πρὸς τῷ πηγὴ τῶν πάντων εἶναι διὰ τοῦ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι καὶ πηγὴ καὶ ἀρχή ἐστι θεότητος, θεογόνος ὢν μονώτατος.

Ὅταν οὖν ἀκούσῃ, ὅτι ὁ Υἱὸς ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, καὶ ὁ καλὼν αὐτὸν ἀπὸ γενεῶν ἀρχὴν καὶ μετά σου ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, τῶν δημιουργημάτων νόει, καθάπερ καὶ Ἰωάννης ἀριδήλως ἐν τῇ ἀποκαλύψει περὶ αὐτοῦ βοᾷ· ἡ ἀρχὴ τῶν κτισμάτων τοῦ Θεοῦ, οὐχ ὡς κατ-αρχή· ἄπαγε, Θεὸς γάρ· ἀλλ' ὡς δημιουργὸς αὐτῶν, κοινωνὸς γάρ ἐστι τῆς, ἐξ ἧς ταῦτα, πατρικῆς ἀρχῆς... Τοῦ δὲ Πνεύματος τὸν Υἱὸν ἀρχὴν ἐπὶ τῆς σημασίας ταύτης περὶ ἂν φαίη τις, εἰ μὴ καὶ τὸ Πνεῦμα δοῦλον ἢ κτιστόν; Ἀλλ' ἐπεὶ Θεὸς τὸ πνεῦμα, οὐκ ἀρχὴ αὐτοῦ κατὰ τοῦτο ὁ Υἱός· εἰ μὴ ἄρα ὡς θεότητος ἀρχή. Εἰ δὲ τῆς τοῦ ἁγίου Πνεύματος θεότητος ὁ Υἱός ἐστιν ἀρχή, κοινωνεῖν δὲ κατ' αὐτὴν τῷ Πατρὶ ἀμήχανον· μόνος γὰρ τεθεολόγηται πηγαία θεότης ὁ Πατήρ· ἑτέρας ἄρα διαφόρου τινὸς θεότητος ὁ Υἱός ἐστι ἀρχή, καὶ διέσπασε τὸ Πνεῦμα τῆς πηγαζούσης ἐκ τοῦ Πατρὸς θεότητος· ἢ δύο διαφόρους θεότητας δώσομεν τούτῳ τῷ ἑνὶ ἢ καὶ τοῖς τρισὶ μίαν ἀνομολογοῦντες θεότητα. Πῶς δὲ καὶ αἱ δύο κατὰ Λατίνους τοῦ ἑνὸς Πνεύματος ἀρχαὶ μία ἐστὶν ἀρχή; οὐ γὰρ ἀξιώσουσιν ἡμᾶς πίστει δέχεσθαι τούτων τὰ προβλήματα, ἀλλὰ μηδὲ σοφιστικῶς ἀποκρινέσθωσαν, ἄλλην ἀντ' ἄλλης ποιούμενοι τὴν ἀπόκρισιν. Ἡμῶν γὰρ ἐρωτώντων, πῶς δύο κατ' αὐτοὺς τοῦ ἑνὸς Πνεύματος ἀρχαί, μίαν ἐκεῖνοι διισχυρίζονται τῶν δύο εἶναι τὴν ἀρχήν· ἡμεῖς δὲ οὐ περὶ τῶν δύο προσώπων ἐρωτῶμεν, ἀλλὰ περὶ τοῦ ἑνός, καὶ περὶ τούτου μάλιστα πρὸς αὐτοὺς ποιοῦμεθα τὸν λόγον· ὡς ἐπὶ τῶν δύο μία ἡ ἀρχὴ καλῶς, πῶς τοῦ ἑνὸς ἔσονται ἀρχαί; καὶ πῶς αἱ δύο μία κατ' αὐτούς; Φασὶν οὖν, διότι ἡ μία ἐστὶν ἐκ τῆς ἑτέρας. Τί οὖν; ὁ Σὴθ ἐκ μιᾶς ἄρα γεγένηται ἀρχῆς, ὅτι Εὔυα ἦν ἐκ τοῦ Ἀδάμ, καὶ οὐ δύο εἰσὶ τούτου τοῦ ἑνὸς ἀρχαί, ὅτι μία ἐστὶν ἐκ τῆς ἑτέρας; Τί δὲ ἡ Εὔυα; οὐ δευτέρα ἀρχὴ τῶν ἐξ αὐτῆς, ὅτι καὶ αὐτὴ τὴν ἀρχὴν ἔσχεν ἐξ Ἀδάμ; καίτοι ἀμφοῖν τὸ γόνιμον αὐτοῖς, ἀλλὰ διάφορον καὶ ἐν διαφόροις ὑποστάσεσι· δι' ὅπερ οὐδὲ μία ἐστὶν αὕτη αἱ ἀρχαί, καίτοι ἡ μία ἐστὶν ἐκ τῆς ἑτέρας. Εἰ γοῦν ἐνταῦθα, οὐ εἰ καὶ μὴ ἕν, ὅμως ἐστι τὸ γόνιμον ἀμφοῖν, οὐκ ἔνι τοῦ ἑνὸς μίαν εἶναι τὴν ἀρχήν, πῶς ἐπὶ τῆς ἀνωτάτω Τριάδος αἱ δύο τοῦ ἑνὸς ἁγίου Πνεύματος μία εἰσὶν ἀρχαί, ἐν ᾗ οὐδαμῶς ἔστι κατὰ τὸ θεογόνον κοινωνία, μόνος γὰρ τεθεολόγηται θεότης θεογόνος ὁ Πατήρ;

Ἕλλησι μὲν πιθανολογία ἡ θεολογία, Δι' ὃ καὶ διαλεκτικὸς ἅπας ὁ δοκῶν αὐ-

τοῖς θεολογικὸς συλλογισμὸς ἐξ ἐνδόξων ἔνδοξος, ταὐτὸν δὲ εἰπεῖν, πιθανὸς ἐκ πιθανῶν· οὐδὲν γὰρ ἴσασι περὶ Θεοῦ βέβαιον οὐδ' ἀσφαλές, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν· ἡμεῖς δὲ οὐκ ἐξ ἐνδοξων ἐπὶ τὸ θεολογεῖν ὁρμώμεθα ἀρχῶν, ἀλλὰ μεταπείστως περὶ ταύτας ἔχομεν θεοδιδάκτους οὔσας. Πῶς οὖν οὐκ ἀποδεικτικόν, ἀλλὰ διαλεκτικὸν τὸν τοιοῦτον συλλογισμὸν ἐροῦμεν;

Ἂν δ' αὖθις λέγῃ τις· ἡ ἀπόδειξις ἐκ τῶν προτέρων, οὐδὲν δὲ πρότερον Θεοῦ· οὐ τὰ κατ' αὐτὸν ἐξετάζομεν, ὦ βέλτιστε, ἐροῦμεν πρὸς αὐτόν, ἀλλά τι τῶν περὶ αὐτόν· τὸ γὰρ εἷς καὶ τρία, καὶ τὸ ἐξ ἐκείνου μόνου, καὶ τὸ εἰς ἐκεῖνον, οὐ τὴν φύσιν δείκνυσιν, ἀλλὰ περὶ αὐτὴν δεικνύμενα. Οὐκοῦν οὐδέ τι τῶν διὰ ταῦτα προυπάρχειν ἀνάγκη τις τοῦ δεικνυμένου, καθάπερ οὐδ' αὐτὰ προυπάρχει τὰ περὶ Θεοῦ δεικνύμενα. Κἀκεῖνο γάρ, ὅ τι ποτ' ἂν ἦν, περὶ τὴν ἀπερινόητον ἐκείνην θεωρεῖται φύσιν· αἵ τε κοινότητες, αἵ τε ἰδιότητες, οἷον ἐκπόρευσις ἢ γέννησις, καὶ ταῦτ' οὐ θέσει, ἀλλὰ φύσει, πλοῦτός τε ἢ κίνησις ἢ τελειότης, ὥσπερ καὶ τῶν ἄκρων θεολόγων τις φησί· μονάδος μὲν κινηθείσης διὰ τὸ πλούσιον, δυάδος δὲ ὑπερβαθείσης διὰ τὴν ὕλην καὶ τὸ εἶδος, ἐξ ὧν τὰ σώματα, τριάδος δὲ ὁρισθείσης διὰ το τέλειον· οὐκ αἰτιολογία δὲ τοῦτο ἐστι θεότητος, ἀλλ' ἀποδειξις τῆς περὶ αὐτῆς δοξης εὐσεβοῦς.

Αὐτίκα Διονυσίου τοῦ μεγαλοφυεστάτου θεοφάντορος θεολογοῦντος, ὁτι μόνη πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ Πατήρ, καὶ ἔστι πηγαία θεότης ὁ Πατήρ, ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα τῆς θεογόνου θεότητος οἷον ἄνθη καὶ ὑπερούσια φῶτα, εἴ τις τὸ ὑπερούσιον πνεῦμα φύσει ἐρεῖ ἐκ τοῦ Θεοῦ, τὸ δὲ φύσει ὂν ἐκ τοῦ Θεοῦ πηγάζεσθαι ἐκ τοῦ Θεοῦ, τουτέστιν ἐκ τῆς πηγαίας θεότητος τὸ εἶναι ἔχειν, πηγαία δὲ θεότης μόνος ὁ Πατήρ, εἶτα συμπεραίνει, ὡς ἐκ μόνου τοῦ Πατρός ἐστι τὸ Πνεῦμα· τίς λόγος μὴ οὐκ εὐσεβῶς ἅμα καὶ ἀποδεικτικῶς καὶ ἀναμφιλέκτως ἔχειν οἴεσθαι τοῦτον τὸν συλλογισμόν; Οὐκ ἀληθεῖς εἰσιν αὗται αἱ προτάσεις; οὐ τὰ ἀντικείμενα αὐταῖς εἰσι ψευδῆ; οὐκ ἀεὶ ὡσαύτως ἔχουσιν αἱ πρῶται καὶ ἄμεσοι καὶ γνωριμώτεραι; κ. τ. λ.

№ 34.

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν Ακίνδυνον ἐπιστολὴ περὶ τῆς τοῦ Βαρλαὰμ ἐν τοῖς δογμασι διαφορᾶς.

Это письмо не велико, но очень темно. Выписываю изъ него кое-что.

...τῶν λόγων ἀναμνήσθητι τῶν ἐμῶν ...σαυτὸν ἀνακαθᾶραι σπεῦσον ἱλαστηρίοις τε εὐχαῖς καὶ περιῤῥαντηρίοις ὑγιαίνουσι λόγοις χρησάμενος...

Νῦν δ' οὐκ οἶδ' ὅ τι παθὼν τούς τε θεοφόρους πατέρας λελῃθότως διασίζει καὶ τοὺς κατὰ Σωκράτην τε καὶ Πλάτωνα θεόπτας καὶ πεφωτισμένους ἀναγράφει.

№ 35.

Nicephor. Gregor. lib. XV (vol. II), p. 780—781 ed. Bonn.—Ἐξ ὅτου γὰρ Ἄννα ἡ βασιλὶς τὴν ἑαυτῆς πρὸς Καντακουζηνὸν ἐξεπολέμωσε γνώμην, συνεργῷ τε ἅμα καὶ πιστοτάτῳ ἐκέχρητο τῷ πατριάρχῃ τούτῳ συμβούλῳ πρὸς ἃ πάντα κρύφα καὶ εἰς τοὐμφανὲς δρώμενα ἦν· καὶ νῦν μὲν αὐτῇ τῆς ἐκείνου γνώμης ὁλοσχερῶς ἐξήρτητο, νῦν δὲ τῆς ἑαυτῆς ἐξαρτώμενον εἶχεν ἐκεῖνον· καὶ συνελόντι φάναι, φρόνημα ἓν ἀμφοτέροις ἦν ἐν ἅπασι, τοῖς τε ἄλλοις δηλαδὴ καὶ οἷς ὁ Παλαμᾶς ἐδογμάτιζε καινοτέροις καὶ ἀήθεσι πάνυ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ. καὶ δεῖγμα τοῦ λόγου σαφὲς ἃ τοῖς τὸν ἡσύχιον ἐν Ἄθῳ τῷ ὄρει βίον ἀσκοῦσιν ἔπεμπεν αὐτῇ γράμματα ξύν γε τῷ πατριάρχῃ κατὰ τοῦ Παλαμᾶ· τά τε οἰκεῖα ταύτης φημὶ καὶ ὅσα ὁ ταύτης υἱὸς Ἰωάννης ὁ βασιλεὺς ὑπ' αὐτῆς προσταττόμενος ἔγραφεν· οἷς τά τε ἄλλα ἐνεγέγραπτο καὶ δὴ καὶ ὡς ἥκιστα χρῆναι νομίζειν, εἱρκταῖς καὶ φρουραῖς ἐνέχεσθαι Παλαμᾶν διά γε δὴ τὸ Καντακουζηνῷ τὴν γνώμην τίθεσθαι, ὅτι μὴ διὰ τὸ ξὺν οὐδενὶ κόσμῳ περιῒόντα θεοτήτων ἀκτίστων διδάσκειν ἀπειράκις ἀπείρων ἐσμόν, κατ' ἀλλήλων διϊσταμένων (εἶναι γὰρ φησὶ τὰς μὲν ὑπερκειμένας καὶ νοητάς, τὰς δ' ὑφειμένας καὶ ὁρατὰς) καὶ τοιαῦτα ἄττα βλασφημοῦντα συγχεῖν καὶ ταράττειν τὴν τοῦ Θεοῦ ἐκκλησίαν.

№ 36.

Συνοδικὸς τόμος (6855—1347 ἔτους) ἐπικυρῶν τὸν ἐπ' ἐλέγχῳ καὶ καταδίκῃ τῶν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δογμάτων πρότερον τόμον, καὶ σὺν Ἀκινδύνῳ πάλιν.....

Ὄντως οὐδεὶς οὕτως ἀρχιτέκτων <οὐδενὸς> τῶν ποικίλων ὡς ποριστὴς καὶ προστάτης παντοδαπῆς δυσσεβείας ὁ ἀντικείμενος. πάλαι μὲν γὰρ οὗτος, τοῦ Θεοῦ διιστὰς τὸ ἀνθρώπειον φῦλον, πληθὺν θεῶν φρονεῖν καὶ σέβειν ἀνέπειθεν, ὡς ἑνὸς

Θεοῦ μὴ δυναμένου σώζειν τὸ οὐράνιον καὶ ἐπίγειον καὶ παντοδαπὸν ζῶον τουτί, τὸν ἄνθρωπον· ἐπεὶ δ' ἐξηλέγχθη τὰ τῆς ἀπάτης, μόνου πάντων ἀναπεφηνότος Χριστοῦ Θεοῦ παντοδυνάμου καὶ παντοκράτορος, ὃς, οὐρανόθεν ἐνδημήσας τῇ γῇ καὶ καταβὰς αὖθις ἀπὸ ταύτης εἰς ᾅδου κἀκεῖθεν παλινδρομήσας καὶ εἰς οὐρανοὺς μετὰ τοῦ ἀνθρωπίνου προσλήμματος ἀναλύσας, πάντα, ὅσα ἐθέλησεν, ἐν πᾶσιν ἐποίησεν, ἑτέραν ὁ καθηγεμὼν τῆς ἀπάτης ἐτράπετο, καὶ ἀπωθεῖσθαι μὲν ὑποκρίνεται τὴν πολύθεον πλάνην, συνωθεῖν δὲ πλάττεται πάντας εἰς ἕνα Θεόν, ταῖς ἑκάστοτε τῶν κακοδόξων φωναῖς, ἀλλ' ὡς τοῦ ἑνὸς ὄντως ἀποστήσοι Θεοῦ. πείθειν γὰρ ἐγχειρεῖ ταῖς τῶν αἱρετικῶν σοφιστείαις, μὴ τρισυπόστατον εἶναι τοῦτον καὶ παντοδύναμον· τί διὰ τούτων κατασκευάζειν ἐθέλων; πολυθείαν ἅμα καὶ ἀθείαν, οὐ γὰρ πατρὸς ὁ υἱὸς οὐκ ἀληθὴς Θεός, ὃ τῆς Ἀρείου μανίας τὸ κράτιστον, πῶς Θεὸς ἀληθὴς ὁ πατήρ; πῶς δ' ἄκτιστος ἀληθῶς ὁ γεννήσας κτιστόν; πῶς δ' εἷς ἔσται Θεὸς ἐκ κτιστοῦ καὶ ἀκτίστου, τῶν πλεῖστον ἀλλήλων ἀφεστηκότων; πῶς δ' αὖθις ἔσται πατὴρ ὁ αὐτὸς ἑκάτερος ὤν; ὁ πάλιν ὑπῆρχε τῆς Σαβελλίου παραφορᾶς, ὑφ' ἑκατέρου γὰρ ἑκάτερον χωρήσει πρὸς τὸ μὴ ὄν. οὐκοῦν ἐξηλέγχθη κἀν τούτοις ὁ τῆς πλάνης προστάτης, ἐν τρισὶ προσώποις ἀκτίστοις ὑποστατικῶς διαφέρουσιν, ἕνα Θεὸν κηρυξάντων τῶν ἁγίων πατέρων καὶ σοφῶς ἀποσκευασαμένων ἐντεῦθεν καὶ τὴν σύγχυσιν καὶ τὴν σύνθεσιν. ἀλλὰ κἀν τούτοις οὕτως ἐξελεγχθείς, οὐκ ἠρεμεῖν εἰς τέλος ἔγνωκεν ὁ πρὸς ἀπάτην ἀμηχάνως εὐμήχανος οὐδ' ἐκστῆναι τῆς πρὸς ἀθείαν ἅμα καὶ πολυθείαν φερούσης τοὺς αὐτῷ πειθομένους ὑπέμεινεν, ἀλλὰ τῆς προτέρας ἐκείνης ἀπάτης μέρος μὲν ἀποστέρξαι πανούργως, ὡς λανθάνειν τοὺς πολλοὺς δύναιτο, μέρος δ' ἀπολαβών, ὡς δι' ἐκείνου μηδὲν ἧττον πρὸς τὸ βάραθρόν ἐστιν, οὓς ἐπισπᾷτο, πάλιν ὑποτίθεται λέγειν τοὺς ὑπηρετουμένους τῇ πλάνῃ, Θεὸν μὲν ἕνα δῆθεν καὶ τοῦτον τρισυπόστατον σέβειν, οὐ μὴν ὡς μιᾶς οὔσης τῶν τριῶν φύσεως, θελήσεως, δυνάμεως, ἐνεργείας, βασιλείας, σοφίας, ἀγαθότητος, ἀπειρίας, ἁπλότητος καὶ πάντων ὡς εἰπεῖν τῶν τῆς θεότητος αὐχημάτων, ἀλλ' ὡς τούτων ἁπασῶν ἓν οὐσῶν, οὐσίας μόνης, κτιστῶν δὲ τῶν παρὰ ταύτην ἁπάντων, εἰ γὰρ ἄκτιστός ἐστι, φασί, καὶ ἡ θεία θέλησις καὶ δύναμις καὶ ἐνέργεια, οὐδὲν τῆς ἀκτίστου οὐσίας διενηνόχασιν, εἰ δὲ διενηνόχασιν αὗται ἐκείνης ὁπωσοῦν, μία ἄκτιστος θεότης ἡ τούτων ὡς αἰτία τούτων ὑπερκειμένη οὐσία τοῦ Θεοῦ, αἱ δ' ἐξ ἐκείνης αὗται κἀκείνης ὁπωσοῦν διαφέρουσαι τοῖς τοῦ Θεοῦ κτίσμασίν εἰσιν ἐναρίθμιοι. ταῦτ' ἄρα καὶ τὴν λαμπρότητα τῆς θείας φύσεως, τὸ τοῦ μέλλοντος αἰῶνος φῶς, οὗ καὶ τὸ προοίμιον ἐν Θαβὼρ τοῖς ὀφθαλμοῖς ἑωράκασιν οἱ μαθηταί, νῦν μὲν οὐσίαν θείαν λέ-

γουσι τὰ Μασσαλιανῶν ἄντικρυς νοσοῦντες, νῦν δὲ εἰς κτίσμα κατασπῶσιν, ὡς οὐκ οὐσίαν θείαν, ἀλλ' ἐνέργειάν τε καὶ ἔλλαμψιν ὑπάρχον, τί διὰ τούτων κατασκευάζοντες καὶ τοὺς πειθομένους ἐνάγοντες φρονεῖν; ἀθείαν ἅμα καὶ πολυθεΐαν, τὰ ἐκ διαμέτρου κακὰ καὶ την κακίαν ὁμότιμα, τὴν μὲν ἐκ τοῦ κατατέμνειν εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν θεότητα, τὴν δὲ ἀθείαν οὐκ ἐντεῦθεν μόνον εἰσάγοντες, ἧς γὰρ οὐσίας ἡ δύναμις καὶ ἡ ἐνέργεια καὶ ἡ θέλησις καὶ ἡ ἔλλαμψις κτιστή, πῶς αὐτη ἄκτιστος; ἀλλὰ καὶ απὸ τοῦ τὴν διαφορὰν ἀνελεῖν τῆς θείας οὐσίας πρὸς τὴν θείαν ἐνέργειαν, ἑκατέρα γὰρ οὕτως ὑφ' ἑκατέρας κατὰ πᾶσαν ἀνάγκην ἐξωθουμένη χωρήσει πρὸς τὸ μὴ ὄν, καὶ δι' ἀλλήλων ἀμφότεραι, καὶ οὕτω συμβήσεται μηδεμίαν εἶναι θεότητα ἄκτιστον. τούτου δὴ τοῦ νεήλυδος Ἀρειανισμοῦ τε καὶ Σαβελλιανισμοῦ καὶ τῆς ἀθέου ταύτης καὶ πολυθέου συστολῆς τε καὶ κατατομῆς τῆς θεότητος ἀρχηγὸς καὶ προστάτης ὑπῆρξε πρῶτος ὁ Καλαβρὸς Βαρλαάμ, ὑποκρινόμενος δὲ τῷ ἐνιαίῳ συνηγορεῖν τῆς θεότητος, πολλοὺς ὑπηγάγετο καὶ τῶν ὡς ἀληθῶς ἕνα σεβόντων Θεὸν ἐν μιᾷ καὶ ὄντως ἀκτίστῳ θεότητι καὶ γλώττῃ καὶ γράμμασι κατατρέχων, ὡς ἄκτιστον εἶναι φρονούντων μετὰ τῆς ὑπὲρ πᾶσαν ἔκφανσιν οὐσίας καὶ τὴν τοῖς ἀξίοις ἐπιφαινομένην θείαν ἔλλαμψιν δύο θεότητας ἀκτίστους πρεσβεύειν ὑπερκειμένην καὶ ὑφειμένην, δυσσεβῶς κατηγόρει, κτιστὴν αὐτὸς καὶ ὄντως ὑφειμένην, ὡς κτιστὴν καὶ ὁρωμένην τοῖς κεχαριτωμένοις θείως ἀποφαινόμενος εἶναι, τὴν θείαν καὶ θεοποιὸν ἐνέργειαν καὶ χάριν καὶ ἔλλαμψιν, μάλιστα πάντων ἐν τούτοις καταφερόμενος, ὡς καὶ ὁ τόμος διαλαμβάνει τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Γρηγορίου τοῦ Παλαμᾶ, ὡς καὶ λόγοις καὶ γράμμασι τὴν αὐτοῦ τοιαύτην δυσσέβειαν ἀνατρέποντος. μετακαλεῖται τοίνυν πόρρωθεν οὗτος, συγκροτεῖται σύλλογος ἀρίστων, χεῖται πᾶσα ἡ πολις αὐτεπάγγελτος πρὸς τὴν ἀκρόασιν. βασιλέως τοίνυν ἐκείνου τοῦ ἀοιδίμου καὶ μακαρίτου καὶ τοῦ πατριάρχου προκαθημένων ἱεραρχῶν τε καὶ τῶν ἐν τέλει καὶ τῶν καθολικῶν κριτῶν τῆς τε συγκλήτου καὶ τῶν τοῦ κλήρου λογάδων παρακαθημένων αὐτοῖς καὶ τῶν ἄλλων ἁπάντων περιεστώτων, ἐξηλέγχθη ὁ Βαρλαὰμ παρὰ τοῦ εἰρημένου ἱερομονάχου κῦρ Γρηγορίου τοῦ Παλαμᾶ, παρῶν παρόντος, τἀναντία τοῖς ἱεροῖς τῶν πατέρων λόγοις καὶ τῇ κοινῇ τῶν χριστιανῶν εὐσεβείᾳ καὶ δοξάζων καὶ λέγων καὶ συγγραφόμενος, ἐν οἷς τοῦ τε Παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν κατηγόρει, καθάπερ ἐπὶ λέξεως ὁ προβὰς ἐπὶ τούτοις ἱερὸς τόμος διαλαμβάνει. καταψηφισθεὶς οὖν ὁ Βαρλαὰμ συνοδικῶς ἐπὶ τούτοις μετάνοιαν ἐπηγγείλατο, τὴν δ' ὑστεραίαν ᾤχετο φεύγων ἀδήλως, τὴν ᾄδου κυνῆν, ὅ φασιν, ὑποδύς. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ βασιλεὺς ἐκεῖνος, ὁ

παντὸς μᾶλλον ἐπὶ τῆς συνόδου παῤῥησιασάμενος καὶ κυρώσας τὸ εὐσεβές, ἀπολείπει τὸν βίον, κἀντεῦθεν οἱ τῆς τοῦ Βαρλαὰμ αἱρέσεως μαθηταὶ καὶ μάλιστα πάντων κατ' ἐκεῖνον ὑπ' ἐκείνου τὴν πονηρὰν πεπλασμένος πλάσιν Ἀκίνδυνος θορυβεῖν αὖθις ἄρχονται, κλέπτουσι τοὺς πολλοὺς πάλιν, ὡς μὲν τὴν Βαρλααμίτιδα πλάνην ἐπεκδικοῦντες, ἀναθέματι πυκνῷ καθυποβάλλοντες ἐκεῖνον καὶ μηδενὸς ἀναγκάζοντος. μανθάνει ταῦτα ὁ ἱερὸς Παλαμᾶς, ἐξελέγχει τὸν Ἀκίνδυνον οὐκ ὀλίγων ἀκροωμένων πολλάκις, ὡς καὶ μηδὲν αὐτὸν ἀντιλέγειν ἔχοντα οἰκειοχείρῳ γράμματι μαρτυρῆσαι τῷ Παλαμᾷ τὴν διὰ πάντων, ὧν λέγει τε καὶ γράφει, πρὸς τοὺς ἁγίους ἀκριβῆ συμφωνίαν, ὃ καὶ πάρεστι τοῖς βουλομένοις ὁρᾶν. ἀθετεῖ μετ' ὀλίγον καὶ τὴν αὐτόχειρα ταύτην ἑαυτοῦ γραφὴν καὶ ὑπογραφήν, καὶ πάλιν θορυβῶν περιήει, καὶ πάλιν σύνοδος ἱερὰ τῆς προτέρας ἐκείνης κατ' οὐδὲν μείων, τοῦ μὲν μακαρίτου βασιλέως αὐτῆς ἀπόντος, ἐπεὶ καὶ τῶν ἀνθρώπων ἀπῆν, ἀντ' ἐκείνου δὲ παρόντος καὶ προλάμποντος τῇ συνόδῳ καὶ γενναίως ἅμα καὶ θαυμασίως τὰς Ἀκινδύνου παρακεκινδυνευμένας ἐξελέγχοντος πλάνας τοῦ καὶ ζῶντος βασιλέως, κατὰ τὸ γεγραμμένον εἰπεῖν, εἰσάγοντος καὶ ἐξάγοντος τὸν Ἰσραὴλ καὶ τὰ Ῥωμαίων μεγαλοφυῶς διέποντος πράγματα, νῦν δὲ Θεοῦ χάριτι καὶ τὴν βασιλικὴν ἀξίαν ἐπ' εὐτυχίᾳ Ῥωμαίων περικειμένου καὶ συμβασιλεύοντος τῷ υἱῷ τοῦ τρισμακαρίτου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως. πάλιν οὖν ἀνάῤῥησις περιφανεστάτη καὶ ἐπ' αὐτῆς τῆς συνόδου τῆς τοῦ Παλαμᾶ καὶ τῶν αὐτῷ συναδόντων ἀσφαλοῦς εὐσεβείας τοῦ πρὸς αὐτοὺς ἀντιλέγοντος Ἀκινδύνου τελέως καταδίκη καθυποβληθέντος ὡς δυσσεβοῦς καὶ τῷ Βαρλαὰμ σαφῶς ὁμοφρονοῦντος δειχθέντος κἀντεῦθεν οὐ παρὰ τῆς δευτέρας ταύτης μόνης συνόδου καταψηφισθέντος, ἀλλὰ καὶ παρὰ τῆς προτέρας ἐκείνης· καθάπερ γὰρ ἡ καταψηφισαμένη τοῦ Ἀρείου σεπτοτάτη σύνοδος καὶ τοὺς ὕστερον ἀναφανέντας ὁμολόγους ἐκείνῳ συγκαταδικάζει πάντας, οὕτω καὶ ἡ τὸν Βαρλαὰμ καταδικάσασα ψῆφος τοὺς τὰ Βαρλαὰμ ὁτεδήποτε φρονοῦντάς τε καὶ φρονήσοντας καταδικάζει. μετὰ δὴ καὶ τὴν Ἀκινδύνου τοῦ Βαρλααμίτου πεφηνότος συνοδικὴν καταδίκην ὁ συνοδικὸς συνεγράφη τε καὶ ὑπεγράφη τόμος, συνεπτυγμένως μέν, πάντα δ' ὅμως διαλαμβάνων καὶ τὴν τοῦ Παλαμᾶ καὶ τῶν μοναχῶν εὐσέβειαν ὡς ἀσφαλῆ τε καὶ ὄντως κοινὴν τῶν χριστιανῶν εὐσέβειαν ἀνακηρύττων καὶ τοὺς ἐκ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου φενακιζομένους ἀπαλλάττων τῆς πλάνης, μεθ' ὃ φρικώδεις ἀραὶ καὶ δειναὶ ῥήξεις καὶ πέρα δεινῶν αὐτόν τε τὸν Βαρλαάμ, εἰ μὴ μετάμελον λάβοι, τῆς ἱερᾶς ἐκκλησίας ἀποκηρύττουσαί τε καὶ ἀπελαύνουσαι καὶ τοῦ Χριστοῦ σώματος ἀποτέμνουσαι καὶ διιστῶσαι

παντὸς τοῦ χριστωνύμου πληρώματος, πρὸς δὲ καὶ πάντας τοὺς ἀποτολμῶντας ἢ τολμήσοντας τῆς τοῦ Παλαμᾶ καὶ τῶν αὐτῷ συναδόντων μοναχῶν εὐσεβείας, ὡς ὁ Βαρλαάμ, κατατρέχειν. ἀλλὰ μετὰ τὴν καταγραφὴν καὶ ὑπογραφὴν τοῦ ὑπὲρ τῆς κοινῆς εὐσεβείας ἱεροῦ τούτου τόμου, ὃν καὶ ὁ τότε πατριάρχης πρὸ τῶν ἄλλων χερσὶν οἰκείαις ὑποσημηνάμενος διετέλεσεν, οὔπω δύο μῆνες ὅλοι παρῆλθον, καὶ στάσις καὶ σύγχυσις, φεῦ, ἡ πασῶν χαλεπωτάτη καταλαμβάνει τὴν Ῥωμαίων ἀρχὴν ὑπὸ βασκάνου καὶ πονηρᾶς καὶ φυλάρχου γνώμης τῶν τῆς συγκλήτου τινῶν ἐπιβεβουλευκότων καὶ δεινὰς πλασαμένων συκοφαντίας κατὰ τοῦ κοινῇ πάντων Ῥωμαίων ψήφῳ καὶ βασιλικῇ πρὸ τῶν ἄλλων γνώμῃ καὶ πρότερον καὶ μετὰ τὴν ἐκείνου μετάστασιν τὴν κοινὴν τῶν ῥωμαϊκῶν πραγμάτων ἐπιμέλειαν καὶ προστασίαν, ἅμα δὲ καὶ τὴν φυλακὴν τῶν τοῦ βασιλέως παίδων ἐπιτετραμμένου, ἅτε γνησιωτάτου καὶ ὁμοψύχου καὶ πιστοτάτου φίλου διὰ πλείστων καὶ καιρῶν καὶ πραγμάτων ἀναφανέντος, ὡς πάντες ἴσασιν· ὁ ἰσόψυχος ἀδελφός τε καὶ φίλος οὐτός ἐστι τοῦ μακαρίτου βασιλέως, νῦν δὲ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς κύριος Ἰωάννης Καντακουζηνός· ἐξάρχοντος τῆς παγγενοῦς ταύτης λύμης καὶ ταραχῆς καὶ τὴν τῆς θεοστεφοῦς βασιλίδος πρὸς ταῦτα κλέπτοντος καὶ παρεξάγοντος γνώμην τοῦ μάλιστα πάντων τὰ τοιαῦτα καταστέλλειν ὀφείλοντος πατριάρχου, δυσχεραίνει δικαίως ἐπὶ τούτοις ὁ ἱερὸς Παλαμᾶς, καὶ τῆς κατὰ τοῦ διὰ πάντων ἀρίστου παραλογωτάτης οὕτω συκοφαντίας οὐκ ἀνασχόμενος, ἅμα δὲ καὶ τὴν κοινὴν ἐντεῦθεν τοῦ Ῥωμαίων γένους πανωλεθρίαν συνετῶς προορώμενος, ἀπᾷδον ἡγεῖται μή, τό γε εἰς αὐτὸν ἥκον, ὅση δύναμις, ἀναχαιτίσαι παῤῥησιασάμενος τὰ τοιαῦτα δεινά, καὶ ἅπαξ τοίνυν καὶ δὶς καὶ πολλάκις καὶ ἰδίᾳ καὶ πολλῶν παρόντων καὶ μόνος καὶ μετ' εὐλαβῶν ἑτέρων νῦν μὲν ὑπὲρ τοῦ παραλογώτατα συκοφαντουμένου, νῦν δ' ὑπὲρ τοῦ χριστωνύμου γένους τὰ εἰκότα διαλεξάμενος, ὡς εἶδε τὸν πατριάρχην καὶ κατ' αὐτοῦ χωρήσαντα καὶ πρὸς αὐτὸν ἄγαν ἀπεχθῶς διακείμενον, ἅμα δὲ καὶ πλέον ἔχων ἀνύειν οὐδέν, ἀναχωρήσας τῆς πόλεως ἐπὶ τὰ πέριξ διέτριβεν· ὁ δὲ πατριάρχης μηδὲν ἕτερον ἔχων κατ' αὐτοῦ πρᾶξαι, τῷ Ἀκινδύνῳ μαινομένῳ μηδὲν ἧττον ἢ πρότερον κατὰ τῆς αὐτοῦ τε τοῦ Παλαμᾶ καὶ τῶν ἄλλων μοναχῶν, μᾶλλον δὲ τῆς κοινῆς εὐσεβείας ὁμιλῶν ἐωρᾶτο γνησίως καὶ παῤῥησίας οὐ μετρίας μεταδιδούς, εἶτα καὶ συνδιημερεύων καὶ συνδιανυκτερεύων καὶ συνηγορῶν τούτῳ καὶ συμπνέων αὐτῷ κατὰ πάντα καὶ μετ' αὐτοῦ καὶ δι' αὐτοῦ κατατρέχων ἀκρατῶς καὶ λόγοις καὶ γράμμασι τῶν πρὸ μικροῦ δικαιωθέντων ἐκείνων, μετ' οὐ πολὺ δὲ καὶ διώκτης μὲν τοῦ Παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν, μᾶλλον

δὲ τῆς κοινῆς χριστιανῶν εὐσεβείας φανερὸς γίνεται, βεβαιωτὴς δὲ καὶ προστάτης Ἀκινδύνου καὶ τῶν Ἀκινδύνου σαφής, ἐλάνθανε δὲ τήν τε θεοσεβεστάτην ἡμῶν κυρίαν καὶ δέσποιναν κυρὰν Ἄνναν τὴν Παλαιολογίναν καὶ ἡμᾶς αὐτοὺς ἐπὶ προφάσει τῶν ἀνωτέρω προειρημένων ὑποκρινόμενος κατατρέχειν τοῦ Παλαμᾶ. καὶ τίς τοὐντεῦθεν ἱκανῶς ἐξαρκέσει παραστῆσαι λόγος τὰς ἐπὶ πολλοὺς ἐνιαυτοὺς κατ' αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ μοναχῶν τυρευθεισας πολυτρόπους ἐπηρείας ἐνταῦθά τε καὶ κατὰ τὰς πόῤῥω πολεις καὶ μάλιστα τὴν Θεσσαλονίκην, ἐν ᾗ καὶ πρότερον ἔφθη φωραθέντα τὰ τῆς τοιαύτης δυσσεβείας αὐτῶν; ἐλάνθανε δ' ὅμως, ὡς ἔφημεν, τὰ τοιαῦτα κατ' αὐτῶν πράττων, μέχρις ὅτου, νομίσας ἤδη πανταχόθεν τὸ ἐνδόσιμον ἔχειν, ἐπεχείρησεν ἱερέα, κἀντεῦθεν καὶ πρόεδρον ἐκκλησίας καταστῆσαι τὸν τοῦ Βαρλαὰμ μύστην καὶ διάδοχον καὶ ὀπαδὸν Ἀκίνδυνον. ὡς οὖν ἤδη τοῖς ἱεροῖς διακόνοις ἐγκαταλέγειν ἕτοιμος ἦν τὸν καὶ τὸ σέβας ἀνίερον, συνεῖσα καὶ πρὸ τοῦ γενέσθαι τὴν ἄθεσμον ταύτην Ἀκινδύνου χειροτονίαν ἡ προῤῥηθεῖσα θεοσεβεστάτη βασιλὶς πέμψασα παραινεῖ τῷ ἱεράρχῃ καὶ τῆς ἀνιέρου ταύτης πράξεως ἀπάγειν λόγῳ καὶ πρὸς τὸ εἰκὸς ἐπανάγειν πειρᾶται τῶν θείων ἐκτραπόμενον νόμων, ὡς δ' ἐκεῖνος τὸν ἔξω τῆς εὐσεβείας Ἀκίνδυνον εἴσω τοῦ βήματος τῆς ἐκκλησίας φέρων ὤθησε βίᾳ καὶ τοῖς ἱεροῖς διακόνοις τὸν βέβηλον ἐγκατέμιξε παρὰ πάντα θεσμόν, καὶ ὁ θόρυβος εὐθὺς παρὰ τῶν εὐσεβούντων ἤρθη πολύς, χρῆται καὶ αὕτη λυσιτελῶς καὶ δικαίως τῇ ἐξουσίᾳ καὶ τὸν ἐν ἱερατείᾳ γενόμενον Ἀκίνδυνον ἐξωθεῖ τῆς ἱερᾶς ἐκκλησίας καὶ πολυειδέσιν αὐτόν τε καὶ τοὺς αὐτοῦ σπουδαστὰς περιβαλοῦσα ταῖς ἀτιμίαις, εἶθ', ὡς πάντολμον καὶ ἀλλόκοτον καὶ κατὰ τῆς ἱερωσύνης μᾶλλον ἢ πρὸς ἱερωσύνην χωρήσαντα, πληγῶν καὶ δεσμῶν καὶ καθειργμῶν δικαιοῖ, κἂν ἐκεῖνος τηνικαῦτα διέδρα, καθάπερ καὶ νῦν, χηραμοὺς ὑπογείους καὶ σήραγγας ὑποδύς. ἡ δέ, τοῦ τυραννοῦντος τῆς εὐσεβείας ἐντεῦθεν ἀμβλῦναι καὶ μετασκευάσαι νομίσασα τὴν ὁρμὴν πατριάρχου, ἀνασχέσθαι τούτου μακροθύμως διέγνω καὶ μὴ περαιτέρῳ προενεγκεῖν τηνικαῦτα τὸν ἔλεγχον. ἀλλ' ἐκεῖνος χείρων μᾶλλον ἑαυτοῦ γίνεται καὶ γράμμα, μᾶλλον δὲ γράμματα συντίθησι κατὰ τοῦ Παλαμᾶ καὶ τῶν μοναχῶν, μᾶλλον δὲ τῆς εὐσεβείας καὶ τῆς ἐκκλησίας αὐτῆς καὶ εἰς ἀνασκευὴν τοῦ συνοδικοῦ τόμου καὶ τῶν ὑπὲρ εὐσεβείας συνοδικῶν διαγνώσεών τε καὶ ἀποφάσεων· τοὺς δὲ κατὰ τῆς εὐσεβείας πάλιν αὐτοῦ πρὸς τοὺς ἐντυγχάνοντας λόγους καὶ τὰ διὰ πράξεως ἐκτελούμενα κατ' αὐτήν τε τὴν μεγαλόπολιν καὶ τὰς πόῤῥω ταύτης ἀπῳκισμένας τίς διαλήψεται λόγος; ἐλάνθανε δὲ καὶ τούτων τὰ πλείω ἡμᾶς αὐτούς τε, καθάπερ εἴρηται. . . . . ὡς δ' ἡ κατὰ Θεσσαλονίκην ἐκκλησία

χρείαν εἶχε προέδρου, ὃ δὲ τὴν δυσσέβειαν Ἀκίνδυνον ἄλλον ὑποψήφιον ἐποιήσατο· μαθοῦσα τοῦτο πάλιν ἡ τῆς εὐσεβείας, εἴπερ τις, προστάτης καὶ θεοσεβεστάτη βασιλίς, πάλιν ὀνειδίζει τὸν πατριάρχην καὶ παραινεῖ τῶν τοιούτων ἀποσχέσθαι τελέως, ὡς δυσσεβῶν συνοδικῶς ἀναπεφηνοτων. ὃ δὲ βιβλίον οἰκεῖον αὐτῇ προδείκνυσιν εἰς ἑαυτοῦ δικαίωσιν, ἐν ᾧ βιβλίῳ τὰ τῶν ἀντιθέτων τῇ εὐσεβείᾳ συγγράμματα καὶ ἡ τούτου πρὸς ταῦτα στοργὴ περιφανής ἐστιν ἄγαν. Ἀλλὰ τούτων ἐνταῦθα παρ' αὐτοῦ τελουμένων, οἱ παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Καντακουζηνοῦ ἐκτὸς τῆς μεγαλοπόλεως διατρίβοντες, ὅ τε ἁγιώτατος πατριάρχης Ἱεροσολύμων καὶ οἱ κατὰ τὰς οἰκείας εὑρισκόμενοι ἱερώτατοι μητροπολῖται καὶ ἐπίσκοποι, συνεληλυθότες καὶ σύνοδον ἱερὰν συγκροτήσαντες, καθαιρετικὸν τόμον τοῦ τοιαῦτα τολμῶντος συγγραψάμενοι, οὐ μόνον διὰ τὰς ἄλλας αὐτοῦ ἐκθέσμους καὶ κοινοβλαβεῖς πράξεις, ἀλλὰ καὶ διὰ τὴν πρὸς τὸν Ἀκίνδυνον κοινωνίαν καὶ συμφωνίαν καὶ διὰ τὸ ἀθετῆσαι τὰς ὑπὲρ εὐσεβείας συνοδικὰς διαγνώσεις καὶ ἀποφάσεις καὶ χωρῆσαι μὲν κατὰ τῆς εὐσεβείας τῶν τότε δικαιωθέντων, ὡς συνηγόρων τῆς κατ' αὐτὴν ἀληθείας, ὁμοφρονῆσαι δὲ τοῖς μαθηταῖς καὶ διαδόχοις τῆς τοῦ Βαρλαὰμ ἐκείνου κακοδοξίας καὶ γυμνῇ τῇ κεφαλῇ γράφειν τε καὶ λέγειν χειροτονεῖν τε καὶ ψηφίζεσθαι καὶ τὴν πρὸς τοὺς φρονοῦντας τὰ τοῦ Βαρλαὰμ ὁμοφροσύνην ἐπιδείκνυσθαι φανερῶς καθαιρέσει τελείᾳ καθυποβαλλοῦσιν. ἀλλὰ καὶ οἱ κατὰ τὴν μεγαλόπολιν ταύτην ἐν τοῖς ἰδίοις κελλίοις σχολάζοντες ἱερώτατοι μητροπολῖται, ὁ Ἐφέσου, ὁ Κυζίκου, ὁ Ἀλανίας, ὁ Χριστουπόλεως, ὁ Ἄπρω, ὁ Λοπαδίου, γράψαντες πρὸς τὴν βασίλισσαν, τὸν αὐτὸν πατριάρχην κατάκριτον εἶναι καὶ μὴ ἔχειν αὐτὸν μοῖραν μετὰ τῶν εὐσεβῶν ἀπεφήναντο. ἡ μέντοι θεοστεφὴς καὶ κρατίστη βασιλίς, μετὰ τὸ καὶ τὰ τοιαῦτα τῶν ἱερωτάτων τούτων ἀρχιερέων δέξασθαι, πολλάκις ἡμᾶς συγκαλέσασα καὶ μετὰ τῆς συγκλήτου καὶ πολλῶν ἐλλογίμων τὰ περὶ τῶν θείων συνδιασκεψαμένη δογμάτων καὶ καταλαβοῦσα τὸν τὰς συνοδικὰς διαγνώσεις ὑπὲρ εὐσεβείας ἐμπεριέχοντα τόμον ἐγγράφως καὶ ἀγράφως ὑπὸ τοῦ πατριαρχεύοντος ἀνατρεπόμενον, οὐκέτι καθεκτῶς εἶχεν, ἀλλ' ἐνθέου πλησθεῖσα ζήλου τὴν κατὰ τῶν ἀθετούντων τὸν τόμον ἐκδίκησιν ἐπεζήτει καὶ τὴν αὐτοῦ τε καὶ τῆς κατ' αὐτὸν εὐσεβείας βεβαίωσιν· συγκαλεῖ τοίνυν ἡμᾶς ἐν τῷ θεοφρουρήτῳ παλατίῳ, ὁλόκληρον ὄντας σύνοδον, πρὸς δὲ καὶ τὸν τοῦ Ἁγίου ὄρους σεβασμιώτατον Πρῶτον μετὰ τῶν σὺν αὐτῷ γερόντων καὶ πολλοὺς τῶν κατα τὴν μεγαλόπολιν ταύτην ἐλλογίμους καὶ εὐλαβεῖς μοναχοὺς καὶ προκαθίσασα μετὰ τοῦ ἐρασμιωτάτου υἱοῦ αὐτῆς, τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασι-

λέως κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου, ἔτι δὲ μετὰ καὶ τῆς συγκλήτου πάσης καὶ τῶν τοῦ κλήρου λογάδων, ἀρχιμανδριτῶν τε καὶ ἡγουμένων οὐκ ὀλίγων, καὶ τῶν ἐκκρίτων τῆς πολιτείας, πρῶτον μὲν εἰς ἐπήκοον πάντων ἀναγνωσθῆναι τὸν συνοδικὸν τόμον διακελεύεται, εἶτα προτίθεται τὸ προρρηθὲν τοῦ πατριάρχου βιβλίον, ὅπερ αὐτός, ὡς εὐσεβῶς ἔχον, δι' ἀρχιερέων καὶ ἐκκλησιαστικῶν αὖθις προσώπων πρὸς τὴν κρατίστην ἡμῶν κυρίαν καὶ δέσποιναν ἔπεμψεν, ἐν ᾧ βιβλίῳ ἐν ὑποκρίσει καὶ προφάσει τοῦ ἐξηγεῖσθαι τὸν τόμον παρεξήγησιν αὐτοῦ καὶ ἀνατροπὴν καὶ κατάλυσιν παντελῆ συνεγράψατο, τὰ μὲν αὐτοῦ, καὶ ταῦτα τὰ καιριώτατα τῆς ὑποθέσεως, ἐκ τοῦ παρήκοντος γεγράφθαι λέγων, τὰ δὲ καὶ τελέως ἀναίδην ἀνασκευάζων, ἐν οἷς καὶ εἰς τὰς ἀιδίους καὶ θείας τοῦ Θεοῦ ἐνεργείας δῆλός ἐστι βλασφημῶν, ὄχλον θεοτήτων ταύτας ἀποκαλῶν καὶ πολυθέους εἶναι λέγων τοὺς ἀκτίστους εἶναι ταύτας διαβεβαιουμένους καὶ τιμῶντας ἔστιν ἃς τούτων τῇ τῆς θεότητος προσηγορίᾳ, ὥσπερ ἄν εἴ τις καὶ τὰ ἑπτὰ πνεύματα, δηλονότι τὰς ἑπτὰ τοῦ πνεύματος ἐνεργείας, ὄχλον πνευμάτων δυσσεβῶς προσηγόρευεν. ἀλλὰ καὶ κατὰ τῶν ἐπ εὐσεβείᾳ δεδικαιωμένων καὶ παρ' ἐκείνου τοῦ ἱεροῦ τόμου ἀνακηρυττομένων τε καὶ μαρτυρουμένων, τοῦ Παλαμᾶ δηλονότι.... μοσύνης καταδικασθῆναι λέγων τὸν Βαρλαὰμ καὶ κινεῖν πᾶσι προτρεπόμενος καὶ κατηγορεῖν, ἃ κἀκεῖνος κατὰ τῶν μοναχῶν ἐκίνησε, τούτων κατηγορῶν, μηδὲ τὴν τελευταίαν ἀπόφασιν τοῦ τόμου δυσωπηθείς, φανερῶς τοῦ τῶν ὀρθοδόξων πληρώματος ἀποτέμνουσαν, εἴ τίς τι τῶν ὑπὸ τοῦ Βαρλαὰμ λαληθέντων ἢ συγγραφέντων αὖθις ἐπὶ κατηγορίᾳ τούτων λέγει τε καὶ κινεῖ, ἀλλ' ὑποβάλλων, φεῦ, ἑαυτὸν καὶ τοὺς αὐτῷ πειθομένους οὕτω τοῖς συνοδικοῖς καὶ οἰκείοις ἀφορισμοῖς τε ⟨καὶ⟩ ἀναθέμασι. ἐν τούτῳ τῷ οἰκείῳ αὐτοῦ βιβλίῳ καὶ ἕτερα συγγράμματα εὕρηται κἀν τῇ συνόδῳ προτέθειται συγγραφέντα παρὰ τῶν ὁμοφρόνων αὐτῷ καὶ σπουδαστῶν τῆς αἱρέσεως, οὓς αὐτὸς πατέρας πνευματικοὺς καὶ προστάτας ψυχῶν καὶ διδασκάλους προεχειρίσατο τοῦ λαοῦ πάντως ὡς συμφώνους αὐτῷ, δι' ὧν συγγραμμάτων πᾶσαν σχεδὸν εὐσέβειαν καὶ πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους, ἐπὶ προφάσει τοῦ γράφειν κατὰ τοῦ Παλαμᾶ καὶ τῶν ὁμοφρόνων αὐτῷ πάντων, ἀποκηρύττει καὶ ἀναθεματίζει καὶ ἀποβάλλεται, γράφων ἐπὶ λέξεως οὕτω· «τοῖς ἀποτολμῶσι καὶ λέγουσι τὴν δόξαν τῆς θεότητος τοῦ Χριστοῦ ἑτέραν εἶναι παρὰ τὴν οὐσίαν τοῦ Θεοῦ ἀνάθεμα», καὶ πάλιν· «τοῖς ἀποτολμῶσι καὶ λέγουσι φῶς ἄκτιστον ἕτερον παρὰ τὴν οὐσίαν τοῦ Θεοῦ ἀνάθεμα», καὶ πάλιν· «τοῖς λέγουσι τὴν θείαν χάριν ἄκτιστον μὲν εἶναι, ἑτέραν δὲ παρὰ τὴν οὐσίαν τοῦ Θεοῦ ἀνάθεμα», καὶ πάλιν· «τοῖς λέγουσι θεότητα ἄκτιστον

σωματικοῖς ὀφθαλμοῖς ληπτὴν ἀνάθεμα», καὶ πάλιν· «μωροὶ καὶ τυφλοὶ οἱ διὰ τὴν μεταμόρφωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποτολμῶντες καὶ λέγοντες ἄκτιστον φῶς σωματικοῖς ὀφθαλμοῖς ὁρατόν». ἆρ' οὖν ὁ ταῦτα στέργων καὶ παρ' ἑαυτῷ, ὡς εὐσεβῆ, κατέχων καὶ τοῖς τὰ τοιαῦτα γράφουσι μὴ κοινωνῶν ἁπλῶς μονον, ἀλλὰ καὶ συλλειτουργῶν καὶ πατέρας πνευματικοὺς καὶ διδασκάλους τούτους προχειριζόμενος, μόνον οὗτος τὸν Παλαμᾶν ἀποκηρύττει καὶ ἀποβάλλεται ἢ τοὺς ἀπ' αἰῶνος ἁγίους, αὐτούς τε τοὺς ἐπὶ τῶν ἱερῶν ἐκείνων συνοδων συνειλεγμένους καὶ μάλιστα τὸν συνοδικόν τε καὶ ἁγιορειτικὸν τομον καὶ αὐτοὺς τοὺς συμψήφους φανερῶς ὀντας τῷ Παλαμᾷ κατ' εὐσέβειαν βασιλέας καὶ ἁπαξαπλῶς τοὺς εὐσεβεῖς ἅπαντας; ἐν τῷ τοιούτῳ τούτου βιβλίῳ καὶ συγγράμματα τοῦ Ἀκινδύνου ἐστιν, ἐν οἷς καὶ τὴν ἐν Θαβὼρ ἐωραμένην τοῖς ἀποστόλοις θείαν καὶ ἀπόῤῥητον φωτοφάνειαν οὐ μόνον κτιστὴν εἶναι φησίν, ἀλλὰ καὶ τῶν ἀγγέλων κατωτέραν, ὡς καὶ Βαρλαὰμ ἔλεγεν, ο δῆλον ἐποίησε καὶ δι' ὧν ὑπὲρ ἑαυτοῦ δῆθεν ἔγραψε πρὸς τὴν εἰρημένην ἡμῶν κυρίαν καὶ δέσποιναν, ὡς ὁρατὴν γενομένην ταύτην τὴν θεοφάνειαν ἀτιμοτέραν ὑποδεικνὺς ἀσωμάτου πάσης οὐσίας καὶ αὐτῶν τῶν ἀνθρωπίνων ψυχῶν. ὁ δὲ τῆς ἐκκλησίας λαχὼν προίστασθαι, φεῦ, οὐ τὰ τοιαῦτα μονον αὐτοῦ συγγράμματά τε καὶ δόγματα, ἀλλὰ καὶ δι' αὐτοχείρων αὐτοῦ τοῦ Ἀκινδύνου συγγραμμάτων κατέχων παρ' ἑαυτῷ τὰς δυσσεβείας αὐτοῦ, εἰς διάκονον τοῦτον ἐχειροτόνησε καὶ τοὺς μὲν παραδεχομένους αὐτόν, ὡς καλῶς αὐτὰ δογματίζοντα, ἀφώρισέ τε καὶ ἀπεκήρυξε, τίνα δὴ ταῦτα; ἵν' ἐξ ὀλίγων καὶ ἀπὸ τούτων ἀναφανῇ τὸ ἀσεβὲς καὶ ἀσύστατον τῶν Ἀκινδύνου καὶ τοῦ συμφωνοῦντος ἐκείνῳ πατριάρχου δογμάτων. οὐ δυνάμεθα, φησι, τὴν φυσικὴν τοῦ Θεοῦ ἐνέργειαν ἄλλο τι φρονῆσαι τῆς οὐσίας αὐτοῦ καὶ τῆς φύσεως, ἀλλ' οὐδὲ τῆς θείας οὐσίας ταύτης διαφέρον ὁπωσοῦν φῶς ἄκτιστον καὶ τῷ Θεῷ συναίδιον ἢ δοξαν ἢ χάριν ἢ ἔλλαμψιν. καὶ πάλιν· οὐδέν, ὁπερ εἰς ὁρασιν ἔρχεται καθ' ἑαυτὸ σωματικῶν ὀφθαλμῶν ὁπωσδήποτε, ἄκτιστόν ἐστι, κἂν Μωσῆς, κἂν Παῦλος ὁ εἰς τρίτον οὐρανὸν ἀνελθών, κἂν ἄγγελος ἢ ὁ τῆς θεωρίας ἁπτομενος. καὶ πάλιν· πῶς ἡ κτιστὴ φύσις ἄκτιστον ἐνέργειαν οψεται σωματικοῖς ὀφθαλμοῖς, κἂν ἰσάγγελος ἢ τις, κἂν ἄγγελος; καὶ πάλιν· εἴ τις τὸ ἐν Θαβωρίῳ λάμψαν ὑπέρλαμπρον φῶς διὰ τὸ εἰρῆσθαι θεοτητα παραδειχθεῖσαν τῷ θεολογῳ καὶ Ἰωάννῃ τῷ θείῳ Δαμασκηνῷ ἄκτιστον καὶ ἀιδιον, διὰ ταῦτα Θεὸν ὑπερούσιον αὐτὸ καλεῖ, ἕτερον δὲ τῆς θείας οὐσίας, οὐκ ἀσφαλῶς αὐτὸν ὑπολαμβάνω θεολογεῖν, καὶ γὰρ φῶς ἄκτιστον μὲν καὶ ἀιδιον καὶ προαιώνιον εἴρηται, ἕτερον δὲ παρὰ τὴν οὐσίαν τοῦ Θεοῦ οὐκ εἴρηται, οὐκοῦν οὐδὲ ἐγὼ τοῦτο λέγω, ἀλλ' ὁ διὰ τού-

των τὸ αὐτὸ φῶς καὶ οὐσίαν τοῦ Θεοῦ καὶ κτίσμα λέγων εἶναι δυσσεβῶς, μᾶλλον δὲ ἀσεβῶς καὶ ἀθέως· ἀκούσατε, τί φησιν αὖθις; ἐγὼ κακίζω καὶ τὸ ἄκτιστον καὶ τὸ κτιστὸν τῆς θεουργοῦ σοφίας καὶ χάριτος, οὔτε γὰρ ἡμῖν ἐνταῦθα τὴν ἀντίφασιν προσκυνητέον, ὥστ' εἰ θάτερον ὑπὸ ἀνάθεμα, καὶ τὸ ἕτερον οὐδὲν ἧττον. ἐν τούτοις τοῖς αὐτοχείροις αὐτοῦ γράμμασι καὶ τὰ περὶ τὸν Θεὸν οὐσιωδῶς θεωρούμενα, τὴν ἀγαθότητα, τὴν ζωήν, τὴν ἀθανασίαν, τὴν ἀτρεψίαν καὶ ὅσα παραπλήσια τούτοις, ἅπερ ὁ θεῖος Μάξιμος θεολογῶν φησὶν ὡς οὐκ ἦν ὅτε οὐκ ἦσαν, ὡς ἄναρχα καὶ ἀίδια, ταῦτα ὁ Ἀκίνδυνος κτίσματα εἶναι διατείνεται, ὡσαύτως καὶ τὰ παρὰ τῷ Ἡσαΐᾳ ἑπτὰ πνεύματα, περὶ ὧν φησὶν ὁ θεολόγος Γρηγόριος· «τὰς ἐνεργείας τοῦ πνεύματος πνεύματα φίλον τῷ Ἡσαΐᾳ καλεῖν» κτιστὰ εἶναι διισχυρίζεται, καὶ ὅσα δὴ ὁ Δαμασκηνὸς θεῖος Ἰωάννης τὸ ἐν τῇ μεταμορφώσει τοῦ σωτῆρος θειότατον ἐξυμνῶν συνεγράψατο φῶς, ὡς ἐγκωμιαστὴν τοῦτον ταῦτα συγγράψασθαι φησίν, ἀλλ' οὐ κατὰ ἀληθινὴν θεολογίαν, δι' ὃ δοκιμώτερον φησὶν εἶναι τὸ ὁμολογεῖν ἀγνοεῖν ταῦτα καὶ μὴ δέχεσθαι, ἵνα μὴ ἐκ τούτων εἰς διθείαν περιπέσωμεν, ἀναγκασθέντες δύο πρεσβεύειν θεοὺς καὶ θεότητας, διθείαν σαφῶς κατὰ τὸν Βαρλαὰμ ἀποκαλῶν τὸ μὴ μόνον τὴν πᾶσι παντάπασιν ἀόρατον οὐσίαν τοῦ Θεοῦ, ἀλλὰ καὶ τὴν ἐπιφαινομένην καὶ χορηγουμένην τοῖς ἁγίοις θείαν ἔλλαμψιν καὶ χάριν καὶ ἐνέργειαν λέγειν θεότητα ἄκτιστον. διὰ ταῦτα τοίνυν τὰ οὕτω δυσσεβῆ καὶ ἀλλόκοτα τοῦ Βαρλααμίτου Ἀκινδύνου καὶ τῶν οἷος αὐτὸς γράμματά τε καὶ δόγματα, ἅπερ ἐξηλέγχη, φρονῶν καὶ στέργων, καὶ πολυτρόπως ἔργοις τε καὶ λόγοις καὶ γράμμασι . . . . . .
. . . . . καὶ ἀκριβῆ καὶ προσήκουσαν τὴν περὶ τούτων σκέψιν τε καὶ ἐξέτασιν ποιησάμενοι καὶ συμψήφους ἔχοντες τὴν ἔνθεον καὶ νουνεχῆ ζῆλον ὑπὲρ τῆς εὐσεβείας ἐνδειξαμένην θεοστεφῆ βασιλίδα μετὰ τοῦ ἐρασμιωτάτου υἱοῦ αὐτῆς, τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου, ἔτι τε καὶ τὴν σύγκλητον πᾶσαν μετὰ τῶν τῆς πολιτείας ἐκκρίτων, ἀλλὰ δὴ καὶ τοὺς συνειλεγμένους ἑτέρους πάντας, ἐκκλησιαστικούς τε λογάδας καὶ τῶν εὐλαβεστάτων ἀρχιμανδριτῶν καὶ ἡγουμένων καὶ μοναχῶν καὶ λογίων ἀνδρῶν οὐκ ὀλίγους, αὐτὸν μὲν τοῦτον, ὡς μὴ ὤφελε, χρηματίσαντα πατριάρχην καὶ... βεβαιωτὴν τῶν εὐσεβῶν δογμάτων καταλύσαντα τόμον καὶ τοὺς μὲν ἐκκηρύκτους ἐγγράφως καὶ ἀποτετμημένους τῆς τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ἅτε δυσσεβεῖς συνοδικῶς ἀναπεφηνότας, Ἀκίνδυνον καὶ τοὺς κατ' αὐτὸν εἰς κοινωνίαν, οὐ μεταμελουμένους, μᾶλλον δὲ καὶ προστιθέντας τῇ δυσσεβείᾳ, προσ-

έμενον, τοὺς δ' ὑπεραγωνισαμένους τῆς κατ' εὐσέβειαν ἀληθείας καὶ συνοδικῶς ἐπὶ ταύτῃ δικαιωθέντας, τὸν εἰρημένον δηλονότι κῦρ Γρηγόριον τὸν Παλαμᾶν καὶ τοὺς οἷος αὐτός, παραλόγως τε καὶ ἀθέσμως ἀποβαλλόμενον ἀπογυμνοῦμεν πάσης ἱερατικῆς ἀξίας καὶ λειτουργίας καὶ καθαιρέσει διηνεκεῖ καθυποβάλλομεν. εἰ δὲ μὴ μεταμεληθείη καὶ τὰ πονηρὰ ταῦτα καὶ δυσσεβῆ καὶ ἀλλόκοτα δόγματα καὶ τοὺς τούτοις ἐμμένοντας γνησίως ἀποβάλλοιτο δι' οἰκείου λιβέλλου κατὰ τὴν πάλαι ἐπικρατοῦσαν ἐπὶ τοῖς τοιούτοις ἐκκλησιαστικὴν παράδοσιν, καὶ ἀναθέματι τοῦτον καθυποβάλλομεν, ὡς καὶ ὁ πρότερος συνοδικὸς διαλαμβάνει τόμος, ἀποκόπτων τελέως παντὸς τοῦ χριστιανικοῦ καὶ ὀρθοδόξου πληρώματος οὐ μόνον τὸν Βαρλαάμ, ἀλλὰ καὶ εἴ τις ἕτερος φανείη τι τῶν ὑπ' αὐτοῦ κατὰ τῶν μοναχῶν ῥηθέντων τούτων αὖθις κατηγορῶν ἢ ὅλως αὐτῶν ἐν τοῖς τοιούτοις καθαπτόμενος· αὐτὴν γὰρ ἐκείνην τὴν τοῦ τόμου καταδίκην ἐφ' ἑαυτὸν ἐπεσπάσατο. ἀκυροῦμεν δὲ καὶ ἀπρόσδεκτα πᾶσι τελέως ἀποφαινόμεθα τὰ παρ' αὐτοῦ τε καὶ παντὸς ἑτέρου κατὰ τοῦ Παλαμᾶ καὶ τῶν ὁμοφρονούντων αὐτῷ συντεθέντα οἱαδήποτε γράμματα, ὡς πάσης ὄντα διαβολῆς καὶ δυσσεβείας ἀνάμεστα καὶ κατὰ τῶν ἱερῶν θεολόγων καὶ τῆς εὐσεβείας καὶ τῆς ἐκκλησίας αὐτῆς μᾶλλον ἢ τούτων ἐκκείμενα. Ἀκίνδυνον δέ, ὡς κατὰ τῆς εὐσεβείας οὕτω μανέντα, καίτοι πρότερον συνοδικῶς, ὡς εἴρηται, καταδικασθέντα, καὶ ὡς ἕρμαιον ἁρπάσαντα τὴν ἐμφύλιον στάσιν καὶ ἀναίδην τῇ τοῦ καιροῦ χαλεπωτάτῃ συγχύσει καὶ μοχθηρίᾳ καὶ τῇ τοῦ χριστωνύμου γένους λύμῃ καταχρησάμενον καὶ μετὰ τὸν Βαρλαὰμ ἐκεῖνον κατ' ἐκεῖνον προφάσει τοῦ κατὰ τοῦ Παλαμᾶ χωρεῖν κατὰ τῶν ἀπ' αἰῶνος ἁγίων κεχωρηκότα καὶ τὴν τοῦ Χριστοῦ συνταράξαντα δεινῶς ἐκκλησίαν, ταῖς αὐταῖς φρικώδεσι καταδίκαις ὑπάγομεν καὶ πάσης ἱερατικῆς λειτουργίας ἀπηλλοτριωμένον ἔχομεν, ἔτι τε καὶ ἀποκήρυκτον αὐτὸν εἶναι ἀποφαινόμεθα καὶ ἀποτετμημένον τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, εἰ μὴ μεταμεληθείη, καὶ τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος. τοὺς δ' ὑπὸ τούτων συναρπαγέντας τε καὶ παρασυρέντας καὶ μὴ τῶν ἐξάρχων τῆς αἱρέσεως ὄντας, ἀμεταμελήτους μὲν μένοντας, τοῖς ὁμοίοις καθυποβάλλομεν, μεταμεληθέντας δὲ γνησίως καὶ ἀναθεματίζοντας τήν τε τοιαύτην κακοδοξίαν καὶ τοὺς ἐμμένοντας ταύτῃ, μὴ μόνον εἰς κοινωνίαν τὴν κατ' εὐσέβειαν, ἀλλὰ καὶ εἰς ἱερωσύνην ἀσμενέστατα προσιέμεθα, μηδαμῶς τούτους ὑποβιβάζοντες, κατὰ τὴν ἐπὶ τοῖς τοιούτοις διάγνωσιν καὶ ἀπόφασιν τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνοδου, διοριζομένης ὅτι «τοὺς μὲν πρωτάρχους καὶ προϊσταμένους καὶ τῆς δυσσεβείας ἐκδικητὰς οὐδὲ μεταμελομένους ὅλως εἰς ἱερωσύ-

νην παραδεχόμεθα, τοὺς δὲ βιασθέντας ἢ συναρπαγέντας τε καὶ παρασυρέντας, μεταμελομένους ἀληθῶς καὶ γνησίως, εἰς ἱερωσύνην κατὰ τὸν οἰκεῖον ἕκαστον προσδεχομεθα βαθμόν». ἀλλὰ καὶ εἴ τις ἕτερος τῶν ἁπάντων τὰ αὐτά ποτε φωραθείη ἢ φρονῶν ἢ λέγων ἢ συγγραφόμενος κατὰ τοῦ εἰρημένου τιμιωτάτου ἱερομονάχου κυροῦ Γρηγορίου τοῦ Παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν, μᾶλλον δὲ κατὰ τῶν ἱερῶν θεολόγων καὶ τῆς ἐκκλησίας αὐτῆς, τὰ αὐτὰ καὶ κατ' αὐτοῦ ψηφιζόμεθα, καὶ τῇ αὐτῇ καταδικῃ καθυποβάλλομεν, εἴτε τῶν ἱερωμένων εἴη τις, εἴτε τῶν λαϊκῶν. αὐτὸν δὲ τοῦτον τὸν πολλάκις ῥηθέντα τιμιώτατον ἱερομόναχον κῦρ Γρηγόριον τὸν Παλαμᾶν καὶ τοὺς αὐτῷ συνᾴδοντας μοναχοὺς μηδὲν ἀπᾴδον τῶν θείων λογίων γράφοντάς τε καὶ φρονοῦντας μετ' ἐξετάσεως καταλαβόντας ἀκριβῶς, μᾶλλον δὲ τῶν θείων λογίων καὶ τῆς κοινῆς ἡμῶν εὐσεβείας καὶ παραδόσεως πᾶσι τρόποις, ὡς προσῆκεν, ὑπερμαχοῦντας, οὐκ ἀνωτέρους μόνον παντάπασι τῶν κατ' αὐτῶν, μᾶλλον δὲ τῶν κατὰ τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐρεσχελιῶν, ὡς καὶ ὁ πρώην τόμος συνοδικός, ἔχομεν, ἀλλὰ καὶ ἀσφαλεστάτους τῆς ἐκκλησίας καὶ τῆς εὐσεβείας προμάχους καὶ προαγωνιστὰς καὶ βοηθοὺς ταύτης ἀποφαινόμεθα· οὕτω γὰρ καὶ ὁ ἐπὶ ταῖς συνόδοις ἐκείναις προβὰς τόμος ἔξει, καθάπερ οὖν ἔχει, τὸ ἀσφαλές τε καὶ βέβαιον. ταῦτα οὕτω συνοδικῶς ἡμῖν μετὰ τῆς ἐκ Θεοῦ βασιλείας ἐξετασθέντα καὶ διαγνωσθέντα καὶ κυρωθέντα τὸ ἀσφαλὲς ἐν πᾶσι καὶ βέβαιον ἕξει, σύμφωνα πάντως ὄντα τῇ τε ἀληθείᾳ καὶ τοῖς θείοις πατράσι πᾶσι καὶ ταῖς προγεγενημέναις τούτου χάριν ἱεραῖς καὶ θείαις συνόδοις καὶ τῷ ἐπ' αὐταῖς συνοδικῷ τόμῳ, ἀλλὰ δὴ καὶ ταῖς προρῥηθείσαις ψήφοις καὶ ἀποφάσεσι τῶν τε τῆς βασιλίδος ταύτης τῶν πόλεων ἐντὸς πρότερον σχολαζόντων καθ' ἑαυτοὺς ἱερωτάτων ἀρχιερέων καὶ τῶν ἐκτός, τὰ ὅμοια συνοδικῶς ἐγγράφως ἀποφηναμένων, καὶ ἡ ἔνθεσμος διὰ πάντων καὶ κανονικὴ αὕτη ψῆφος καὶ ἀπόφασις ἀκίνητος εἰς αἰῶνα Χριστοῦ χάριτι τὸν σύμπαντα διατηρηθήσεται, γραφεῖσα καὶ ὑπογραφεῖσα ἀρτίως, μηνί φευρουαρίῳ ἰνδ. ιε'.

+ Εἶχε καὶ ὑπογραφὰς τῶν ἱερωτάτων ἀρχιερέων ταύτας +.

+ Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλησπόντου Ἀθανάσιος +.

+ Ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφείας καὶ ὑπέρτιμος Μακάριος +.

+ Ὁ ταπεινὸς μητροπολίτης πάσης Ἀλανίας καὶ Σωτηριουπόλεως καὶ ὑπέρτιμος Λαυρέντιος +.

(Cp. **Miklosich et Müller, Acta Patr. Constantinopol., I, стр. 243—255).**

Митрополитъ Дидимотиха и всечестный Θеоктистъ.

Митрополитъ Меθимны и всечестный Малахія.

Митрополитъ Апрскій и всечестный Харигонъ.

Митрополитъ Мадитонскій и всечестный Исаакъ.

Митрополитъ Росіона и всечестный Θеодулъ.

Митрополитъ Варны и всечестный Меθодій.

Митрополитъ Силивріи и всечестный Исаія.

Митрополитъ Помпіуполя и всечестный Григорій.

Εἶχε καὶ ταῦτα·

Ἡ γενομένη συνοδικὴ ἀπόφασις πρὸ τοῦ γενέσθαι τὸν ἁγιώτατον ἡμῶν πατριάρχην κῦρ Ἰσίδωρον, παρουσίᾳ τῶν θειοτάτων καὶ ἁγίων ἡμῶν βασιλέων καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων.

Καὶ οἱ ὑπὲρ εὐσεβείας τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Γρηγορίου τοῦ Παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν προβάντες τόμοι εὐσεβεῖς τε καὶ ἄμεμπτοί εἰσι....

Αἱ ὑπογραφαι.

Λάζαρος ἐλέῳ Θεοῦ πατριάρχης Ἱεροσολύμων.

Ὁ Κυζίκου Ἀθανάσιος.

Ὁ Φιλαδελφίας Μακάριος.

Ὁ Αδριανουπόλεως Ἰωσήφ....,

тѣже, что и выше.

Ὁ Λοπαδίου Ἱερόθεος.

Ὁ Λιλίτζης(?) Κοσμᾶς.

Ὁ Καλλιουπόλεως Ἰωσήφ.

Ὁ Μάκρης καὶ ὑπέρτιμος Ἰακώβ.

Ὁ μητροπολίτης Ξανθείας Παῦλος.

На оборотѣ сего дѣянія:

Τὸν τοῦτον ἱερὸν καὶ συνοδικὸν τόμον στέργοντες ἐν πᾶσιν ἅμα τῷ προτέρῳ στηριζομένῳ καὶ παρὰ τούτου ταῖς οἰκείαις ὑπογραφαῖς σημειούμεθα, τοὺς μὲν παρ' αὐτῶν δικαιομένους στέργοντες καὶ αὐτοὶ καὶ δικαιοῦντες, τοὺς δὲ καταδικαζομένους Βαρλαὰμ καὶ Ακίνδυνον καὶ τὸν χρηματίσαντα πατριάρχην καὶ τοὺς τούτων ὁμόφρονας, ἀμεταμελήτους μένοντας, συγκαταδικάζοντες καὶ ἀποκηρύττοντες.

Митрополитъ Ираклійскій Филоѳей.

Θессалоникійскій Григорій.
Севастійскій Іаковъ.
Брусскій Іероѳей.
Траянупольскій Герасимъ.
Митилинскій Маркіанъ.
Митрополитъ Эносскій Даніилъ
Согдейскій Евсевій.
Витзинскій Кириллъ.
Готѳскій Петръ.
Гареллонскій Іоанникій.
Калліупольскій Іосифъ.

№ 37.

Cantacuzen. l. IV. (vol. III), pag. 173—174 ed. Bonn.

Ἔπειτα ἐπὶ τοὺς μοναχοὺς τραπόμενος, πολλὰ καὶ δεινὰ κατηγορεῖ [αὐτούς], οὐ μόνον Μασσαλιανοὺς καὶ περὶ τὰ ὀρθὰ δόγματα διεφθαρμένους λέγων, ἀλλὰ καὶ περὶ πότους καὶ οἰνοφλυγίας ἀκρατεῖς· «ἐσθίουσι γάρ», φησίν, «ὑπὲρ χοίρους, καὶ πίνουσιν ὑπὲρ ἐλέφαντας. ἐπειδὰν δ' ἀνανήψωσι τῆς πολλῆς μέθης, μυστήρια Θεοῦ εἰδέναι διατείνονται καὶ περὶ μελλόντων προφητεύουσι».

№ 38.

Βίος τοῦ ὁσίου Σάββα τοῦ νέου, τοῦ ἐν Ἄθῳ ἀσκήσαντος (по рукописи).

«Νὺξ ἦν. ἐμοὶ δὲ τῇ εὐχῇ φιλοπονώτερον προσκειμένῳ καὶ τὴν ὑπὲρ τούτου (о броженіи умовъ по случаю ереси Акиндина) δέησιν ἐκτενέστερον ἐπὶ πολὺ ποιουμένῳ, ὡς καὶ τὸ πλεῖστον αὐτῆς παρελθεῖν ἤδη, ὕπνος μὲν ἐπελθεῖν ἀμυδρῶς πως ἐδόκει, τὸ δ' οὐχ ὕπνος ἦν, ἀλλά τις ὡσανεὶ των σωματικῶν αἰσθήσεων νάρκη μέσον ἐγρηγόρσεως καὶ ὕπνου τὸν νοῦν πῶς ἱστᾶσα. Ναοῦ δέ τινος ἔνδον ἑστάναι νομίζων, μεγέθει δὲ μεγίστου καὶ περιφανοῦς ἄλλως, ἐώρων· καὶ ἰδοὺ χορός τις ἀρχιερέων λαμπρος, πάντων ἱερατικῶς ἐστολισμένων, τοῦ θείου ἐκείνου θυσιαστηρίου μετά τινος ἀξιώματος ὁμοῦ καὶ λαμπρᾶς τῆς πομπῆς ἐξήει. Τῶν δ' ἱερῶν ἐκείνων ἐξιόντες προθύρων, οὐ τὴν αὐτὴν ἦεσαν πάντες, ἀλλ' ἅμα

τῇ προόδῳ διχῇ καθάπερ τι ποτάμιον σχιζόμενοι ῥεῦμα, οἳ μὲν τὸν δεξιὸν χορὸν ἀνεπλήρουν· ἐξ αὐτῆς φημὶ τῆς ἱερᾶς παραστάδος στ... πρὸ τῶν θειων ἐκτυπωμάτων· μεγαλοπρεπῶς συνεστῶτες καὶ μέχρι ... τινός ἀλλήλοις ὥσπερ ἐν σειρᾷ χρυσῇ συνηρμοσμένοι καὶ συμπροιόντες, τοὺς δὲ θάτερον αὖθις εἶχε μέρος ἀπαραλλάκτως ἀλλήλοις συντεταγμένους τε καὶ ὥσπερ συμπεφυκότας καὶ τὴν στάσιν κατ' ἐκείνους πληροῦντας. Ἄῤῥητος μὲν οὖν αἰδὼς ἐπεκάθητο πᾶσι, καὶ... τινες ἦσαν καὶ πρὸς ἑαυτοὺς βλέποντες. Σιγῆς δέ τινος οὔσης, καθάπερ ἐν τελετῇ μυστηρίων, καὶ πάντων ἡμῶν αἰδοῖ τε καὶ φόβῳ τοῖς ὀφθαλμοῖς ἀτενὲς ἐνορώντων ἐκείνοις συμπαρῆσαν καὶ ἐξ ἡμῶν οὐκ ὀλίγοι. Ἕτερον αὖθις ὁρῶ μεμονωμένον ἐξιόντα τοῦ θυσιαστηρίου ἐκείνου. Τὴν τοῦ διακόνου τάξιν ἐῴκει μοι πληροῦν οὗτος, φαιδρόν τι μάλα καὶ αὐτὸς ἀπολάμπων τῇ τε στολῇ καὶ τῇ ὄψει καὶ διὰ πάντων ἄγγελος εἶναί τινων θαυμαστῶν προσταγμάτων ἐμφαίνων· ἐῴκει γὰρ καὶ βιβλίον ἐν χερσὶν ἔχειν καὶ πρὸς τὴν τῶν ἐγκειμένων ἀνάγνωσιν εὐτρεπὴς εἶναι· τοῦς γοῦν ἐφ' ἑκατέρᾳ παρισταμένους ἐκκλίνας οὗτος ἐξ ἴσου καὶ τὴν προκειμένην διιὼν εὐσχημόνως εὐθεῖαν ἐπ' ὀκρίβαντος ἄνεισιν αὐτίκα τοῦ ἱεροῦ διὰ τῶν βαθμίδων καὶ πάντων, ὡς εἰκός, ἑαυτοῦ καὶ ὄμμα καὶ νοῦν ἀναρτήσας πρὸς ἑαυτόν τε μικρόν τι πρότερον οἱονεὶ βλέψας, ὡς ἄν, οἶμαι, προσεκτικωτέρους μᾶλλον καὶ νήφοντας ἐργάσαιτο τοὺς ἀκροωμένους, ἔτι τῆς βαθείας ἐκείνης σιγῆς πᾶσιν ἐπιπρεπούσης, τὸ μετὰ χειρῶν ἀναπτύσσει βιβλίον. Ἀλλὰ προσέχειν ἀξιῶ καὶ ὑμᾶς αὐτος· αὐτὰς γὰρ ἐκείνας ἀπαραποιήτως τὰς τοῦ μεγάλου προθήσομαι ῥήσεις, ὧν αὐτήκοος ἐγενόμην. Τὸ γοῦν ἱερὸν φησὶν ὁ φοβερὸς ἐκεῖνος ἀνοίξας βιβλίον· ὦ τοῦ φρικωδεστάτου καὶ θεάματος καὶ ἀκούσματος· «Ἀκινδύνῳ», φησί, «τῷ λαλήσαντι βλάσφημα κατὰ τῆς Θεοῦ ἐκκλησίας, τῷ ἄλλῳ Ἰούδᾳ τῷ προδότῃ τῆς εὐσεβείας, τῷ ἄλλῳ Ἀρείῳ, τῷ σχίσαντι κατ' ἐκεῖνον τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, τῷ ἀποστάτῃ, τῷ τῆς ἀληθείας προδήλως ἐχθρῷ τε καὶ πολεμίῳ, ἀνάθεμα». Τούτοις ὁ λαμπρὸς ἐκεῖνος τῶν ἀρχιερέων χορός, τὴν σιγὴν εὐθὺς λύσας, σὺν ἅμα τῷ πλήθει παντὶ μέγα καὶ ἐξαίσιον τὰ αὐτὰ ἐπιβοᾷ· τῆς δὲ συμμιγοῦς ταύτης βοῆς εἰς ὕψος ἐξαιρομένης καὶ τὸ ἀνάθεμα πολλάκις λεγούσης, ἐπεὶ καὶ αὐτὸς ὥσπερ ὑπό τινος συνωθούμενος ἀοράτως ἀνάγκης τὰ αὐτὰ τοῖς ἄλλοις ἐβόων, εἰς ἐμαυτὸν αὖθις καὶ τὰς αἰσθήσεις οἷον ἐπάνειμι, τὸ φοβερὸν ἐκεῖνο τῆς ἀγγελικῆς ἀποφάσεως ῥῆμα στρέφων ἐπὶ τῆς γλώττης ἔτι, καίτοι γε τῆς θαυμαστῆς θεωρίας ἐκείνης ἐξ ὀφθαλμῶν ἤδη μοι γεγονυίας.

№ 39.

Ἐπεὶ δὲ εἰς μοναχοὺς ἐτέλεσα τὸν ἐλαφρότατον τοῦ Κυρίου βαστάξας ζυγόν, ἀπῆρα μὲν τῆς Θεσσαλονίκης, τὸ δὲ διδασκαλεῖον τῶν μοναχῶν τὸ τῆς ἀρετῆς ἐργαστήριον τὸν ἁγιώτατον Ἄθω καταλαμβάνω, τῇ τοῦ θανάτου μελέτῃ ἐκδοὺς ἐμαυτόν. Καὶ ἴσασι τὴν ἐμὴν πολιτείαν οἱ οὐρανομήκεις ἐκεῖνοι, παρ' οἷς ἐφοίτησα καὶ τὰ μοναχῶν ἐτελέσθην, ὡς οὐδενὸς τῶν ἐπὶ γῆς ἀγαθῶν ἐπιθύμησα .... Εἶχε μὲν ἐμὲ τὸ ἅγιον ὄρος, ἄφνω δὲ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ πόλεμος ἐρράγη βαρύτατος· ἴσασι πάντες τὴν ἀθεωτάτην τοῦ Καλαβροῦ Βαρλαὰμ αἵρεσιν, ἣν ἐκεῖνος μὲν ἐγέννησεν, Ἀκίνδυνος δὲ ἐθρέψατο κατὰ τοῦ ζῶντος Θεοῦ δεινότατα καὶ βουλευσάμενος καὶ διαπραξάμενος. Καλεῖται δὲ ὁ ἱερώτατος Θεσσαλονίκης παρὰ τοῦ τότε πατριαρχεύσαντος τὴν μεγάλην πόλιν καταλαβεῖν καὶ τῷ Βαρλαὰμ προσβαλεῖν καὶ εἰς λόγους ἐλθεῖν ἐκείνῳ περὶ ὧν καινοτομῶν ἦν καὶ κατὰ τῆς ἀληθείας μαινόμενος. Τῷ δὴ τοιούτῳ ἱερωτάτῳ Θεσσαλονίκης προμάχῳ τῆς εὐσεβείας καταστάντι παρὰ Θεοῦ σύμμαχον καὶ αὐτὸς ἐμαυτὸν παρέσχον· καὶ κοινῇ μετ' αὐτοῦ τε καὶ τῆς συνοδίας τῶν ἐμῶν ἀδελφῶν τῶν τε τῆς ὁδοιπορίας καμάτων ἠνεσχόμεθα καὶ κατὰ τὴν πόλιν γενόμενοι τόν τε ἀγῶνα τῆς δίκης διηγωνισάμεθα καὶ τὴν νικῶσαν ἐλάβομεν, Θεοῦ ταύτην βραβεύοντος καὶ βασιλέσιν δυσὶν καὶ τοῦ τότε πατριαρχοῦντος καὶ παντὸς τοῦ ἱεροῦ ἐκείνου πληρώματος (Manuscript. Vindobon. hist. gr. № 47, fol. 126).

№ 40.

Τόμος καθαιρετικὸς τοῦ χρηματίσαντος Ἐφέσου ὡς ἑτεροφρονήσαντος, διαλαμβάνων καὶ τὰ περὶ τῆς ἐκτροπῆς αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ.

Τοῖς ἐκεῖνα πράττειν ἠναγκασμένοις, ἃ πρὸ τῶν ἄλλων αὐτοῖς δὴ τοῖς πράττουσιν οὐ μετρίας αἴτια καθίστανται λύπης, τούτοις καὶ τὸ ἔργον οὐ μόνον ὀδυνηρόν τε καὶ βέβαιον, ἀλλά γε κατὰ πᾶσαν ἀνάγκην καὶ ἀνεμέσητον· τίς γὰρ ἂν τῶν εὖ φρονούντων καὶ ὀρθῶς κρίνειν εἰδότων ἐπενέγκαι τινὰ μέμψιν τοῖς μετ' ὀδύνης πρὸς τὴν πρᾶξιν καὶ παρὰ τὴν οἰκείαν προαίρεσιν ἐρχομένοις; Ἦν μὲν οὖν οὐδὲ ἡμῖν γε πρὸς βούλησιν οὐ μὲν οὖν οὐδὲ εἰς ἀποδοχὴν ὅλως τὰ τῆς παρούσης ἐργασίας· τοὐναντίον μὲν οὖν καὶ ἀβούλητα καὶ πολλὴν ἐμποιοῦντα τὴν καρδιακὴν ὀδύνην, ἐπ' ἀδελφοῖς πεπραγμένα, μεθ' ὧν χθὲς καὶ πρότριτα Θεῷ κοινῶς ἐτελοῦμεν τὰ μυστικὰ καὶ οὓς συνεῖναι ἀχωρίστως ἡμῖν τῶν

πάνυ τοι εὐκτῶν ἐτύγχανεν ὄν· ἐσχεδίασε δ' ὁμως ὁ καιρὸς καὶ τοῦτο, ὡς μὴ ὤφελεν, ὀδυνηρὸν μὲν ἡμῖν καὶ τῆς ἡμετέρας χωρὶς προαιρέσεως, ἀναγκαίως δέ, τοῦ σκληροῦ τῆς καρδίας αὐτῶν χάριν καὶ ἀνενδότου, ἀδελφῶν φανέντων, ἵνα καὶ μικρόν τι τῆς γραφῆς ὑπαλλάξωμεν, σκληροκαρδίων καὶ ἀπεριτμήτων τῇ καρδίᾳ. Καί, ἵνα εἰς ἀρχὴν τὸν λόγον ἀγάγωμεν, ἐγένετο περιόντος ἔτι τῷ βίῳ τοῦ ἀοιδίμου καὶ μακαρίτου βασιλέως ἡμῶν κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου ἐπεισφρῆσαι τῇ Ῥωμαίων τὸν ἐκ Καλαβρίας τὴν σειρὰν ἔχοντα τοῦ γένους μοναχὸν Βαρλαάμ, ὃς ὑπὸ τῆς ἀντικειμένης πάντως δυνάμεως ἐνεργούμενος τοῖς Θεῷ προσανέχουσι καὶ αὐτῷ τὸν βίον καθιερώσασι καὶ καθ' ἡσυχίαν βιοῦσι τιμιωτάτοις μοναχοῖς ἐτόλμησεν ἀπόφημά τινα προστρίψασθαι συκοφαντικῶς τῆς εὐσεβείας αὐτῶν καταπτόμενα, ταὐτὸ δ' εἰπεῖν, τῆς κοινῆς τῶν χριστιανῶν εὐσεβείας. Καί, ἵνα τὰ ἐν μέσῳ παρῶμεν, συνόδου μεγάλης συγκροτηθείσης ἐν τῷ περιωνύμῳ καὶ θείῳ ναῷ τῆς ἁγίας τοῦ Θεοῦ λόγου σοφίας, προκαθημένου καὶ αὐτοῦ τοῦ ἀοιδίμου καὶ μακαρίτου αὐτοκράτορος, ἀπηλέγχθη κακῶς καὶ βλασφήμως καὶ κακοδόξως ἐπιβάλλων καὶ λέγων καὶ συγγραφόμενος ὁ Βαρλαὰμ ἐν οἷς κατηγόρει τῶν μοναχῶν περί τε θείας ἁπάσης ἐλλάμψεως καὶ ἐνεργείας καὶ μάλιστα περὶ τοῦ θείου φωτὸς τῆς μεταμορφώσεως τοῦ δεσπότου καὶ σωτῆρος Χριστοῦ· ἐν τοῖς τοιούτοις γὰρ καὶ καθάπτεσθαι αὐτῶν ὁ μάταιος ᾤετο, διθείτας ἀφρόνως τούτους καλῶν καὶ διθείας αὐτοῖς ἐπιχειρῶν προστρίβεσθαι ἔγκλημα, ὡς μὴ μόνον κατ' οὐσίαν τὸν Θεὸν ἄκτιστον εἶναι διαβεβαιουμένοις τὴν ὑπὲρ πᾶσαν παντάπασι καὶ ὅρασιν καὶ κατάληψιν, ἀλλὰ καὶ κατὰ τὴν ἀπορρήτως ἐκφαινομένην ταύτην τοῖς ἁγίοις θείαν ἔλλαμψίν τε καὶ ἐνέργειαν, ἣ καὶ αὐτή, κατὰ τοὺς ἱεροὺς θεολόγους, θεότης ὀνομάζεται. Ἀλλὰ μετὰ τὴν ἐκείνου καταδίκην καὶ τὴν ὑπ' αἰσχύνης φυγὴν τῆς ἴσης αἱρέσεώς τε καὶ προαιρέσεως ὁ Ἀκίνδυνος ζηλωτὴς ἀναφαίνεται, κλέπτων μέντοι τοὺς πολλούς, ὡς ὑποκρινόμενος μὴ κατὰ πάντ' ἐκείνῳ συνάδειν. Καὶ δὴ συνόδου πάλιν μεγάλης συγκροτηθείσης ἐν τῷ αὐτῷ περιωνύμῳ ναῷ ἐξηλέγχθη καὶ οὗτος τὰ αὐτὰ τῷ Βαρλαὰμ βλασφημῶν εἰς τὸ θειότατον φῶς καὶ πᾶσαν θείαν ἔλλαμψιν καὶ ἐνέργειαν εἰς κτίσμα φρενοβλαβῶς κατ' ἐκεῖνον κατασπῶν καὶ τὰ αὐτὰ πάλιν τῶν θεοσεβῶν κατηγορῶν. Εἶτα μετὰ καὶ τὴν τούτου συνοδικὴν καταδίκην τόμον ὁ τότε πατριαρχεύων συνοδικὸν ἐκθέμενος μετὰ τῆς περὶ αὐτὸν ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων Βαρλαὰμ μὲν ἐκεῖνον καὶ τοὺς κατ' ἐκεῖνον φρονοῦντας, τὸν Ἀκίνδυνον δηλονότι τοῦτον καὶ εἴ τις ἄλλος τὰ αὐτὰ πάλιν τολμήσει τῶν μοναχῶν κατειπεῖν,

κατεδίκασεν ὡς κακοδοξοῦντας καὶ τῆς ἐκκλησίας ὡς μέλη σεσηπότα καὶ διεφθορότα τελέως ἀπέτεμεν, εἰ μὴ μετάμελον σχοῖεν, τοῖς δ' αὖ εἰρημένοις τιμιωτάτοις μοναχοῖς τὸ ἀκραιφνὲς καὶ ἀκίβδηλον τῆς εὐσεβείας διὰ τοῦ τόμου προσεμαρτύρησε καὶ ἅμα ὑπὸ ἐπιτίμιον ἀφορισμοῦ πεποίηκε δι' αὐτοῦ καὶ ἀποκεκομμένους εἶναι χριστιανῶν ἀπεφήνατο τοὺς τοῦ λοιποῦ τῶν μοναχῶν κατηγορῆσαι ταῦτα τολμήσοντας καὶ τῷ Βαρλαὰμ ἐπὶ τῇ κατηγορίᾳ τούτων ὁμοφρονήσοντας. Ἐπεὶ δὲ καὶ αὐτὸς οὗτος ἔπειτα ὁ τότε πατριαρχεύων, ὥσπερ ἐπιλελησμένος τῶν ἀποπεφασμένων, ἑτέραν ἐτράπετο καὶ ἀνεφάνη φρονήσας προδήλως τἀναντία τοῖς τότε διεγνωσμένοις ἔκ τε τῶν ἑαυτοῦ συγγραμμάτων καὶ ὧν διεπράξατο κατὰ διαφόρους καιρούς, προσθέμενος Ἀκινδύνῳ καὶ τοῖς ἄλλοις μαθηταῖς τῆς κακοδοξίας τοῦ Βαρλαάμ· καθηρέθη ψήφῳ καὶ διαγνώσει συνοδικῇ. Ἐπεὶ δὲ προεφασίζετο τὸ μὴ προσκληθῆναι μηδὲ παρεῖναι τῇ τοιαύτῃ συνόδῳ, συνόδου πάλιν ἀθροισθείσης ἐν τῷ θεοφρουρήτῳ παλατίῳ, παρουσίᾳ καὶ τῶν ἐκ Θεοῦ κρατίστων καὶ ἁγίων ἡμῶν αὐτοκρατόρων, διαμηνύεται οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς καὶ πολλάκις· ὁ δὲ ὑποπτήξας, ὡς αὐτοκατάκριτον ἔχων τὸ συνειδός, οὐκ ἠθέλησεν ἀπαντῆσαι. Δι' ὃ καὶ αὖθις τὴν αὐτὴν τῆς καταδίκης ἀπηνέγκατο ψῆφον, καὶ ἡ εὐθύνη διά τε τοῦ ἐσύστερον καὶ τοῦ πρότερον ἐκτεθέντος τόμου μία καὶ ἡ αὐτὴ ἀπεφάνθη τῆς καθαιρέσεως καὶ κατὰ τῶν ὁμοφρονησάντων ἐπ' ἐκείνοις αὐτῷ τῷ χρηματίσαντι πατριάρχῃ. Ἀνεφάνησαν μὲν οὖν ἐξ ἐκείνου διὰ ταῦτα καὶ οἱ ἀρχιερεῖς, ὅ τε Φιλίππων καὶ ὁ Γάνου, καφ' ἑαυτῶν τὴν ψῆφον ἐπισπασάμενοι, καὶ πολλάκις ἐπισπασάμενοι ταύτην, ἅτε συμφρονοῦντες ἀναφανέντες ἀμεταμελήτως τῇ τοῦ καθῃρημένου ἐκείνου κακοδοξίᾳ. Ἐπεὶ δὲ καὶ ψήφων ἐδέησε τῇ ἐκκλησίᾳ Θεοῦ πατριαρχικῶν, καὶ διωρίσατο, ὡς ἔθος, ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς κατὰ ταὐτὸ συνελθόντες πατριάρχην ψηφίσασθαι τοὺς ἀρχιερεῖς, τὰ ἑαυτῶν κἀνταῦθα πράττοντες πάλιν ἐφάνησαν οἱ προρρηθέντες λόγους τε προδήλως λέγοντες καὶ γράμματα προτείνοντες συνηγοροῦντα τοῖς τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δυσσεβέσι δόγμασιν. Ὁ δὲ τῆς Ἐφέσου πρόεδρος, μετὰ τῶν τὰ τοῦ Ἀκινδύνου φρονούντων ἐνωθεὶς καί τινας ἑτέρους ἀρχιερεῖς διαφθείρας καὶ προσεταιρισάμενος, συγχεῖν πολυειδῶς ἐπειρᾶτο τὰς ψήφους· καὶ δὴ συνθέσθαι μὲν οὗτος καὶ οἱ μετὰ τούτου ταῖς τῶν ἄλλων ἀπείπαντο γνώμαις, τῷ δὲ ἀθῴῳ τοῦ ψηφιζομένου ἀντιλέγειν οὐκ εἶχον, κακῶς μὲν καὶ ἀθέσμως καταψηφισθέντος πρότερον, ὡς συκοφαντικῶς ἀκρίτως τε προδήλως καὶ ἀναπολογήτως καὶ ἐλέγχῳ τῶν ἁπάντων οὐδενί, καλῶς δ' ἔπειτα καὶ κανονικῶς πολλάκις δικαιωθέντος ψήφοις συνοδικαῖς πρῶτον μὲν ἐν ταῖς

δυσὶ τῶν συγκροτηθεισῶν τριῶν συνοδων κατὰ το θεοφρούρητον παλάτιον, προκαθεζομένης ἐν τῇ προτέρᾳ καὶ τῆς θεοστεφοῦς βασιλίδος καὶ τοῦ ἐρασμιωτάτου υἱοῦ αὐτῆς καὶ ἁγίου βασιλέως ἡμῶν κυροῦ Ἰωάννου τοῦ Παλαιολογου, ἔπειτα καὶ ἐν τῇ γεγονυίᾳ ἐν τοῖς κατηχουμένοις τῆς μεγάλης ἐκκλησίας, παροντων καὶ προκαθεζομένων καὶ τῶν κρατίστων καὶ εὐσεβεστάτων ἡμῶν αὐτοκρατόρων, οἷς συμπαρῆν τε καὶ σύμψηφος ἦν καὶ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων τῆς ἁγίας Σιών. Ὅτε καὶ λαληθείσης πάλιν τῆς περὶ τῶν δογμάτων ὑποθέσεως καί, ὡς ἐχρῆν, ἀκριβῶς ἐξετασθεισης τῶν τε κατὰ τοῦ νῦν ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης, δηλονότι τοῦ Παλαμᾶ, δυσσεβῶν τε καὶ συκοφαντικῶν γραμμάτων εἰς ἐπήκοον πάντων ἀναγνωσθέντων καὶ παρ' αὐτοῦ παῤῥησίᾳ ἐξεληλεγμένων, ἀλλὰ καὶ τῶν ἀνωτέρῳ διαληφθέντων ἱερῶν τόμων εἰς ἐπήκοον πάντων ἀναγνωσθέντων καὶ ἔτι μάλιστα βεβαιωθέντων ὡς ὀρθῶν τε καὶ κατὰ πάντα ἀμέμπτων, οὗτοι μὴ μόνον οὐ συνέθεντο τῇ συνόδῳ, ἀλλὰ καὶ ἐπὶ πολλοῖς ἐλεγχθέντες καὶ καταισχυνθέντες, ἐπεὶ μηδ' οὕτω πειθηνίως καὶ συμφώνως ἔσχον, τῶν πατριαρχικῶν οὐκ εἰς μακρὰν ἐκτελουμένων ψήφων, ὡς φιλονείκως καὶ ἀμελήτως ἔχοντες καὶ τοὺς ὑπὲρ εὐσεβείας μὴ στέργοντ‹ε›ς συνοδικοὺς τόμους, ἅμα δὲ καὶ τὰς οἰκείας ὑπογραφὰς ἀνατρέποντες, ἐνθέσμως παρεωράθησαν. Εἰ γὰρ κατὰ τὸν ιθ' κανόνα τῆς ἐν Ἀντιοχείᾳ δευτέρας συνόδου, ἡνίκ' ἂν ἡ τῶν συνεληλυθότων διὰ τὰς ψήφους κατάστασις γίνηται, εἴπερ ἀντιλέγοιέν τινες δι' οἰκείαν φιλονεικίαν, δεῖ κρατεῖν τὴν τῶν πλειόνων ψῆφον, πόσῳ μᾶλλον εὐλογώτατά τε καὶ δικαιώτατα κρατήσει καὶ κυρωθήσεται, ἡνίκα οἱ ἀντιλέγοντες καὶ φιλονεικοῦντες καὶ πρὸς αὐτὴν τὴν συνοδικῶς πολλάκις τρανωθεῖσαν τῶν εὐσεβῶν δογμάτων ἀλήθειαν ἀντιλέγοντες φαίνονται; Διὰ ταῦτα μὲν οὖν κανονικῶς, ὡς ἔφημεν, ἀπωσάμεθα τούτους, ὁ λοιπὸς δηλονότι τῶν ἀρχιερέων χορός· συνελθόντες δὲ καὶ συμφωνήσαντες τάς τε πατριαρχικὰς ψήφους, εἶτα δὲ καὶ τὴν χειροτονίαν χάριτι καὶ συνεργείᾳ τοῦ ἁγίου πνεύματος ἐτελέσαμεν. Ἀλλ' οἱ κακῶς διαστάντες ἐκεῖνοι οὐδ' οὕτω καλὸν ἔκριναν μεταβαλεῖν καὶ τῷ κρείττονι προστεθῆναι μέρει ὑποκύψαι τε τῷ πατριάρχῃ καὶ παύσασθαι τῶν σχισμάτων, τῆς ἀρχῆθεν δὲ πονηρᾶς ἐνστάσεως ἀνενδότως ἐξεχόμενοι, παρασυναγωγαῖς ἔχαιρον οἰκείαις· ἀλλ' ἡμεῖς γε, τοῦτο μὲν ὑπερπονοῦντες τῷ μικρῷ προσθεν ἡμετέρων τούτων ἀδελφῶν καὶ συλλειτουργῶν, τοῦτο δὲ καὶ τὴν ἐκκλησιαστικὴν γαλήνην καὶ εἰρήνην πραγματευόμενοι, οὐδεμίαν ἐπεθήκαμεν αὐτοῖς ἀνάγκην, οὐδέ τι τούτους παραλυπῆσαι δεῖν ἔγνωμεν ὡς παρασυνάγοντας, πράως δὲ μᾶλλον καὶ ἀδελφικῶς ἐφέρομεν ἐπὶ τρισὶ μησὶν ἀνεχόμενοι ἃ κακῶς

αὐτοῖς καὶ ἀκανονίστως καθ' ἡμῶν εἴργασται. Ἀλλ' οἷον τὸ τῆς κακίας, καὶ εἰς ὅσον κακὸν ἐκφέρεται τὸ μηδαμῶς μετὰ νοῦ πραττόμενον· ἡμῶν γὰρ μηδὲ μετὰ τὴν ἐπὶ τοσοῦτο παράλογον αὐτῶν ἔνστασιν τὴν ἐκείνων διόρθωσιν ἀπεγνωκότων, ἀλλὰ καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις μηνύμασι συνοδικοῖς εἰς εἰρήνην τούτους καὶ ὁμόνοιαν προσκαλεσάμενοι, τολμῶσιν οὗτοι, τοῦ πρὸς αὐτοὺς ἡμετέρου ἐπιεικοῦς, ὡς ἔοικεν, εἰς τοῦτο ἐπάραντος, γράμμασιν ἀναισχυντίας καὶ ψεύδους γέμουσι χρήσασθαι καθ' ἡμῶν καὶ ταῦτα πρὸς ἡμᾶς πέμψαι. Καὶ οἱ καθ' ἑαυτῶν καὶ ἅπαξ καὶ δεύτερον τὴν τῆς καθαιρέσεως ἐπισπασάμενοι ψῆφον ἐνδίκως ἀπό τε τοῦ πρώτου καὶ δευτέρου τόμου καὶ ὑπὸ τῶν πολλῶν καὶ μεγάλων ἐκείνων συνόδων καὶ δὶς καὶ τρὶς καὶ πολλάκις καθηρημένοι καὶ τῆς τῶν ὀρθοδόξων ἐκκλησίας ἐκτετμημένοι τοιούτοις καθ' ἡμῶν τε καὶ τῆς εὐσεβείας ἀναιδέσιν ἐχρήσαντο γράμμασιν, ἐν οἷς πρῶτον μὲν ὁμολογοῦσι καί αὐτοὶ πολλάκις ὑφ' ἡμῶν διαμηνυθῆναι, ἔπειτα δήλους ποιοῦσιν ἑαυτοὺς ἀθετητάς τε τῆς κατ' εὐσέβειαν ἀληθείας ὄντας καὶ κατηγόρους φανεροὺς τῶν συνηγόρων τῆς εὐσεβείας, καὶ ταῦτα διὰ γραφῶν καὶ ὑπογραφῶν οἰκείων αὐτοῦ τε τοῦ Ἐφέσου, τοῦ Γάνου καὶ τοῦ Ἄπρω τούτου χάριν καθαιρέσεως ἄξιον ἀποφηναμένων εἶναι τὸν χρηματίσαντα πατριάρχην, ὃ καὶ εἰς ἐπήκοον πολλάκις ἐν ταῖς εἰρημέναις συνόδοις ἐνώπιον αὐτῶν ἀναγνωσθὲν οὐ μετρίως τούτους κατήσχυνε· μετὰ δὲ ταῦτα ψεῦδος τιθέμενοι τὴν ἐλπίδα αὐτῶν καὶ ὄντως εἰπόντες «τῷ ψεύδει σκεπασθησόμεθα» φασὶν ἀποῤῥαγῆναι τῆς ἐκκλησίας διὰ τὸ μὴ προσηκόντως, ὡς αὐτοὶ λέγουσι, γενέσθαι τὸν πατριάρχην, οἱ πρὸ τοῦ γενέσθαι τὸν πατριάρχην ἀποῤῥαγέντες, μᾶλλον δὲ ἀπελαθέντες τῆς συνοδίας τῶν ὀρθοδόξων, ὡς μὴ συμφωνήσαντες τῇ κατ' εὐσέβειαν ἀληθείᾳ. Ἀλλὰ καὶ κανόνων μέμνηνται οἱ ἀθέσμως καὶ ἀκανονίστως τοσαῦτα διαπραττόμενοι καὶ οὕτως ἀφειδῶς τὴν τοῦ Θεοῦ ἐκκλησίαν ταράττοντες, κανόνων ἐκείνων, οἳ περί τε τοῦ μὴ δεῖν ἄρχοντας ψηφίζεσθαι ἐπισκόπους διακελεύονται καὶ περὶ τοῦ μὴ δύνασθαι παρ' ἑτέρου δεχθῆναι τὸν καθαιρεθέντα ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, εἰ μὴ ὑπ' αὐτοῦ παραδεχθείη τοῦ ἐπισκοπου ἢ συνόδου γενομένης ἀπαντήσας ἀπολογήσεται πείσας τε τὴν σύνοδον καταδέξοιτο ἑτέραν ἀπόφασιν. Ὅτι μὲν οὖν ψεῦδος σαφὲς τὸ δι' ἀρχοντικῆς ἐξουσίας ἐκτελεσθῆναι τὰς ψήφους ταύτας, ἀκριβῶς ἴσμεν ἡμεῖς, ὁ τῶν συνειλεγμένων καὶ συμψηφισαμένων χορός· καὶ οὐχ ὑπὲρ τῆς ἀληθείας αὐτῆς τοῦτο γράφομεν μόνον, ἀλλὰ καὶ τῆς περὶ τὰ θεῖα τοῦ βασιλέως ἀκριβοῦς εὐλαβείας, εἰς ὃν οὗτοι παροινεῖν ἐπιχειροῦντες αὐτοῦ τοιαῦτα φρενοβλαβῶς καταφθέγγονται. Ἐπίσκοπος δὲ τοῦ νῦν χάριτι Χριστοῦ πατριάρχου καὶ τῶν

σὺν αὐτῷ πῶς ἐκεῖνος ἦν ἀληθῶς φανερῶς ἑτερόφρων ὑπάρχων, οὗ καὶ μᾶλλον κατὰ τοὺς ἱεροὺς κανόνας εἰκότως ὡς εὐσεβῶς φρονοῦντες ἀπερράγησαν οὗτοι, ἅτε τοῖς καὶ ὑπ' αὐτοῦ καταδικασθεῖσι καὶ κακοδοξοις ἀναφανεῖσιν ὕστερον προσθεμένου κακῶς κἀντεῦθεν ταῖς οἰκείαις ὑποπεσόντος φρικωδεστάταις ἀραῖς καὶ ἀναθεματισμοῖς καὶ ἀποκηρύξεσι; Φησὶ γὰρ ὁ πέντε καὶ δέκατος κανὼν τῆς ἐν Κωνσταντινουπόλει πρώτης καὶ δευτέρας λεγομένης συνόδου, ὅτι τὰ ὁρισθέντα ἐπὶ πρεσβυτέρων καὶ ἐπισκόπων καὶ μητροπολιτῶν πολλῷ μᾶλλον καὶ ἐπὶ πατριαρχῶν ἁρμοζει, ὥστε, εἴ τις πρεσβύτερος ἢ ἐπίσκοπος ἢ μητροπολίτης τολμήσειεν ἀποστῆναι τῆς πρὸς τὸν οἰκεῖον πατριάρχην κοινωνίας καὶ μὴ ἀναφέρῃ τὸ ὄνομα αὐτοῦ κατὰ τὸ ὡρισμένον καὶ τεταγμένον ἐν τῇ θείᾳ μυσταγωγίᾳ, ἀλλὰ πρὸ ἐμφανείας συνοδικῆς καὶ τελείας αὐτοῦ κατακρίσεως σχίσμα ποιήσει, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι, εἰ μόνον τοῦτο ἐλεγχθείη παρανομήσας. Καὶ ταῦτα μὲν ὥρισται καὶ ἐσφράγισται περὶ τῶν προφάσει τινῶν ἐγκλημάτων τῶν οἰκείων ἀφισταμένων προέδρων καὶ σχίσματα ποιούντων και τὴν ἕνωσιν τῆς ἐκκλησίας διασπώντων· οἵ γε δι' αἱρεσίν τινα παρὰ τῶν ἁγίων συνόδων ἢ πατέρων κατεγνωσμένων τῆς πρὸς τὸν πρόεδρον κοινωνίας ἑαυτοὺς διαστέλλοντες, ἐκείνου τὴν αἵρεσιν δηλονότι δημοσίᾳ κηρύττοντος καὶ γυμνῇ τῇ κεφαλῇ ἐπ' ἐκκλησίᾳ διδάσκοντος, οἱ τοιοῦτοι οὐ μόνον τῇ κανονικῇ ἐπιτιμήσει οὐχ ὑποκείσονται, πρὸ συνοδικῆς διαγνώσεως ἑαυτοὺς τῆς πρὸς τὸν ἐγκαλούμενον ἐπίσκοπον κοινωνίας ἀποτειχίζοντες, ἀλλὰ καὶ τῆς προσηκούσης τιμῆς τῶν ὀρθοδόξων ἀξιωθήσονται· οὐ γὰρ ἐπίσκοπον, ἀλλὰ ψευδεπίσκοπον καὶ ψευδοδιδάσκαλων κατέγνωσαν καὶ οὐ σχίσματι τὴν ἕνωσιν τῆς ἐκκλησίας κατέτεμον, ἀλλὰ σχισμάτων καὶ μερισμῶν τὴν ἐκκλησίαν ἐσπούδασαν ῥύσασθαι. Οὕτω μὲν οὖν καλῶς καὶ κατὰ τὴν τῶν πατέρων τούτων διαταγὴν διεπράξαντο οἱ τοῦ νενοσηκότος τὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δυσσεβῆ δόγματα καὶ ταῦτα διαῤῥήδην καὶ ἀνερυθριάστως κηρύττοντος ἑαυτοὺς ἀποστήσαντες. Πῶς δ' ἂν καὶ ἡ παρ' ἐκείνου καθαίρεσις ὅλως καθαίρεσις λογισθείη, δι' ἣν καὶ οὐ καθῄρηται μόνον ἐκεῖνος, ἀλλὰ καὶ τοῦ χριστωνύμου πληρώματος ἀπελήλαται, εἰ μὴ μετάμελον λάβοι καὶ ἀληθῆ καὶ γνησίαν ἐνδείξεται τὴν μετάνοιαν; Οὐ μὴν ἀλλ' εἰ καὶ τῶν εὐσεβῶς φρονούντων ἐτύγχανον ὢν κάν τοῖς ὡς ἀληθῶς ἐπισκόποις κατειλεγμένων, εἶτά τινα μέμψιν ἐπήνεγκε τότε τῷ νῦν πατριάρχῃ, καὶ οὕτως ἀνεύθυνος νῦν ὅδε, ἐν ταῖς προῤῥηθείσαις συνοδοις πολλάκις ἀπολογησάμενος καὶ ἀποκατάστασιν δικαίαν λαβών, κατ' αὐτὸν δὴ τοῦτον τὸν ς' κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ὃν καὶ αὐτοὶ προήνεγκαν, λε-

γοντα ἐκεῖνον ἀπαράδεκτον εἶναι, ὃς μὴ συνόδου γενομένης ἀπαντήσας ἀπολογήσεται, πείσας δὲ τὴν σύνοδον καταδέξοιτο ἑτέραν ἀπόφασιν τὴν ἀθῳοῦσαν πάντως αὐτόν, ὃν δὴ καὶ ὁ νῦν πατριάρχης παρὰ πολλῶν, ὡς εἴρηται, συνοδων ἐδέξατο· ὥστε μάτην αὐτοῖς καὶ ὁ τοιοῦτος κανὼν προενήνεκται καὶ καθ' ἑαυτῶν μᾶλλον ἢ καθ' ὧν προενεγκεῖν τοῦτον ἐνόμισαν. Ἀλλὰ καὶ ἡ τὸν Νεστόριον καθελοῦσα ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος πάντας τοὺς ἐπ' ἐκείνου καθαιρεθέντας, ὡς μὴ ὁμοφρονήσαντας αὐτῷ, ἐδικαίωσε καὶ ἀκαθαιρέτους ἀνέδειξε καὶ εἰς τοὺς ἰδίους *) βαθμοὺς ἀποκατέστησεν ἕκαστον, μηδ' ὅλως τούτους ἀναμένειν δεῖν κρίνασα πατριάρχην ἕτερον Κωνσταντινουπόλεως ὥστε καταστῆσαι τούτων ἕκαστον εἰς τὸν οἰκεῖον βαθμόν· καθὼς ἀρτίως οὗτοι πάνυ ἀμαθῶς περί τε τοῦ νῦν πατριάρχου καὶ τῶν μεθ' αὐτοῦ συκοφαντηθέντων διισχυρίζονται· οὐ μόνον δὲ ἀθῴους τούτους ἀπέδειξεν, ἀλλὰ καὶ τοὺς ἀπαντήσαντας τότε ἐπισκόπους καὶ μὴ συμφωνήσαντας τῇ συνόδῳ ἐπὶ τοσοῦτον καταδικάσασα φαίνεται, ὥστε μηδένα ὑποκεῖσθαι αὐτοῖς παῤῥησίᾳ διακελεύεται· περὶ γὰρ τούτων πάντων ἡ εἰρημένη ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἐν τῷ γ' αὐτῆς κανόνι διαλαβοῦσα τάδε φησίν· «εἰ δέ τινες τῶν ἐν ἑκάστῃ πόλει ἢ χώρᾳ κληρικῶν ὑπὸ Νεστορίου καὶ τῶν σὺν αὐτῷ ὄντων τῆς ἱερωσύνης ἐκωλύθησαν διὰ τὸ ὀρθῶς φρονεῖν, ἐδικαιώσαμεν καὶ τούτους τὸν ἴδιον ἀπολαβεῖν βαθμόν· κοινῶς δὲ τοὺς τῇ ὀρθοδόξῳ καὶ οἰκουμενικῇ συνόδῳ συμφρονοῦντας κληρικοὺς κελεύομεν τοῖς ἀποστατήσασιν ἢ ἀφισταμένοις ἐπισκόποις μηδ' ὅλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον». Ἀλλ' ἡμεῖς τούτους, καίτοι κατὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας πάσης ἱερατικῆς ἀξίας καὶ ἐξουσίας ἀπελαυνομένους δικαίως, ὡς ἀποστατήσαντας καὶ μὴ συμφρονοῦντας τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ τοῖς συνοδικῶς ἐναπεφηνόσι καὶ ἀναγεγραμμένοις εὐσεβέσι δόγμασιν, ἀλλ' ἀεὶ παρασυνάγειν καὶ συγχεῖν καὶ διαταράττειν τὴν ἐκκλησίαν ἐπιχειροῦντας, ὅμως πολλάκις καὶ διαφόρως δεῖν ἔγνωμεν προσκαλέσασθαι, πρὸς μετάνοιαν καὶ τὴν τῆς ἐκκλησίας ὁμοφροσύνην τούτους ἀνάγοντες. Οὐχ ἡμεῖς δὲ μόνον τοῦτο διεπραξάμεθα δι' ἀρχιερέων τε καὶ προσώπων ἐκκλησιαστικῶν οὐκ ὀλίγων, ἀλλὰ καὶ ὁ κράτιστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς, τὴν ἔμφυτον αὐτοῦ χρηστότητα καὶ φιλανθρωπίαν καὶ πρὸς αὐτοὺς ἐνδεικνύμενος, πολλοῖς τε μηνύμασι πρὸς αὐτοὺς διὰ συγκλητικῶν ἀρχόντων ἐχρήσατο καὶ δὴ καὶ αὐτοπροσώπως οὐκ ὀλιγάκις τούτοις ὡμίλησε, συνετῶς ἄγαν διαλεγόμενος καὶ γενναιῶς ἐξελέγχων αὐτοὺς καὶ συμπαθῶς προ-

*) На полѣ листа, противъ этого мѣста, въ спискѣ, сдѣланномъ для преосвящ. Порфирія, написано: οἰκείους. — Ред.

τρεπόμενος εἰς μετάνοιαν. Οἱ δέ, τῆς τε ἡμετέρας πρὸς αὐτοὺς ἀδελφικῆς διαθέσεως ἀλογήσαντες καὶ τῆς βασιλικῆς εὐμενείας καταφρονήσαντες, τοῖς προτέροις ἐνέμειναν, ἀνίατα καθάπαξ νοσήσαντες ἀεὶ τάς τε παρασυναγωγὰς καὶ τὰ σχίσματα καὶ τὰς ἐντεῦθεν ταραχὰς ἐπιτείνοντες. Τοιγαροῦν ἦν οὗτοι καθ' ἑαυτῶν ἐπεσπάσαντο συνοδικὴν καταδίκην ἔκ τε τῆς ἐνδιαστρόφου δόξης καὶ τῶν παρασυνανωγῶν καὶ τῆς ἀμεταμελήτου γνώμης, ταύτην καὶ ἡμεῖς αὐτοῖς ἐπιφέρομεν, καὶ τὸν μὲν Φιλίππων Νεόφυτον καὶ τὸν Γάνου Ἰωσήφ, ὡς διὰ πολλῶν καὶ λόγων καὶ πράξεων καὶ γραμμάτων ὁμοφρονοῦντας τοῖς Βαρλαὰμ καὶ Ἀκινδύνου δόγμασιν ἀναφανέντας καὶ μήτε τῷ ὑπὲρ εὐσεβείας προτέρῳ τόμῳ μήτε τῷ ἐπικυροῦντι τοῦτον δευτέρῳ συνθέσθαι θελήσαντας, ἀλλὰ καὶ τὰ παρὰ τοῦ Βαρλαὰμ κατὰ τῆς εὐσεβείας καὶ τῶν εὐσεβῶν προβεβλημένα τὴν ἀρχὴν καὶ αὐτοὺς προβαλλομένους διηνεκῶς Ἀκινδύνῳ παραπλησίως, ἔτι δὲ τετράδιον ἐπὶ συνόδου προενεγκόντας, ὃ πολλοῖς δυσσεβήμασιν ἐνόχους τούτους παρίστησι, διὰ ταῦτα τοίνυν, ἔτι δὲ καὶ τὴν κατὰ τῆς ἐκκλησίας μέχρι νῦν ἀναισχυντίαν αὐτῶν, ἀπογυμνοῦμεν τούτους πάσης ἱερατικῆς ἀξίας καὶ λειτουργίας καὶ καθαιρέσει καθυποβάλλομεν. Τὸν δὲ Ἐφέσου, ὡς ἀθετήσαντα καὶ τοῦτον τὰς οἰκείας καὶ ταῦτα περὶ τῆς εὐσεβείας ἐγγράφους ὁμολογίας τε καὶ ὑπογραφὰς κἀντεῦθεν καὶ τὰς συνοδικὰς ἐκείνας ὑπὲρ τῶν ὀρθῶν δογμάτων διαγνώσεις καὶ ἀποφάσεις καὶ τοὺς ἐπὶ ταύταις τόμους παρ' οὐδὲν θέμενον, τόν τε Παλαιῶν Πατρῶν καὶ τὸν Γάνου ἀργοὺς εἶναι ἀποφαινόμεθα, ὡς τοῦτοις ἀκολουθήσαντας, διδόντες αὐτοῖς καὶ προθεσμίαν μέχρι συμπληρώσεως τοῦ ἐπιόντος σεπτεμβρίου μηνός, ἵνα, εἰ μὲν ἐντὸς ταύτης ἀπόσχοιντο τῆς πρὸς ἐκείνους ὁμοφροσύνης καὶ κοινωνίας, συμφωνήσωσι δὲ ἡμῖν κατὰ πάντα τοὺς ὑπὲρ εὐσεβείας ὑπογράψαντες τόμους, τὴν οἰκείαν ἀρχιερατικὴν ἀξίαν ἕκαστος αὐτῶν ἀπολάβῃ καὶ τοῖς ἀρχιερεῦσι τοῦ Θεοῦ πάλιν συγκαταλέγηται· εἰ δ' οὖν, τῇ αὐτῇ ψήφῳ καὶ καταδίκῃ καὶ τούτους καθυποβάλλομεν, πάσης ἱερατικῆς ἀξίας ἀναξίους τούτους ἡγούμενοι καὶ τοῦ τῶν ἀρχιερέων χοροῦ ἀποκόπτοντες, ἔτι τε καὶ τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος τούτους τε κἀκείνους, ἐὰν ἀμεταμέλητοι μείνωσι, κατὰ τὴν προεξενεχθεῖσαν συνοδικὴν διάγνωσιν καὶ ἀπόφασιν ἐν τοῖς διαληφθεῖσι συνοδικοῖς τόμοις. Ταῦτα οὕτω συνοδικῶς καὶ κανονικῶς ἡμῖν διαγνωσθέντα καὶ κυρωθέντα τὸ βέβαιον ἔξει καὶ ἀσφαλές, σύμφωνα προδήλως ὄντα τῇ ἀληθείᾳ καὶ ταῖς ἐγγράφοις συνοδικαῖς ἀποφάσεσι τῶν ὑπὲρ εὐσεβείας προβάντων ἱερῶν τόμων, οὓς ἐπικυροῦντες καὶ τὸ παρὸν ἐξεθέμεθα γράμμα. Ὃ προεγεγόνει μὲν καὶ ἀνεγνώσθη καὶ ἐστέρχθη προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπό-

του τοῦ οἰκουμενικοῦ πατριάρχου καὶ συνεδριαζόντων τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Θεσσαλονίκης, τοῦ Κυζίκου, τοῦ Φιλαδελφείας, τοῦ Σεβαστείας, τοῦ Ποντοηρακλειας, τοῦ Προύσης, τοῦ Τραιανουπόλεως, τοῦ Μυτιλήνης, τοῦ Αἴνου, τοῦ Μηθύμνης, τοῦ Βιτζίνης, τοῦ Γοτθίας, τοῦ Χερσῶνος, τοῦ Γαρέλλης, τοῦ Καλλιουπολεως, ἐχόντων τούτων καὶ γνώμας ἀπόντων τοῦ Ἀδριανουπολεως, τοῦ Χριστουπολεως, τοῦ Διδυμοτύχου, τοῦ Ἀρκαδιουπολεως, τοῦ Σηλυβρίας, τοῦ Ῥωσίου καὶ τοῦ Ξανθίας· ἀνεγνώσθη δὲ καὶ αὖθις πολλάκις καὶ πολλῶν παρόντων καὶ ἐστέρχθη παρὰ πάντων, ἔτι δὲ πάλιν καὶ τοῦ θειοτάτου βασιλέως προκαθεζομένου μετὰ τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου καὶ δὴ καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων καὶ τῶν ἄλλων πάλιν ἀρχιερέων· ὕστερον δὲ ὑπεγράφη παρ' ἡμῶν τῶν ἐνταῦθα παρόντων, μεθ' ἡμέρας πλείους, ἀνασχομένων ἐπὶ πλέον καὶ τοὺς καταψηφισθέντας ἐκκαλουμένων εἰς μετάνοιαν. — Μηνὶ αὐγούστῳ, ἰνδικτιῶνος ιε΄.

Ὑπογραφαί.

Ἰσίδωρος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θράκης καὶ Μακεδονίας Φιλόθεος.

Ὁ ταπεινὸς μητροπολίτης Θεσσαλονίκης ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας Γρηγόριος.

Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλησπόντου Ἀθανάσιος.

Ὁ ταπεινὸς μητροπολίτης θεουπόλεως Προύσης ὑπέρτιμος καὶ πρόεδρος Κίου Ἱερόθεος.

Ὁ ταπεινὸς μητροπολίτης Τραιανουπολεως ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ῥοδόπης Γεράσιμος.

Ὁ ταπεινὸς μητροπολίτης Μυτιλήνης καὶ ὑπέρτιμος Μαρκιανός.

Ὁ ταπεινὸς μητροπολίτης Αἴνου Δανιήλ.

Ὁ ταπεινὸς μητροπολίτης Μηθύμνης καὶ ὑπέρτιμος Μαλαχίας.

Ὁ ταπεινὸς μητροπολίτης Γαρέλλης Ἰωαννίκιος.

Ὁ ταπεινὸς μητροπολίτης Καλλιουπόλεως Ἰωσήφ.

Ὁ ταπεινὸς μητροπολίτης Βρύσεως Θεοδώρητος.

Ὁ ταπεινὸς μητροπολίτης Μαδύτων καὶ ὑπέρτιμος Ἰάκωβος.

Εἶχε καὶ ὀπισθεν ταῦτα.

Τὴν παροῦσαν συνοδικ‹ὴ›ν πρᾶξιν, ὡς τοὺς προβεβηκότας ὑπὲρ εὐσεβεία‹ς› συνοδικοὺς τόμους ἐπιστηρίζουσαν καὶ βεβαιοῦσαν, στέργων καὶ αὐτός, ἅτε δὴ καὶ παρουσίᾳ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος κἀμοῦ παρόντος ἀναγνωσθεῖσαν τε καὶ στερχθεῖσαν, εἰκειοχείρως ὑπογράφω. Μηνὶ αὐγούστῳ, ἰνδικτιῶνος ιε′.

Λάζαρος ἐλέῳ Θεοῦ πατριάρχης Ἱεροσολύμων.

Извлечено изъ аѳонолаврской рукописи Маврокордата.

№ 41.

Изъ той же аѳонолаврской рукописи Маврокордата.

Τοῦ Παλαμᾶ ὡς ἀπό τινος ἑτέρου συγγραφεὶς περὶ τῆς τοῦ Γρηγορᾶ ψευδογραφίας ὁμοῦ καὶ δυσσεβείας λόγος α′.

.... Πόσοις ψεύδεσι κατὰ τοῦ Παλαμᾶ (ὁ Γρηγορᾶς) χρῆται, ποσαις διαβολαῖς καὶ συκοφαντίαις.

Πῶς δ' ἂν ἐφείσατο τοῦ Παλαμᾶ ὁ μὴ τοῦ εὐσεβεστάτου φεισάμενος βασιλεως;

Ὁ βασιλεὺς βιασθεὶς ἐκύρωσε τὸν κατὰ τῆς εὐσεβείας, ὡς αὐτὸς λέγεις, ὦ σοφὲ κοῦφε Γρηγορᾶ, τόμον; Βασιλεύς, ᾧ καθάπερ ἡ τοῦ κράτους σφραγὶς ἐκ μητρικῆς νηδύος, ὡς πᾶς τις ἂν εἴποι καὶ μόνον προσιδών, οὕτω καὶ τὸ εὐσεβὲς ἔμφυτον τῇ τοῦ βασιλεύοντος Χριστοῦ χάριτι; Βασιλεύς, ὃς μόνος, καίτοι μηδ' εἰς ἡλικίαν παραγγειλας πω μειρακίων τῷ Βαρλαὰμ εὐμενῶς ποτε προσιδεῖν οὐκ ἠνέσχετο; Βασιλεύς, ὃς τοῖς περιεστῶσιν ἀνδράσι, παῖς ἔτι ὤν, προσέταττεν οἰκοθεν, μᾶλλον δὲ θεόθεν καὶ παρ' ἡλικίαν ἄρα κινούμενος τοὺς Ἀκινδυναίους ἐξελαύνειν τῶν βασιλείων; .... ὑπέγραψε οὐ βιασθείς, ἄπαγε, ἀλλὰ πρῶτον μὲν κατ' ἴχνος ἑπόμενος τῷ μακαρίτῃ καὶ ἀοιδίμῳ καὶ θειοτάτῳ βασιλεῖ καὶ πατρί, ἔπειτα δὲ καὶ τῷ βασιλεῖ καὶ πενθερῷ, ὃν ἔτι καὶ νῦν εὐσεβέστατον ἀνακηρύττει πολλαχῶς, πρὸς δὲ τούτοις καὶ τῷ πατριάρχῃ καὶ τῇ ἀληθείᾳ πειθόμενος.

Τί δέ; Καὶ τὸν τόμον ὁ Γρηγορᾶς φησὶ τὰς ἐρίδας καὶ τὰς διαφωνίας ἐγεῖραι καὶ τὰ χείριστα πρὸς κακίαν ἀναῤῥῆξαι κύματα κατὰ τῶν θείων δογμάτων τῆς ἐκκλησίας, εἶτα κατὰ τοῦ Παλαμᾶ μαίνεται, ὡς τούτου πάλιν ταῦτα κινήσαντος. Но соборные протоколы утверждены тремя царями, припечатаны тремя патріархами, изъ которыхъ одинъ, говорятъ, мученичествомъ запе-

чатлѣлъ свою вѣру въ Іерусалимѣ, и болѣе чѣмъ пятидесятью архіепископами, кромѣ подчиненыхъ имъ епископовъ. Εἰ γοῦν ὁ παρὰ τούτων καὶ τηλικούτων κεκυρωμένος ὁ τόμος τὰς ἐρίδας ἤγειρεν, πῶς ἂν Παλαμᾶν αἰτιᾶται; Ὁ τόμος ἐκεῖνος ἔριδός ἐστιν ἀφορμή, ἀλλὰ τοῖς ἀπειθοῦσι τῇ κατ' εὐσέβειαν ἀληθείᾳ.

Ἀλλὰ τοῦ θειοτάτου βασιλέως ἀποθανόντος, φησὶν ὁ Γρηγορᾶς, πρὸς ἐμφύλιον στάσιν τὰ Ῥωμαίων ἠγέρθη πράγματα καὶ ἅμα κατὰ τῶν θείων δογμάτων τῆς ἐκκλησίας τὰ χείριστα δόγματα, καὶ τοὺς ἀντεχομένους τῆς ἐκκλησίας τὰ καὶ τά, συνελόντα δ' εἰπεῖν, ἀνήκεστα περιέσχε δεινά. Καὶ μαρτυρίαν δὲ ὁ Γρηγορᾶς εἰς τοῦτο προάγει τινὸς τῶν θύραθεν γράφων· «ἐν γὰρ διχοστασίαις, φασί, τὸν μὲν πάγκακον τυγχάνειν τιμῆς, τὸν δὲ καὶ ὀπωσοῦν μετέχοντα τοῦ βελτίονος πολλῶν ἀπολαύειν τῶν δυσχερῶν». Εὖ γε· τοῦ γὰρ βασιλέως τηνικαῦτα ἐκείνου, ὡς μή ποτ' ὤφελεν, ἐξ ἀνθρώπων γεγενημένου καὶ τῆς στάσεως ἐγερθείσης, τίνα συνηγέρθη καὶ παῤῥησίας ἔλαχε δόγματα; Καὶ τίνες οἱ τιμῆς μεταλαχόντες; Καὶ τίνες οἱ τῶν δεινῶν πειραθέντες; Οὐχ ὁ Παλαμᾶς τότε ὁ προόδων εἴργεται; Οὐχ οἱ σὺν αὐτῷ τῶν ὑπὸ τοῦ βασιλέως ἐκείνου στηριχθέντων ἀντεχόμενοι δογμάτων τῶν δεινῶν ἐπειρῶντο; Οὐχ ὁ Ακίνδυνος ἀθέσμως μέν, ἱερατικῆς δὲ τότε μετέλαχε τιμῆς; Οὐχ οἱ τὰ τούτου φρονοῦντες καὶ κατὰ τοῦ Παλαμᾶ καὶ τοῦ τόμου καὶ τῶν ἐν αὐτῷ γεγραμμένων χωροῦντες παῤῥησίας ἔτυχον οὐχὶ μικρᾶς προεδριῶν τε ἅμα καὶ τιμῶν; Οὐκοῦν ἐκ τῶν νῦν τούτων τοῦ Γρηγορᾶ λόγων ἄκοντος τοῦ λέγοντος πάγκακος μὲν ἀναφαίνεται ὁ προκαθηγησάμενος αὐτῷ τῆς πλάνης Ἀκίνδυνος καὶ ὅσοι κατ' αὐτόν, ὡς ἐν διχοστασίᾳ τῆς τιμῆς μετασχόντες, καὶ χείριστα τὰ τούτων δόγματα, ὡς τῇ ἐμφυλίῳ στάσει συνηυξημένα καὶ κατὰ τῶν εὐσεβῶν δογμάτων κεκινημένα...

Τὴν βασίλισσαν (μητέρα) πᾶσα γλῶσσα φιλόχριστον ἀνακηρύττει, κἂν Γρηγορᾶς καὶ πρὸς τοῦτο βύειν ἐθέλῃ τὰς ἀκοάς.

Когда соборъ осудилъ патріарха Іоанна, согласившагося съ Акиндиномъ, тогда ἐπὶ τοῦ βασιλέως οὐδὲν ὁ Γρηγορᾶς περὶ αὐτοῦ κινῆσαι τεθάῤῥηκεν...

А теперь, какъ сова, любящая мрачную ночь, ὁ Γρηγορᾶς οὗτος, μισοφαεῖ δαίμονι παραδοὺς τὰς φρένας, во мракѣ неправды сочиняетъ всякую ложь.

Григорасъ о Паламѣ: Μεταγράψας τὸ τοῦ Ἀριστοτέλους ἐκεῖνος, δεῖ πρῶτον θέσθαι τί ὄνομα καὶ τί ῥῆμα, καὶ τὴν ἐπωνυμίαν τοῦ πατρὸς τῶν ῥημάτων ἀποκρυψάμενος, ὡς αὐτὸς παρ' ἑαυτοῦ ταῦτα λέγων, καὶ καθάπερ ἕδραν βεβαίαν τῇ θεολογίᾳ ὑποτιθείς, μεγαλαυχῶν διαδείκνυται· εἶτα καθάπερ

ἀπὸ στερρόῦ φησὶ θεμελίου τούτου δεῖν ἐπαναβαίνειν καὶ μανθάνειν, τί ἐστιν ἀπόφασις καὶ κατάφασις καὶ ἀπόφανσις καὶ λόγος. Ἆρ' οὐ γελᾶτε, τοιούτων τῆς περὶ τῶν θείων δογμάτων διδασκαλίας ἀκούντες τὸ θεμέλιον; Ἀλλ' ὁ Γρηγορᾶς, ὡς αὐτὸς ταῦτ' εἰδώς, ἀξιοῖ μόνος εἶναι τῆς θεολογίας ἀσφαλὴς διδάσκαλος, ἐπεὶ καὶ περὶ Μοϋσέως εἰπεῖν φησὶ τὸν Νύσσης θεῖον Γρηγόριον, ὡς τοῖς Αἰγυπτίων μαθήμασιν ἐγγυμνασάμενος, οὕτω προσῆλθε τῇ θεωρίᾳ τοῦ ONTOC... Но Григорій Нисскій говорилъ о Моисеѣ, что онъ въ несовершенномъ возрастѣ обучался египетскимъ наукамъ, а потомъ отвергъ все египетское.

Насмѣшки Паламы надъ Григорасомъ: Ὥσπερ ὁ σίδηρος, μέλας ὢν τὴν φύσιν, τῇ σφόδρα πρὸς τὸ πῦρ ὁμιλίᾳ πρὸς ὀλίγον τὴν χροιὰν ἀμείψας, μετ' οὐ πολὺ πρὸς τὴν ἔμφυτον ἐπανέρχεται μελανίαν· οὕτω καὶ Γρηγορᾶς, ἐν τῇ μελέτῃ φανείς τις ἐλλογιμώτερος, πρὸς τὴν ἔμφυτον ἀγροικίαν ἐπανέρχεται πάλιν, τῆς μελέτης ἀφέμενος... Γρηγορᾶς, χαμαίζηλος ὢν τὴν διάνοιαν, сравнивается съ муравьемъ, который, когда разгнѣвался на него Богъ, привязалъ себѣ крылья и хотѣлъ летѣть, но упалъ и разшибся.

Далѣе разбирается ученіе сего философа и говорится, что онъ былъ преемникомъ Варлаама и Акиндина, хотя самъ Григорасъ и говоритъ, что у него не было никакого общенія съ ними. Πολλὰ καὶ τῶν θεολόγων πατέρων ὄντα φανερῶς, οὐκ οἶδ' ὅτι παθών, ὡς τὰ τοῦ Παλαμᾶ προτίθησιν αὐτολεξεὶ καὶ πρὸς ταῦτα ἀντιλέγει καὶ τἀναντία τούτων σομπεραίνειν ἀγωνίζεται· καὶ νῦν μὲν τὰ θεῖα καὶ αὐτοῖς τοῖς πονηροῖς κτίσμασι δυσσεβέστατα συντάττει, νῦν δὲ τὸ αὐτὸ καὶ οὐσίαν εἶναι τοῦ Θεοῦ καὶ κτίσμα δείκνυσιν, ἄλλοτε δὲ πάλιν τὸ αὐτὸ μηδαμῶς εἶναι μηδαμῇ κατασκευάζει· καὶ νῦν μὲν τὴν θείαν ἕνωσίν τε καὶ διάκρισιν ἐπανίστησιν ἀλλήλαις, νῦν δὲ τὴν καταφατικὴν καὶ ἀποφατικὴν θεολογίαν καὶ ἁπλῶς τὰ πρὸς ἄλληλα διαφωνεῖν δοκοῦντα τῶν ἁγίων, δι' ὧν καὶ πᾶσαν τὴν θεόπνευστον γραφὴν αὐτὴν ἐφ' ἑαυτὴν ἐγείρει καὶ τοὺς θεοφόρους θεολόγους ἐπιστρατεύει καθ' ἑαυτῶν τε καὶ ἀλλήλων· καὶ νῦν μὲν τὴν θείαν διάκρισιν καὶ ἐπ' αὐτῶν τῶν θείων ὑποστάσεων τελέως ἀθετῶν τῷ Σαβελλίῳ σύμπνους γίνεται, νῦν δὲ τὴν θείαν ἕνωσιν ἀποσειόμενος καὶ εἰς κτιστὰ καὶ ἄκτιστα διχοτομῶν τὸ θεῖον Ἀρείῳ καὶ Εὐνομίῳ καὶ Μακεδονίῳ σύμφωνος καθίσταται, πολλαχοῦ καὶ αὐταῖς ταῖς φωναῖς ἐκείνων χρώμενος.

№ 42.

Τοῦ αὐτοῦ Παλαμᾶ πρὸς τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην.

Ἔλεγχος τῆς εἰς τὸ θειότατον φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως παντοδαπῆς τοῦ Γρηγορᾶ βλασφημίας καὶ παράστασις ἐξ ἀντιθέσεως, ὅτι ἄκτιστον τοῦτό ἐστιν ὡς ἀληθῶς καὶ ἀΐδιον.

Πρὸς τὰ τοῦ Γρηγορᾶ συγγράμματα λόγος γ΄.

Отсюда выписываю одно замѣчательное мѣсто, которое внушаетъ: въ чемъ и какъ обвинялъ Григорасъ Паламу.

Τίς ἡμῶν τὴν μεταμόρφωσιν λέγει θεότητα; οὐ γὰρ τὴν μεταμόρφωσιν ἁπλῶς, ἀλλ' εἰς ὁ μετεμορφώθη ὁ Χριστὸς ζητοῦμεν· μᾶλλον δέ, παρὰ τοῦ εὐαγγελίου καὶ τῶν θεοφόρων ἡμῶν πατέρων ἀκηκοότες, οὐκ ἀπιστοῦμεν. Τίς ἡμῶν ἀλλοίωσιν καὶ μετουσίωσιν τῆς θείας φύσεως λέγει ταύτην τὴν ἐπ' ὄρους τοῦ Χριστοῦ μεταμόρφωσιν; οὐ γὰρ κατὰ τὴν θείαν ἑαυτοῦ φύσιν, ἀλλὰ κατὰ τὴν τῆς παρ' ἡμῶν αὐτῷ προσληφθείσης ἀνθρωπίνης φύσεως ὄψιν ὁ Χριστὸς ἐπ' ὄρους μετεμορφώθη, καθάπερ κοινῇ πάντες συμφώνως ἐπ' ἐκκλησίας οἱ πιστοὶ ψάλλομεν· «μεταστοιχειώσας αὐτὴν εἰς τὴν αὐτοῦ τῆς θεότητος δόξαν τε καὶ λαμπρότητα». Τίς ἡμῶν μεταβολὴν τῆς ἀνθρωπίνης τοῦ Χριστοῦ φύσεως πρὸς τὴν θείαν φύσιν ᾠήθη τὴν ἐν τῷ Θαβωρίῳ τοῦ Χριστοῦ μεταμόρφωσιν; ὁ γὰρ πλάστης τὸ ἀρχέτυπον αὐτοῦ κάλλος ἐπ' ὄρους ὑπέδειξεν ἐν τῷ πλάσματι μένοντι πλάσματι, καθάπερ καὶ τοῦτο ψάλλομεν. Τίς ἡμῶν εἶπέ ποτε τοῦ Χριστοῦ σῶμα πρὸς τὸ ἄκτιστον μεταβεβλῆσθαι καὶ γίνεσθαι τῇ φύσει ἄκτιστον; Τίς ἡμῶν τὰ τῶν εἰκονομάχων τιμᾷ δυσσεβῆ φρονήματα; Ἀλλ' ὁ Γρηγορᾶς ταῦτα πάντα προθεὶς ὡς ἡμέτερα, εἶτα κινεῖ κατ' αὐτῶν ὡς καθ' ἡμῶν λόγων τὴν μεγαλεπίβουλον αὐτοῦ φιλοσοφίαν.

№ 43.

Τοῦ αὐτοῦ πρὸς τὰ τοῦ Γρηγορᾶ συγγράμματα λόγος δ΄.

Ἔλεγχος ἔτι τῆς εἰς τὸ θειότατον φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως παντοδαπῆς τοῦ Γρηγορᾶ βλασφημίας καὶ παράστασις ἔτι διὰ πλειόνων, ὅτι ἄκτιστον τοῦτό ἐστιν ὡς ἀληθῶς καὶ ἀΐδιον, οὐχὶ θεία φύσις ἡ πᾶσι παντάπασιν ἀνέκφαντος ὄν, ἀλλὰ τὸ περὶ αὐτὴν κατὰ τοὺς θεηγόρους ἀληθινὸν καὶ

ἐρασμιώτατον κάλλος, μόνοις τοῖς ἁγίοις καὶ νῦν ὡς ἐν ἀρραβῶνος μέρει κἀπὶ μέλλοντος αἰῶνος ἀδιαλείπτως ὑπάρχον μεθεκτόν τε καὶ θεωρητόν.

№ 44.

Συνοδικὸς τρίτος τόμος κατὰ τῆς Βαρλαὰμ καὶ Ἀκινδύνου πλάνης τοῖς προτέροις ὁμόλογος· ἐγένετο δὲ διὰ τοὺς ὕστερον ἀκολουθήσαντας τῇ τούτων πλάνῃ, τόν τε χρηματίσαντα Ἐφέσου καὶ Γάνου Γρηγορᾶν τε καὶ Δεξιὸν καὶ τοὺς αὐτοῖς συνυπαχθέντας (1351 ἔτους).

Οὔτε τὴν κατὰ τῆς ἐκκλησίας τοῦ κοινοῦ πολεμίου μανίαν ἀγνοεῖν οὐδένα νομίζομεν οὔτε τὴν παρὰ τοῦ Σωτῆρος ῥοπήν, δι' ἣν, μυρίων ἐπιῤῥυέντων αὐτῇ τῶν δεινῶν, οὐ τῶν βελῶν περιγίνεται μόνον, ἀλλὰ καὶ λαμπρὰ διαδείκνυται. Ἀπόδειξις δὲ τῆς μὲν ἐκείνου μανίας αἷμα Θεοῦ καὶ πάθος ἑκούσιον καὶ σταυρός, τῆς δὲ παρὰ τοῦ Θεοῦ συμμαχίας οἱ τὴν ἐκκλησίαν διώκοντες μαρτύριον ἀκριβές, οἱ μὲν εἰς εὐαγγελιστὰς μετασκευασθέντες, οἱ δὲ τρόπαιον τῆς τοῦ Θεοῦ δυνάμεως οὐ δι' ὧν ἀνεστάθησαν, ἀλλὰ δι' ὧν κατέπεσον ἀνακηρυχθέντες. Ἦν ταῦτα, καὶ τὸν κοινὸν πολέμιον οὐκ ἦν ἡρεμεῖν· ἀλλ' ὥσπερ ἑαυτοῦ καταγνούς, ὡς μὴ προσηκόντως βουλευσαμένου, οὐκ ἔθνει μικρῷ, ὥσπερ πάλαι τοῖς Ἰουδαίοις, τὸν κατὰ τῆς ἐκκλησίας πόλεμον ἐγχειρίζει, οἰκουμένην δὲ ὅλην πικρῶς κατ' αὐτῆς ὁπλίζει. Στρατηγοὶ δὲ αὐτῷ οἱ περὶ Διοκλητιανὸν καὶ Μαξιμῖνον καὶ Δέκιον καὶ εἴ τις κατ' ἐκείνους, οἳ τοσοῦτον αἰσχρῶς ἀπώλοντο, ὁπόσον καὶ πολεμεῖν ἐγνώκεισαν. Τῶν μὲν γὰρ οἴχεται τὸ μνημόσυνον μετ' ἤχου, τῆς δὲ τοῦ Θεοῦ ἐκκλησίας ὁ φθόγγος ἐξῆλθεν εἰς πᾶσαν τὴν γῆν· μαρτύριον δὲ τῆς δυνάμεως αὐτῆς ἀκριβέστατον οἱ τῶν μαρτύρων νεκροί, δαίμονας πάντας ἐλαύνοντες· οὕτως ἡ τοῦ Θεοῦ δύναμις ὑπερφυὴς καὶ διὰ τῶν συμφορῶν ἀναδείκνυται. Ἀλλ' ὁ πονηρὸς οὐδὲ παθὼν ἔγνω καὶ ταῦτα νήπιος ὤν, ἀλλ' ἑτέραν τραπόμενος προσβάλλει τῇ ἐκκλησίᾳ· τοῦ μὲν γὰρ φανερῶς πολεμεῖν καὶ λίαν ἀπέγνω, πρὸς φανερὰν αἰσχύνην ἀηδῶς ἔχων, τοὺς δὲ περὶ Σαβέλλιον καὶ Ἄρειον καὶ τοὺς εἰς ἐκείνους τελοῦντας ὑποδύς, πολυθείαν δῆθεν ἐκ τοῦ μέσου ποιήσασθαι βουλευόμενος, πείθει τοὺς ἀνοήτους προφάσει τῆς εἰς τὸν ἕνα τιμῆς ἥκιστα τὸν ἀληθῆ νομίζειν Θεόν. Ἀλλὰ καὶ τοῦτο κατ' αὐτὸς αὐτοῦ βουλευσάμενος ὤφθη, τοῦ πολέμου τούτου λάφυρον τῆς τοῦ Θεοῦ ἐκκλησίας λαβούσης τὸ τῆς Τριάδος ὁμότιμον.

Πολλοὺς δὲ καὶ ἄλλους κύκλους ὁ πονηρὸς οὗτος κατὰ τῆς ἐκκλησίας περιβαλλόμενος καὶ νῦν μὲν ὑποχωρῶν, νῦν δὲ προσβάλλων, ποτὲ μὲν δόγμασιν οὐδὲν ὑγιὲς ἔχουσι, ποτὲ δὲ ἡδοναῖς, αἷς ἐκεῖνος εἴωθε χαίρειν, ὧν τέλος ὁ ἀπὸ Θεοῦ χωρισμός, ἔσχατον τὸν Βαρλαὰμ ὑποδὺς ἐπιστρατεύει τῇ ἀληθείᾳ. Οὗτος δή, μοναχὸς ὢν καὶ τῆς Καλαβρίας ὁρμώμενος καὶ τῇ τῶν Ἑλλήνων παιδείᾳ πολὺς γεγονὼς καὶ ὅλον ἐκείνης ἑαυτὸν ἐξαρτήσας, κατὰ τῆς ἀληθείας χωρεῖ καὶ τῶν ἱερῶς ἀντεχομένων αὐτῆς, καὶ διθείαν τούτων κατηγορήσας, οὐ μόνον τὴν τρισυπόστατον καὶ πᾶσιν ἀμέθεκτον οὐσίαν τοῦ Θεοῦ ἄκτιστον εἶναι λεγόντων, ἀλλὰ καὶ τήν ἀίδιον καὶ θεοποιὸν καὶ τοῖς ἀξίοις μετεχομένην χάριν τοῦ Πνεύματος, συνόδου θείας ἐπὶ τούτοις συγκροτηθείσης, ἐξηλέγχθη καὶ ἀπεκηρύχθη παρὰ τῆς τοῦ Χριστοῦ ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, διὰ τῶν τοῖς ἁγίοις πατράσι θεολογικῶς συγγραφέντων τοῦ τῆς ἀληθείας λόγου προϊσταμένων τοῦ τε νῦν ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης τοῦ Παλαμᾶ καὶ τῶν μοναχῶν. Μετὰ μικρὸν δὲ τῆς ἐκείνου πονηρᾶς δόξης γενόμενος ὁ Ἀκίνδυνος, μηδαμῶς τῇ τοῦ διδασκάλου καταδίκῃ σωφρονισθεὶς μηδὲ βελτίων γενόμενος, τῶν αὐτῶν πάλιν ἐπὶ τοῖς αὐτοῖς κατηγορεῖν ἐπεχείρησεν, ἔξαρνος μὲν σὺν δόλῳ τοῦ διδασκάλου γινόμενος καὶ τὰ δεινότατα ἐπαρώμενος ἐκείνῳ καὶ μηδέποτε τὰ αὐτὰ τῷ Βαρλαὰμ ἢ φρονεῖν ἢ λέγειν ἰσχυριζόμενος, ἵν' ἐντεῦθεν αὐτῳ λέγειν ἐξῇ, οἷς δὲ ἔλεγεν τὸν κρυπτόμενον ὑποδεικνὺς Βαρλαὰμ καὶ τὴν αὐτὴν ἐκείνῳ πονηρὰν δόξαν καὶ φρονῶν καὶ λέγων καὶ συγγραφόμενος. Ταύτῃ τοι καὶ συνόδου συγκροτηθείσης δευτέρας, ἧς προεκάθητο ὁ νῦν κραταιὸς καὶ ἅγιος ἡμῶν αὐτοκράτωρ ὁ κύριος Ἰωάννης Καντακουζηνός, ἐξηλέγχθη τὰ αὐτὰ τῷ Βαρλαὰμ καὶ φρονῶν καὶ λέγων καὶ τῶν μοναχῶν κατηγορῶν. Δι' ἃ καὶ τὴν αὐτὴν τῷ Βαρλαὰμ ἐπεσπάσατο καταδίκην, τόμου προβάντος συνοδικοῦ κατὰ τῶν τοῦ Βαρλαὰμ ἐκείνου βλασφημιῶν, δι' οὗ παντὸς τοῦ χριστιανικοῦ πληρώματος ἀποκέκοπται, ὡς αὐτὸς οὗτος ὁ συνοδικὸς διέξεισι τόμος, πολλῶν τε ἄλλων ἕνεκεν καὶ ὅτι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως τὸ τοῖς συναναβᾶσιν αὐτῷ μακαρίοις μαθηταῖς καὶ ἀποστόλοις ὀφθὲν κτιστὸν ἐπεχείρει δεικνύναι καὶ περιγραπτὸν καὶ τῶν αἰσθητῶν φώτων πλέον ἔχειν οὐδέν· οὐχ οὗτος δὲ μόνον ὁ Βαρλαὰμ τῷ συνοδικῷ ἀποκεκήρυκται τόμῳ, ἀλλὰ ταῖς αὐταῖς ἐπιτιμίαις ἔνοχον ἑαυτὸν καθίστησι καὶ εἴ τις ἐκείνῳ ἑπόμενος τοῖς μοναχοῖς καὶ τῇ ἐκκλησίᾳ Θεοῦ πολεμεῖ, φησὶ γὰρ ἐπὶ λέξεως· «ἀλλὰ καὶ εἴ τις ἕτερός τι τῶν ὑπὸ τοῦ Βαρλαὰμ βλασφήμως καὶ κακοδόξως κατὰ τῶν μοναχῶν, μᾶλλον δὲ κατὰ τῆς ἐκκλησίας αὐτῆς λαληθέντων ἢ συγγραφέντων φανείη πάλιν τῶν

μοναχῶν κατηγορῶν ἢ ὅλως ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρὰ τῆς ἡμῶν μετριότητος καθυποβαλλόμενος, ἀποκήρυκτος ἔσται καὶ αὐτὸς καὶ ἀποτετιμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος».

Ἀλλ' ὡς εἶδεν ὁ ἐνεργῶν ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, κατὰ τὸ γεγραμμένον, πονηρὸς καὶ ἀρχέκακος δράκων, ὅτι κατὰ τῆς εὐσεβείας καὶ τῶν ἀσφαλῶς ἀντεχομένων αὐτῆς προσβαλών, ἀνδράσι χρησάμενος οὐκ ἐν ἀξιώμασιν ἐξεταζομένοις, ἥκιστα ἐδυνήθη διὰ ταῦτα τῶν κατὰ γνώμην τυχεῖν, ὑποδύεται τὸν εἰς πατριάρχας τότε τελοῦντα Ἰωάννην, σκεῦος ἄντικρυς τῆς ἐκείνου κακονοίας χωρητικόν. Ὃς ὁμοφρονήσας τῷ Ἀκινδύνῳ καὶ πολλὰ κατὰ τῆς εὐσεβείας καὶ τῶν ἀντι‹ποιου›μένων αὐτῆς, μᾶλλον δὲ κατ' αὐτὸς αὐτοῦ καὶ γράψας καὶ πράξας καὶ βουλευσάμενος· οὗτος γὰρ ἦν ὁ τὴν καταδίκην ἐγγράφως ἐπενεγκὼν τῷ ἀποκηρύκτῳ Βαρλαὰμ ἐκείνῳ· ἅμα καὶ τὴν ἐμφύλιον μάχην ὡς ἕρμαιον ἁρπάσας, εὗρε καὶ οὗτος τῆς ἑαυτοῦ σπουδῆς καὶ τῶν πονηρῶν βουλευμάτων ἀξίας τὰς ἀμοιβάς. Ἐξελεγχθεὶς γὰρ καθαιρεῖται, καὶ ἀποκηρυχθέντος καὶ τούτου συνοδικῇ διαγνώσει τόμος ἱερὸς ἐκτίθεται τῇ συνόδῳ, ἅμα μὲν ἀποδεικνὺς ἐκεῖνον τῆς Ἀκινδύνου κακοδοξίας ἐχόμενον, ἅμα δὲ καὶ τὴν πρὸς τοὺς ὀρθοδόξους αὐτοῦ σὺν οὐδενὶ λόγῳ μανίαν. Ὁ δὲ δὴ τόμος ὑπογραφαῖς ἀρχιερέων τριάκοντα τὸ βέβαιον ἔχων, οἷς συνεῖπε δι' ὑπογραφῆς ὕστερον καὶ ὁ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων, οὐ τὸν Ἀκίνδυνον οὐδὲ τὸν πατριαρχεύσαντα ἐκβάλλει μόνον τῆς καθολικῆς ἐκκλησίας καὶ τοῦ τῶν χριστιανῶν τελέως ἐκκόπτει πληρώματος, ἀλλὰ καὶ «εἴ τις», φησίν, «ἕτερος τῶν ἁπάντων τὰ αὐτά ποτε φωραθείη ἢ φρονῶν ἢ λέγων ἢ συγγραφόμενος κατὰ τοῦ εἰρημένου ἱερομονάχου κυροῦ Γρηγορίου τοῦ Παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν, μᾶλλον δὲ κατὰ τῶν ἱερῶν θεολόγων καὶ τῆς ἐκκλησίας αὐτῆς, τὰ αὐτὰ ‹καὶ› κατ' αὐτοῦ ψηφιζόμεθα καὶ τῇ αὐτῇ καταδίκῃ καθυποβάλλομεν, εἴτε τῶν ἱερωμένων τίς εἴη, εἴτε τῶν λαϊκῶν. Αὐτὸν δὲ τοῦτον τὸν πολλάκις ῥηθέντα τιμιώτατον ἱερομόναχον κῦρον Γρηγόριον τὸν Παλαμᾶν καὶ τοὺς αὐτῷ συνάδοντας μοναχοὺς μηδὲν ἀπᾴδον τῶν θείων λογίων γράφοντάς τε καὶ φρονοῦντας μετ' ἐξετάσεως καταλαβόντες ἀκριβῶς, μᾶλλον δὲ τῶν θείων λογίων καὶ τῆς κοινῆς ἡμῶν εὐσεβείας καὶ παραδόσεως πᾶσι τρόποις, ὡς προσῆκεν, ὑπερμαχοῦντας, οὐκ ἀνωτέρους μόνον παντάπασι τῶν κατ' αὐτῶν, μᾶλλον δὲ κατὰ τῆς τοῦ Θεοῦ ἐκκλησίας, ἐρεσχελιῶν, ὡς καὶ ὁ πρώην συνοδικὸς τόμος, ἔχομεν, ἀλλὰ καὶ ἀσφαλεστάτους τῆς ἐκκλησίας καὶ τῆς εὐσεβείας προμάχους τε καὶ προαγωνιστὰς καὶ βοηθοὺς ταύτης ἀποφαινόμεθα. Οὕτω γὰρ καὶ ὁ ἐπὶ ταῖς

συνόδοις ἐκείναις προβὰς τόμος ἔξει, καθάπερ οὖν ἔχει, τὸ ἀσφαλές τε καὶ βέβαιον». Ἀλλ' ὁ ἐπὶ τοῖς ἡμετέροις κακοῖς χαίρων ἀεὶ οὐδ' οὕτως ἡσυχίαν ἄγειν ἐγνώκει, οὐδὲ γὰρ ὀργάνων ἀπορῶν περιήει ταῦτα ζητῶν, ἀλλ' ἔχων ἔτι τινὰς παρὰ τὸν Βαρλαὰμ καὶ Ἀκίνδυνον ἐκεῖνον φοιτήσαντας καὶ τὰ ἐκείνων ἐσχάτως νοσοῦντας, δι' ἐκείνων ὑφ' ἑαυτὸν ποιεῖται τόν τε χρηματίσαντα Ἐφέσου καὶ τὸν Γάνου, Γρηγορᾶν τε καὶ Δεξιόν· ⟨οἳ⟩ καὶ σύστημα ποιησάμενοι καὶ ἄλλους προσεταιρισάμενοι ἀνθρωπίσκους οὐδὲν ὑγιὲς διανοηθέντας οὐδέποτε, θόρυβον ἐγείρουσι κατὰ τῆς ἐκκλησίας Θεοῦ, σπουδὴν ποιούμενοι ἀποπλανᾶν τοὺς πολλοὺς καὶ τῆς ἐκκλησίας ἀποτέμνειν ἐλεεινῶς, δοξαν ἑαυτοῖς ἐκ τούτων πορίζειν οἰόμενοι. Ἐδέησε γοῦν διὰ ταῦτα σύνοδον συγκροτηθῆναι μεγάλην, τοῦ γαληνοτάτου βασιλέως ἡμῶν ἔλεον λαβόντος τῶν ἀπολλυμένων ψυχῶν. Δι' ὁ καὶ μεταπεμφθέντες παρὰ τῆς ἐκ Θεοῦ κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτοῦ καὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Καλλίστου, οἱ ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι, ὅ τε Ἡρακλείας, ὁ Θεσσαλονίκης, ὁ Κυζίκου, ὁ Φιλαδελφείας, ὁ Χαλκηδόνος, ὁ Μελενίκου, ὁ Ἀμασείας, ὁ Ποντοηρακλείας, ὁ Πηγῶν, ὁ Βερροίας, ὁ Τραπεζοῦντος,, ὁ Τραϊανουπόλεως, ὁ Σηλυβρίας, ὁ Ἄπρω, ὁ Ἀμάστριδος, ὁ Αἴνου, ὁ Σουγδαίας, ὁ Βρύσεως, ὁ Μαδύτων, ὁ Βιζύης, ὁ Γαρέλλης, ὁ Μηδίας, ὁ Τενέδου, ὁ Καλλιουπόλεως, ὁ Ἐξαμιλίου, ὄντων καὶ διὰ γνωμῶν τοῦ Ἀνδριανουπόλεως, τοῦ Χριστουπόλεως, τοῦ Διδυμο[υ]τείχου, παρόντων καὶ θεοφιλεστάτων ἐπισκόπων τοῦ Πανεί[δ]ου, τοῦ Χαριουπόλεως, τοῦ Παμφύλου, τοῦ Ἀθύρος, τοῦ Καμπανείας, τοῦ Σινάου, τοῦ Ἐλευθερουπόλεως, προκαθεσθέντος τοῦ γαληνοτάτου καὶ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως κυροῦ Ἰωάννου Καντακουζηνοῦ, ἐν τῷ τρικλίνῳ τῷ οὕτω πως ἐπιλεγομένῳ Ἀλεξιακῷ τοῦ παλατίου τῶν ἱερῶν Βλαχερνῶν, συνεδριάζοντος τῇ ἁγίᾳ βασιλείᾳ αὐτοῦ καὶ τοῦ ἁγιωτάτου καὶ οἰκούμενινοῦ πατριάρχου κυροῦ Καλλίστου καὶ ἔτι τοῦ περιποθήτου αὐταδέλφου τῆς ἁγίας βασιλείας αὐτοῦ τοῦ πανευτυχεστάτου σεβαστοκράτορος κυροῦ Μανουὴλ τοῦ Ἀσάνη καὶ ἔτι τοῦ περιποθήτου αὐταδέλφου τῆς ἁγίας βασιλείας αὐτοῦ κυροῦ Μιχαὴλ τοῦ Ἀσάνη, ἀλλὰ δὴ καὶ τοῦ περιποθήτου ἀνεψιοῦ τῆς ἁγίας βασιλείας αὐτοῦ πανυπερσεβάστου κυροῦ Ἀνδρονίκου τοῦ Ἀσάνη, παρακαθημένων τῆς συγκλήτου σὺν τοῖς ἀρχιερεῦσι καὶ ἐκκλησιαστικοῖς ἄρχουσι καὶ συνειλεγμένων τῶν τε ἡγουμένων καὶ ἀρχιμανδριτῶν τῶν ἐν τῇ εὐδαίμονι ταύτῃ πόλει ἔτι τε τῶν ἱερομονάχων καὶ ἱερέων καὶ μοναχῶν οὐκ ὀλίγων, οὐκ ἀπόντων καί τινων τῶν τῆς πολιτείας ἀρχόντων, περιεστηκότος δὲ καὶ λαοῦ, ὅσον ἐν τούτοις φιλήκοον, προεκλήθησαν καὶ οἱ θορυβοῦντες καὶ τὴν ἐκκκλησίαν κατατέμνοντες οὗτοι

καὶ ἠρωτήθησαν, τίνος ἕνεκεν, βασιλέως εὐσεβῶς ζῶντος, παρ' αὐτῶν τοιαῦτα κατὰ τῆς εὐσεβείας τολμᾶται. Οἳ δὲ ἠτιάσαντο προσθήκην τινὰ ἐν τῇ ὁμολογίᾳ τῶν χειροτονουμένων ἀρχιερέων γεγενημένην, ἐν αἰτίαις δὲ ἐποιοῦντο καὶ τὸν Θεσσαλονίκης, ἐπειδὴ σκανδαλίζεσθαι ἔλεγον κατ' αὐτοῦ ἔν τισι τῶν πρὸς Βαρλαὰμ καὶ Ἀκίνδυνον ἀντιῤῥητικῶς αὐτῷ συγγεγραμμένων. Ὁ δὲ Θεσσαλονίκης «λοιπὸν ὑμεῖς» αὐτοῖς εἶπε «τὰ ἐκείνων φρονεῖτε»; οἳ δὲ κατὰ μίμησιν Ἀκινδύνου, ὡς ἐκεῖνος ἔξαρνος ἐγίνετο τοῦ καθηγησαμένου αὐτῷ τῆς πλάνης Βαρλαάμ, οὕτως οὐτοι τούτων ἀμφοτέρων. Ὁ δὲ Θεσσαλονίκης ἀνθυποφέρων «καὶ μήν» φησίν «οἱ πλείους τῶν ἀντιλέγειν προῃρημένων ἡμῖν, φανερῶς τῆς Βαρλαὰμ καὶ Ἀκινδύνου κακοδόξίας προιστάμενοι, μέχρι καὶ εἰς δεῦρο ἀμεταμέλητοι διετέλεσαν· οἷς καὶ οἱ λοιποὶ συντεταγμένοι φανεροὶ πάντως ἐστέ, πρὸς ἐκείνους ὥσπερ παράδειγμα ἕνεκά γε δογμάτων ἀκριβῶς ἀφορῶντες». Ἐπὶ τούτοις ἡ θεία σύνοδος «πρὸς ἣν φατὲ δυσχεραίνειν» φησί «προσθήκην, ἥτις οὐδὲ προσθήκη ἂν καλοῖτο δικαίως, ὡς ἀνάπτυξις οὖσα τῆς οἰκουμενικῆς ἕκτης συνόδου, οὐδὲν ἕτερόν ἐστιν ἢ ἀποκήρυξις Βαρλαὰμ τε καὶ Ἀκινδύνου, ἣν οἱ μεμφόμενοι δῆλοι πάντως τοῖς καὶ ὁπωσοῦν συνιεῖσίν εἰσι τῶν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου ἀντιποιούμενοι». Οἳ δὲ καὶ πάλιν ἠρνοῦντο μὴ τοῖς ἐκείνων στοιχεῖν· ὡς δὲ καὶ λέγειν ἤρξαντο ἐν οἷς ἐσκανδαλίζοντο, λέξεσιν αὐταῖς ἠτιῶντο ἅπερ καὶ Βαρλαὰμ καὶ Ἀκίνδυνος πρότερον κατά τε τοῦ Θεσσαλονίκης καὶ τῶν μοναχῶν διεξῄει. Τῶν δὲ καὶ ἀπὸ τούτων δήλων γεγενημένων τὰ ἐκείνων ἀνιάτως νοσούντων, ἔδοξε τῷ θειοτάτῳ καὶ ἁγίῳ βασιλεῖ, συνειρηκότος καὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου καὶ πάσης τῆς ἱερᾶς συνόδου, ὡς ἂν τῆς περὶ τῶν προκειμένων δογμάτων ζητήσεως ἀπ' ἀρχῆς εἰς τέλος βασανισθείσης τἀληθὲς ἐν τούτοις διαγνωσθῇ. Τοῦτο δὴ καὶ τοῦ Θεσσαλονίκης ἐπαινέσαντος, ἐκεῖνοι παντελῶς ἀπηγόρευον· ἀλλὰ καὶ ἀπαιτούμενοι φανερὰν τὴν οἰκείαν περὶ τῶν προκειμένων ἐκθέσθαι δοξαν οὐδαμῶς ἤθελον, πρόφασιν σκανδάλων τὰ προειρημένα ποιούμενοι. Λόγων δὲ κινηθέντων πολλῶν κατὰ τὴν πρώτην ταύτην συνέλευσιν, τὰ μὲν τῆς ἐνστάσεως ταύτης διελύθη, κεκύρωται δὲ ἐγγράφως, ὡς ἂν ἐν τῇ δευτέρᾳ συνελεύσει ἄρξωνται μὲν οὐτοι δή, οἱ πρὸς τὴν ἐκκλησίαν διαφερόμενοι, ὅθεν ⟨ἂν⟩ βούλωνται καὶ εἴπωσιν ὅσα βούλωνται· εἶτα μετ' αὐτοὺς ὁ Θεσσαλονίκης ἀρξάμενος ὅθεν ἂν βουληθῇ, εἴπῃ πάντα τὰ κατὰ γνώμην αὐτῷ. Συγκροτηθείσης δὲ καὶ δευτέρας συνελεύσεως, ἁπαντῶσι κἀκεῖνοι, καὶ ἀρξάμενοι εἶπον κατὰ τοῦ Θεσσαλονίκης ὅσα ἐβούλοντο· ἀρξαμένου δὲ καὶ τοῦ Θεσσαλονίκης πρὸς ἔπος τοῖς παρ' ἐκείνων προβεβλημένοις ἁπαντᾶν,

τούς τε λόγους συνέχεον καὶ πρὸς φυγὴν ὥρμησαν, καὶ πολλὰ βιασθέντες οὐκ ἠνέσχοντο παραμεῖναι, δόντες δὲ ὑποσχέσεις εἰς ἑτέραν συνέλευσιν ἐνδημῆσαι πάλιν, φεύγουσι μηδενὸς διώκοντος πρὸ τοῦ νενομισμένου καιροῦ.

Ὁ δὲ Θεσσαλονίκης, προτραπεὶς παρά τε τοῦ ἐκ Θεοῦ βασιλέως ἡμῶν καὶ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, ὡμίλησε παῤῥησίᾳ πλατύτερον πᾶσι περὶ τῶν προκειμένων εἰς ζήτησιν τῇ ἐκκλησίᾳ δογμάτων, καὶ πάντες ⟨καὶ⟩ ἐπῄνεσαν καὶ συνῄνεσαν. Ἐπεὶ δὲ καὶ τοῦτο προσέθηκε λέγων, ὡς «ἕτερόν ἐστιν ἡ ὑπὲρ τῆς εὐσεβείας ἀντιλογία καὶ ἕτερον ἡ τῆς πίστεως ὁμολογία, καὶ ἐπὶ μὲν τῆς ἀντιλογίας οὐκ ἀνάγκη περὶ τὰς λέξεις ἀκριβολογεῖσθαι τὸν ἀντιλέγοντα, ὡς καὶ ὁ μέγας φησὶ Βασίλειος, ἐπὶ δὲ τῆς ὁμολογίας ἀκρίβεια διὰ πάντων ⟨τηρεῖται καὶ⟩ ζητεῖται· καὶ διὰ τοῦτο τοῖς ἐμαυτοῦ πρὸς Βαρλαὰμ καὶ Ἀκίνδυνον ἀντιῤῥητικοῖς λόγοις συνέταξα καὶ ἣν παρὰ τῶν ἁγίων ἐδεξάμην ὁμολογίαν τῆς πίστεως, ἵνα οἱ ἐντυγχάνοντες τοῖς ἡμετέροις ἐκ τῆς ὁμολογίας μανθάνοιεν τὸν τῆς ἀντιλογίας σκοπόν», ἐζήτησεν ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς τὴν τοιαύτην ὁμολογίαν· καὶ προκομισθείσης ἀναγνωσθῆναι ταύτην ἐκέλευσεν. Οὗ γεγονότος, ἕκαστος ἠρωτήθη, ὡς ἔχει γνώμης περὶ ταύτης εἰπεῖν· καὶ οὐδεὶς ἦν ὃς οὐκ ἐγκωμίων ἐμνήσθη περὶ ἐκείνης ἀποφαινόμενος, ἅμα τόν τε Θεσσαλονίκης θαυμάζων καὶ εὐχόμενος ἑαυτῷ τοῖς τῆς ὁμολογίας ἐκείνης συναπελθεῖν δόγμασι καὶ μετ' ἐκείνης ἐμφανισθῆναι τῷ κριτῇ ζώντων καὶ νεκρῶν κατὰ τὴν τῆς κοινῆς ἀπολογίας ἡμέραν. Καὶ ἡ μὲν δευτέρα συνέλευσις ἐν τούτοις ἐτελεύτησεν. Συγκροτεῖται δὲ καὶ ἡ μετ' αὐτήν· ἀπαντήσαντες δὲ κἀκεῖνοι τὴν οἰκείαν ὁμολογίαν ἀναγνωσθῆναι ζητοῦσιν. Οὗ γεγενημένου, ἐν τῷ τέλει καὶ τοῦτο προσκείμενον ἦν· «περὶ δὲ Βαρλαὰμ καὶ Ἀκινδύνου, οὕτω περὶ ἐκείνων ἔχομεν γνώμης, ὡς καὶ ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία περὶ τῶν τοιούτων φρονεῖ». Πολλῶν δὲ μεταξὺ λόγων κινηθέντων, ἤρξαντο οἱ διαφερόμενοι τῆς κατὰ τοῦ Θεσσαλονίκης κατηγορίας· ἣ δὲ ἦν τοιάδε· ὡς ἄρα ἔν τισι τῶν ἑαυτοῦ συγγραμμάτων γράφει πολλάκις δύω καὶ πολλὰς θεότητας καὶ ταύτας ὑπερκειμένας τε καὶ ὑφειμένας Καὶ τοῦτον τὸν λόγον πολλάκις εἰπόντων καὶ περικροτησάντων καὶ ταύτας δὴ τὰς φωνὰς καταιτιωμένων, ὁ εὐσεβέστατος βασιλεὺς ἐπὶ τούτοις γενέσθαι ἡμῖν φανερὸν ἐκέλευσεν, «πότερον τῶν λαληθέντων ἐν αἰτίαις ποιεῖσθε τὰς λέξεις αὐτὰς ἢ τὰ διὰ τῶν λέξεων δηλούμενα πράγματα ἢ καὶ ἀμφότερα; Εἰ μὲν δὴ ὁ πόλεμος πρὸς τὰ πράγματα, τί τῇ σκιᾷ τοῦ πράγματος πολεμεῖν, τῇ λέξει παρακαθήμενος; ἐξεταστέον γὰρ δὴ αὐτὰ γυμνὰ τὰ πράγματα, καὶ παρὰ τῶν θεολόγων τὴν ἐν τούτοις ἀλήθειαν ζητητέον· εἰ δέ,

τοῖς πράγμασι σύμφωνοι διατελοῦντες, τῇ λέξει μέμφεσθε, ἀλλ' ἡμεῖς γε οὐ λέξεων ἕνεκεν ἐνταῦθα συνεληλύθαμεν· οὐδὲ γὰρ περὶ τῶν ὀνομάτων, κατὰ τὸν θεολόγον, ζυγομαχήσομεν, κίνδυνον οὐδένα εἰδότες περὶ τὰς λέξεις, ἑως ἂν ὁ νοῦς ὑγιαίνειν δοκῇ».

Ἐπὶ τούτοις ὁ Θεσσαλονίκης «λέξεων ὀλίγος λόγος ἐμοί» ἔφη· οὐ γὰρ ἐν ῥήμασιν ἡμῖν, ἀλλ' ἐν πράγμασιν ἡ ‹ἀλήθειά τε καὶ ἡ› εὐσέβεια, κατὰ τὸν θεολόγον Γρηγόριον· περὶ δὲ δογμάτων καὶ πραγμάτων τὸν ἀγῶνα ποιοῦμαι, κἄν τις ἐπὶ τῶν πραγμάτων ὁμοφωνῇ, πρὸς τὰς λεξεις οὐ διαφέρομαι. Πρὸς δὲ τὴν παρὰ τῶν ἀντιλεγ‹όντ›ων προφερομένην κατηγορίαν ἐκεῖνο λέγω· δύω μὲν ἐγὼ θεότητας ἢ πολλὰς καὶ διαφορους ἐπὶ τῆς ἁγίας Τριάδος, ὡς ἄλλην μὲν εἶναι τοῦ Πατρός, ἄλλην δὲ τοῦ Υἱοῦ, ἄλλην δὲ τοῦ Πνεύματος, οὔτε ἐφρόνησα οὔτε φρονῶ οὔτε μὴν φρονήσω τῇ χάριτι τοῦ Χριστοῦ· ἀλλὰ καὶ τοὺς οὕτω φρονοῦντας καθυποβάλλω τῷ ἀναθέματι· ἀλλ' οὐδὲ ἄλλο τί φημι θεοτητα ἐκτὸς τῆς τρισυποστάτου Θεότητος, οὔτε οὐσίαν θείαν ἢ ἀγγελικὴν οὔτε ὑπόστασιν, κατὰ τὸν μέγαν Διονύσιον, ἀλλ' ἐνεργείας θείας καὶ προοδους τινὰς φύσει προσούσας καὶ ἐξ ἀιδίου τῷ Θεῷ τῷ τῆς Θεοτητος ὀνόματι προσηγόρευσα, τοῖς ἁγίοις οἰόμενος σύμφωνα λέγειν. Ἀλλ' οὐδὲ ταῦτα εἶπον ἄν, εἰ μὴ πρὸς ἀνάγκην ἦλθον παρὰ τοῦ ἀντιλέγοντος καὶ κατὰ ἀντιπαράστασιν καὶ πρὸς ἐκεῖνον ἀγωνιζόμενος, μόνην ἄκτιστον λέγοντα Θεότητα τὴν οὐσίαν τοῦ Θεοῦ, πᾶσαν δὲ δύναμιν καὶ ἐνέργειαν θείαν, τῆς οὐσίας διαφέρουσαν, εἰς κτίσμα κατασπῶντα. Ἄλλως τε καὶ τοῦτ' εἶπον, οὐ πολλὰς ἐντεῦθεν συνάγων θεότητας, ὡς αὐτοὶ καταψεύδονται· καὶ δῆλον ἐκ τῶν ἐμῶν συγγραμμάτων, τῶν τε ἄλλων καὶ τῆς ὁμολογίας· ἐν πᾶσι γὰρ οὕτω τοῦτο προάγεται παρ' ἐμοῦ, ὡς ὑπὸ τῶν ἀντιλεγόντων μὲν λεγόμενον, ὑπ' ἐμοῦ δὲ μὴ στεργόμενον· μίαν γὰρ οἶδα Θεότητα, τὴν αὐτὴν τρισυπόστατον καὶ παντοδύναμον καὶ ἐνεργῇ. Πλὴν οὔτε τότε περὶ τῶν λέξεων ὁ σκοπὸς ἐμοί, ἀλλ' ἅπας ὁ ἀγὼν περὶ τῶν πραγμάτων, οὔτε νῦν περὶ ὀνομάτων καὶ συλλαβῶν διαφέρομαι, ἀλλὰ τῶν πραγμάτων εὐσεβῶς ἀνακηρυχθέντων, Χριστοῦ χάριτι ἕτοιμος εἰμι πᾶν, ὅπερ ἂν ἡ θεία σύνοδος περὶ τῶν λέξεων διαγνῷ, καὶ στέρξας ἀποδέξασθαι». Ἐφ' οἷς ὁ τε εὐσεβέστατος καὶ γαληνότατος βασιλεὺς καὶ ἡ θεία σύνοδος τὸν Θεσσαλονίκης ἀποδεξάμενοι διὰ πάντων τῆς εὐσεβοῦς διανοίας, ᾗ περὶ τὰ θεῖα κεχρημένος διατελεῖ, καὶ μάλιστα τῆς εὐγνωμοσύνης αὐτὸν ἐπαινέσαντες, θεότητας μὲν δύω ἢ πολλάς, ἢ ὅλως ἀριθμὸν θεοτήτων μήτε λέγεσθαι μήτε μὴν νοεῖσθαι ἀσφαλῶς διωρίσαντο· μηδὲ γὰρ εἰρῆσθαι τοῦτο παρὰ τῶν θεολόγων ‹ῥητῶς·› διαφορὰν

μέντοι οὐσίας θείας καὶ θείας ἐνεργείας, ἥ καὶ θείων ἐνεργειῶν, καὶ μάλα καὶ νοεῖσθαι καὶ λέγεσθαι προετρέψαντο, διαῤῥήδην τοῦ τοιούτου δόγματος παρὰ τῆς ἐκκλησίας κεκηρυγμένου, ὡς καὶ κατωτέρω διαδειχθήσεται· ὁ δὲ Θεσσαλονίκης προθύμως καὶ λίαν ἀσμένως τοῦτο κατεδέξατο. Καὶ ἡ μὲν τρίτη συνέλευσις ἐν τούτοις ἐτελεύτησεν. Γενομένης δὲ καὶ τετάρτης, ἤρξαντο πάλιν οἱ διαφερόμενοι λέξεις τινὰς αἰτιᾶσθαι ἐμφερομένας ἐν τοῖς τοῦ Θεσσαλονίκης συγγράμμασι, τῶν πραγμάτων ἀφέμενοι. Τοῦ δὲ θειοτάτου βασιλέως καὶ τῆς συνόδου τῆς τῶν πραγμάτων ἐξετάσεως γενομένων καὶ παρὰ τῶν τῆς ἐκκλησίας θεολόγων τὰς ἀποδείξεις τῶν προβεβλημένων ζητούντων, προεκομίσθη ὁ κατὰ τοῦ Βαρλαὰμ ἐκτεθεὶς συνοδικὸς τόμος, ὅς, ἀναγνωσθεὶς κελεύσει θείᾳ τοῦ γαληνοτάτου βασιλέως καὶ ἡμῶν, κοινωνοὺς διὰ πάντων τῆς τοῦ Βαρλαὰμ κακοδοξίας τοὺς διαφερομένους ἀπέδειξεν. Οὐ γὰρ ἠνέσχοντο μὴ διὰ τέλους ἀντιλέγειν τοῖς ἐκεῖ γεγραμμένοις περί τε ἄλλων καὶ μάλιστα περὶ τοῦ θειοτάτου φωτὸς τῆς τοῦ Κυρίου μεταμορφώσεως· οὐ μήν, ἀλλ' ἐρωτωμένων τοῦ τε Θεσσαλονίκης καὶ τῶν διαφερομένων τῇ ἐκκλησίᾳ, ὅπως ἔχουσι δοξης περὶ τοῦ θειοτάτου φωτός, ὁ μὲν δι' ὧν τε εἶπε καὶ ὧν ἀνέγνω εἰς ἐπήκοον πάντων ἐκ τῶν ἑαυτοῦ συγγραμμάτων, διὰ πάντων ἀνεφαίνετο ἀσφαλῶς τῆς τῶν θεολόγων διανοίας ἐξηρτημένος, οἱ δὲ δι' ὧν τε εἶπον καὶ ὧν ἐάλωσαν συγγραφόμενοι ἐξηλέγχθησαν διχοτομοῦντες εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν θεότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος τῷ τὴν μὲν οὐσίαν τοῦ Θεοῦ ἄκτιστον λέγειν θεότητα, ἐστερημένην πάσης δυνάμεως καὶ ἐνεργείας θείας, πᾶσαν δὲ δύναμιν καὶ ἐνέργειαν Θεοῦ καὶ ἁπλῶς τὸ τούτου παντοδύναμον ἀθετοῦντές ‹τε› καὶ ἀρνούμενοι καὶ εἰς κτίσμα κατασπῶντες τὸν Θεὸν καὶ δύω λέγοντες αὐτοὶ θεότητας, ἄκτιστόν τε καὶ κτιστήν, ὑπερκειμένην τε καὶ ὑφειμένην ὄντως· ἐπεὶ καὶ τὸ ἐν ‹τῷ› Θαβωρίῳ λάμψαν φῶς τῆς Θεότητος ποτὲ μὲν οὐσίαν ἔλεγον εἶναι Θεοῦ, ποτὲ δὲ φάσμα καὶ παραπέτασμα καὶ ἴνδαλμα καὶ κτίσμα, ὡς εἶναι κατ' αὐτοὺς τὸ αὐτὸ κτίσμα καὶ οὐσίαν Θεοῦ. Προεκομίσθησαν δὲ παρὰ τοῦ Θεσσαλονίκης καὶ γράμματα ἐκείνων οἰκειόχειρα, ἐν οἷς κατηγόρουν αὐτοῦ ἄκτιστον εἶναι λέγοντος τὸ θειότατον ἐκεῖνο φῶς καὶ ἔλλαμψιν, ἀλλ' οὐκ οὐσίαν Θεοῦ. Ἀλλὰ καὶ δι' ὧν κατηγόρουν τοῦ Θεσσαλονίκης, ὡς πολλὰς λέγοντος θεότητας, ἐπειδήπερ πάσας τὰς θείας καὶ κοινὰς τῶν τριῶν ὑποστάσεων δυνάμεις τε καὶ ἐνεργείας ἀκτίστους εἶναι διατείνεται, φανεροὶ γεγόνασιν, ὡς οὐ πρὸς τὰς λέξεις αὐτοῖς ὁ πόλεμος, ἀλλ' ὅτι οὔτε διμφορὰν θείας οὐσίας καὶ θείας ἐνεργείας οὔτε μὴν ἄκτιστον εἶναι τὴν θείαν καὶ παντοδύναμον ἐνέργειαν νομίζουσι. Ἐφ' οἷς προτεθέν-

των τῶν θεολόγων τῆς ἐκκλησίας, ἀνεγνώσθη ἀπὸ μὲν τοῦ μεγάλου Βασιλείου πολλά τε ἄλλα καὶ δὴ καὶ ταῦτα· «εἰ γὰρ οὐδὲν ὅλως ἐπὶ Θεοῦ κατ' ἐπίνοιαν ὁ Εὐνόμιος θεωρεῖ, ἵνα μὴ δόξῃ ἀνθρωπίναις τὸν Θεὸν σεμνύνειν προσηγορίαις, πάντα ὁμοίως οὐσίαν ὁμολογήσει τὰ ἐπιλεγόμενα τῷ Θεῷ· πῶς οὖν οὐ καταγέλαστον τὸ δημιουργικὸν οὐσίαν εἶναι λέγειν, τὸ προνοητικὸν πάλιν οὐσίαν, τὸ προγνωστικὸν ὡσαύτως καὶ ἁπαξαπλῶς πᾶσαν ἐνέργειαν οὐσίαν τίθεσθαι»; Ἀπὸ δὲ τοῦ θεολόγου Δαμασκηνοῦ ἐν οἷς περὶ τῶν δύω ἐνεργειῶν τῶν ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ διδάσκει λέγων· «ἰστέον ὡς ἄλλο ἐστὶν ἐνέργεια καὶ ἄλλο ἐνεργητικὸν καὶ ἄλλο ἐνέργημα καὶ ἄλλο ἐνεργῶν· ἐνέργεια μὲν οὖν ἐστιν ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις, ἐνεργητικὸν δὲ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν, ἐνέργημα δὲ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα, ἐνεργῶν δὲ ὁ κεχρημένος τῇ ἐνεργείᾳ ἤτοι ἡ ὑπόστασις». Ὁ δὲ θεῖος Μάξιμος ἐν τῷ κεφαλαίῳ τῷ ἐπιγεγραμμένῳ· «Ἐκ τῆς ἐπὶ σεκρέτου διαλέξεως» «πάντως», φησίν, «ἀνάγκη ἐπὶ Χριστοῦ θελήσεις λέγεσθαι καὶ ἐνεργείας καὶ πᾶσα ἀνάγκη· οὐδὲν γὰρ τῶν ὄντων χωρὶς ἐνεργείας φυσικῆς ὑφέστηκεν, οἱ γὰρ ἅγιοι πατέρες φανερῶς λέγουσι μήτε εἶναι μήτε γινώσκεσθαι χωρὶς τῆς οὐσιώδους αὐτῆς ἐνεργείας τὴν οἱανδήποτε φύσιν».

Ἐπειδὴ δὲ οἷς ἔλεγον μὴ μόνον τοῖς ἁγίοις διετέλουν καθ' ἕνα μαχόμενοι, ἀλλ' ἤδη καὶ αὐτὴν τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον ἀνατρέπειν καὶ καταλύειν ἐπεχείρουν, ᾗ δὴ οὐκ ἄλλος ἦν ὁ σκοπός, περὶ δὲ τῶν δύω φυσικῶν θελημάτων καὶ τῶν δύω φυσικῶν ἐνεργειῶν τῶν ἐν τῷ Κυρίῳ <καὶ Θεῷ> ἡμῶν Ἰησοῦ Χριστῷ πᾶσα ἡ πρόθεσις γέγονε, καὶ ἦν ἀνάγκη διὰ ταῦτα προκομισθῆναι τὰ τῆς τοιαύτης συνόδου πρακτικὰ καὶ ἀναγνωσθῆναι καὶ ἀπὸ τούτων τὸ εὐσεβὲς ἀνακηρυχθῆναι, τὰ μὲν [γαρ] προετέθησαν ἐπὶ τοῦ μέσου· οἱ δ' εὐθὺς ἅμα τῷ προτεθῆναι ἀνέκραξαν· «μὴ τὰ πρακτικὰ τῆς συνόδου, ἀλλὰ τὸν ὅρον μόνον ἀνάγνωθι». Τῆς δὲ θείας συνόδου διαπορουμένης, ὅτι ποτὲ βούλεται ἡ τοιαύτη φωνὴ καὶ ἀνθ' ὅτουπερ ἀποδοκιμάζουσι καὶ οὐ δέχονται τὰ πρακτικά, ἐκεῖνοι καὶ οὕτω τῆς αὐτῆς περιέργου κακονοίας καὶ διεστραμμένης γνώμης οὐδ' ὁπωσοῦν ἀφίσταντο, τῶν πρακτικῶν μηδόλως προσιέμενοι τὴν ἀνάγνωσιν. Ἐπὶ τούτοις κελεύσει θείᾳ του γαληνοτάτου βασιλέως ἡμῶν ἀνεγνώσθη ῥῆσις ἀπὸ τοῦ συνήθως ἐπὶ ἄμβωνος ἀναγινωσκομένου τῇ κυριακῇ τῆς ὀρθοδοξίας συνοδικοῦ, ἥτις καὶ ἐπὶ λέξεως ἔχει οὕτως· «τοῖς ἀποβαλλομένοις τὰς τῶν ἁγίων πατέρων φωνὰς τὰς ἐπὶ συστάσει τῶν ὀρθῶν δογμάτων τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐκφωνηθείσας, Ἀθανασίου, Κυρίλλου, Ἀμφιλοχίου τοῦ θεηγόρου, Ἀμβροσίου,

Λέοντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης καὶ τῶν λοιπῶν, ἔτι ⟨τε⟩ καὶ τὰ τῶν οἰκουμενικῶν συνόδων πρακτικά, τῆς τετάρτης τε, φημί, καὶ της ἕκτης μὴ κατασπαζομένοις ἀνάθεμα». Ἐπὶ τούτοις ἀνεγνώσθη ⟨καὶ⟩ ῥῆσις τῶν πρακτικῶν ἔχουσα ἐπὶ λέξεως οὕτως· «τίς γάρ, εἰ καὶ βραδὺς εἴη πρὸς τὸ νοῆσαι, οὐ θεωρήσει ὅπερ πᾶσι φαίνεται, ὅτι ἀδύνατον καὶ παρὰ τὴν τάξιν τῆς φύσεώς ἐστι δύνασθαι εἶναι φύσιν καὶ ἐνέργειαν μὴ εἶναι φύσεως, ὅπερ οὐδὲ ἀπὸ τῶν αἱρετικῶν ποτε ἐδοκιμάσθη λέγεσθαι, οἵτινες πάσας τὰς ἀνθρωπίνας πανουργίας καὶ σκολιὰς ζητήσεις κατὰ τῆς ὀρθότητος τῆς πίστεως καὶ συναθροισμοὺς ταῖς φαυλότησιν αὐτῶν προσφόρους ἐφεῦρον. Πῶς οὖν ὅπερ οὔτε ἀπὸ τῶν ἁγίων πατέρων ἐρρέθη ποτὲ οὔτε ἀπὸ τῶν βεβήλων αἱρετικῶν τετόλμηται εὑρεθῆναι ἐπὶ τοῦ παρόντος δυνήσεται προπετευθῆναι, ἵνα τῶν δύω φύσεων τοῦ Χριστοῦ, τῆς θείας δηλονότι καὶ τῆς ἀνθρωπίνης, ὄντινων αἱ ἰδιότητες ἀκέραιοι εἶναι γνωρίζονται ἐν Χριστῷ, μίαν ἔχειν ἐνέργειαν; Τίς ποτε ὀρθῶς φρονῶν δυνήσεται ἀποδεῖξαι; ὁπόταν, ἐὰν «μία ἐστὶν» εἴπωσιν, ἡ χρονικὴ ἤ ἀίδιος λεχθήσεται, θεία ἢ ἀνθρωπίνη, ἄκτιστος ἢ κτιστή· ἡ αὐτὴ ἥτις καὶ τοῦ Πατρός ἐστιν ἢ ἑτέρα παρὰ τὸν Πατέρα. Εἰ τοίνυν μία ἐστὶν καὶ ἡ αὐτή, μία καὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ κοινή ἐστιν, ὅπερ ἀλλόκοτόν ἐστι λέγεσθαι. Ἐπὰν οὐκοῦν ὁ Υἱὸς τοῦ Θεοῦ ὁ αὐτὸς Θεὸς καὶ ἄνθρωπός ἐστι, τὰ ἀνθρώπινα ἐνεργήσας ἐπὶ τῆς γῆς, ὁμοίως ⟨αὐτῷ⟩ καὶ ὁ Πατὴρ σὺν αὐτῷ ἐνήργησε φυσικῶς· ἐπειδὴ ἃ ὁ Πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. Ἐπεί, ὅπερ ἡ ἀλήθεια περιέχει, ἐν ὅσῳ ἀνθρώπινά τινα ἐνήργησεν ὁ Χριστὸς πρὸς μόνον τὸ πρόσωπον αὐτοῦ ὡς Υἱοῦ ἐπαναφέρεται, ἅτινα οὐκ ἔστι τὰ αὐτὰ οἷα καὶ τοῦ Πατρός· κατ' ἄλλο γὰρ δηλονότι καὶ ἄλλο ἐνήργησεν ὁ Χριστός, ἵνα κατὰ τὴν θεότητα, ἃ ποιεῖ ὁ Πατήρ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιῇ, καὶ κατὰ τὴν ἀνθρωπότητα, ἅ εἰσι τοῦ ἀνθρώπου ἴδια ⟨ὁ⟩ αὐτὸς οὗτος ἐνηργεῖ ὡς ἄνθρωπος· ἐπειδὴ ἀληθής ἐστι καὶ Θεὸς καὶ ἄνθρωπος. Ὅθεν καὶ ἀληθῶς πιστεύεται, ὅτι ⟨ὁ⟩ αὐτὸς οὗτος εἷς ὢν ἔχει φυσικὰς ἐνεργείας, τὴν θείαν δηλονότι καὶ τὴν ἀνθρωπίνην, τὴν ἄκτιστον καὶ τὴν κτιστήν, ὡς ἀληθινὸς καὶ τέλειος Θεὸς ⟨καὶ⟩ ἀληθινὸς καὶ τέλειος ἄνθρωπος, εἷς ὁ αὐτὸς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, Κύριος Ἰησοῦς Χριστός». Καὶ πάλιν ἀπὸ τῶν αὐτῶν πρακτικῶν προεκομίσθη ἑτέρα ῥῆσις, ἔχουσα ἐπὶ λέξεως οὕτως «τῆς ἑκατέρας φύσεως ἑκατέραν ἴσμεν ἐνέργειαν, τὴν οὐσιώδη λέγω καὶ φυσικὴν καὶ κατάλληλον, ἀδιαιρέτως προιοῦσαν ἐξ ἑκατέρας οὐσίας καὶ φύσεως, κατὰ τὴν ἐμπεφυκυῖαν αὐτῇ φυσικὴν καὶ οὐσιώδη ποιότητα, καὶ τὴν· ἀμέριστον ὁμοῦ καὶ ἀσύγχυτον θατέρας οὐσίας συνεπαγομένην ἐνέργειαν. Τοῦτο γὰρ καὶ

τῶν ἐνεργειῶν ἐπὶ Χριστοῦ ποιεῖ τὸ διάφορον, ὥσπερ δὴ καὶ τὸ εἶναι τὰς φύσεις τῶν φύσεων». Ἀλλὰ καὶ ὁ παρ' αὐτῶν ζητούμενος ὅρος ἀναγνωσθεὶς εἶχεν ἐπὶ λέξεως οὕτως· «ἡ παροῦσα ἁγία καὶ οἰκουμενικὴ σύνοδος, πιστῶς δεξαμένη καὶ ὑπτίαις χερσὶν ἀσπασαμένη τήν τε τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάππα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος γενομένην ἀναφορὰν πρὸς τὸν εὐσεβέστατον ἡμῶν βασιλέα» καὶ μετά τινα· «ἑπομένη τε ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς πέντε συνόδοις καὶ τοῖς ἁγίοις καὶ ἐγκρίτοις πατράσι καὶ συμφώνως ὁρίζουσα, ὁμολογεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, τὸν ἕνα τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος τέλειον ἐν θεότητι καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας, πρὸ αἰώνων μὲν ἐκ ⟨τοῦ⟩ Πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, τῆς κυρίας καὶ κατὰ ἀλήθειαν θεοτόκου, κατὰ τὴν ἀνθρωπότητα, ἕνα καὶ τὸν αὐτὸν Χριστόν, Υἱόν, ⟨Κύριον⟩, μονογενῆ, ἐν δύω φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀχωρίστως, ἀδιαιρέτως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύω πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Υἱὸν μονογενῆ, Θεὸν λόγον, Κύριον Ἰησοῦν Χριστόν, καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ καὶ αὐτὸς ἡμᾶς Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε καὶ τὸ τῶν ἁγίων πατέρων ἡμῖν παρέδωκε σύμβολον, καὶ δύω φυσικὰς θελήσεις, ἤτοι θελήματα, ἐν αὐτῷ, καὶ δύω φυσικὰς ἐνεργείας ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως, κατὰ τὴν τῶν ἁγίων διδασκαλίαν, ὡσαύτως κηρύττομεν, καὶ δύω μὲν φυσικὰ θελήματα, οὐχ ὑπεναντία· μὴ γένοιτο· καθὼς οἱ ἀσεβεῖς ἔφησαν αἱρετικοί, ἀλλ' ἑπόμενον τὸ ἀνθρώπινον αὐτοῦ θέλημα καὶ μὴ ἀντιπίπτον ἢ ἀντιπαλαῖον, μᾶλλον μὲν οὖν ⟨καὶ⟩ ὑποτασσόμενον τῷ θείῳ αὐτοῦ καὶ πανσθενεῖ θελήματι».

Τούτων δὲ ἀναγνωσθέντων, κωφοῖς ἐῴκεσαν οἱ τῆς αἱρέσεως προϊστάμενοι, ἓν καὶ πάντη ἀδιάφορον βοῶντες καὶ διατεινόμενοι τὴν θείαν τε καὶ ἄκτιστον οὐσίαν καὶ τὴν θείαν καὶ ἄκτιστον ταύτης ἐνέργειαν, προφέροντες καὶ ῥητά, ὧν τὸ μὲν ἦν τοῦ ἁγίου καὶ ὁμολογητοῦ Μαξίμου, τὸ δὲ τοῦ ἐν ἁγίοις ὁμολογητοῦ Θεοδώρου τοῦ Γραπτοῦ, διαστρέφοντες καὶ παρερμηνεύοντες ταῦτα πρὸς τὴν οἰκείαν δυσσέβειαν· πῶς γὰρ ἂν ὁ θεῖος Μάξιμος τῇ τοῦ Θεοῦ ἐνεργείᾳ πολεμεῖν ἔμελλεν, ὅς γε ὑπὲρ τῶν ἐν Χριστῷ δύω ἐνεργειῶν, τῆς τε θείας δηλαδὴ καὶ τῆς ἀνθρωπίνης, δρόμους μὲν ἠλάθη τοσούτους, γλῶτταν δὲ τὴν θεοφθόγγον

ἐκείνην ἀφῄρηται, χεῖρα δὲ ἐκκέκοπται, καὶ τέλος ἀειφυγίαν καταδικασθεὶς μαρτυρικὸν γενναίως ⟨ἠ⟩σπάσατο θάνατον; Τῶν δὲ καὶ ἔτι ἀντιλεγόντων καὶ προφερόντων τῷ Θεσσαλονίκης θεότητα λέγοντι τὴν θείαν ἐνέργειαν, ἀνεγνώσθησαν ῥήσεις τῶν ἁγίων, τοῦ μὲν μεγάλου Βασιλείου ἐν οἷς πρὸς Εὐστάθιον τὸν ἰατρὸν γράφει· «οὐκ οἶδα ὅπως ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες, ὥσπερ οὐκ ἀκηκοότες παρὰ τῆς Γραφῆς, ὅτι χειροτονητὴ φύσις οὐ γίνεται. Μωσῆς δὲ τῶν Αἰγυπτίων ἐχειροτονήθη θεός, οὕτω πρὸς αὐτὸν εἰπόντος τοῦ χρηματίζοντος, ὅτι θεόν σε δέδωκα τῷ Φαραώ· οὐκοῦν ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει· ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος»· τοῦ δὲ Νύσσης ἐν τῷ περὶ θεότητος Υἱοῦ καὶ Πνεύματος ⟨λέγοντος⟩· «φασὶ [λέγοντος] οἱ πνευματομάχοι φύσεως εἶναι συμαντικὴν τὴν θεότητα, ἡμεῖς δὲ φαμέν, ὅτι ὄνομα σημαντικὸν ἡ θεία φύσις ἢ οὐκ ἔχει ἢ ἡμῖν οὐκ ἔχει, ἀλλ' εἴ τι καὶ λέγεται, εἴτε παρὰ τῆς ἀνθρωπίνης συνηθείας εἴτε παρὰ τῆς θείας Γραφῆς, τῶν περὶ αὐτὴν ἀποσημανθέντων ἐστί τι, αὐτὴ δὲ ἡ θεία φύσις ἄφραστός τε καὶ ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τὴν διὰ φωνῆς σημασίαν· λαβέτωσαν δὲ τῆς ἀνοήτου αὐτῶν βλασφημίας καὶ τὸν ὄφιν κατήγορον, ὃς δείκνυσιν, ὅτι τὸ τῆς θεότητος ὄνομα τῆς ὁρατικῆς ἐνεργείας τὴν σημασίαν ἔχει. Συμβουλεύων γὰρ ἅψασθαι τῶν ἀπηγορευμένων, τοῦτο ἐπαγγέλλεται, ὅτι ἀνοιγήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί· ὁρᾷς ὅτι τὴν θεατικὴν ἐνέργειαν προσμαρτυρεῖ τῇ φωνῇ τῆς θεότητος; Οὐ γὰρ ἔστι θεάσασθαί τι μὴ τῶν ὀφθαλμῶν ἀνοιγέντων· οὐκοῦν οὐχὶ φύσιν, ἀλλὰ τὴν θεατικὴν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησι». Καὶ πάλιν ὁ αὐτὸς πρὸς Ἀβλάβιον γράφων, «Θεός», φησίν, ἐνεργοῦντα δηλοῖ, θεότης δὲ ἐνέργειαν· οὐδὲν δὲ τῶν τριῶν ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν».

Οὕτω δὲ διὰ πάντων τούτων ἐξεληλεγμένοι, προσεκλήθησαν παρὰ τῆς ἐκκλησίας εἰς μετάνοιαν, πολλὰ πρότερον τοῦ γαληνοτάτου βασιλέως ἡμῶν μὴ ἀποπηδῆσαι τοῦ καλοῦ τῆς μετανοίας φαρμάκου λόγοις, πολὺ τὸ ἐπαγωγὸν καὶ χάριεν ἔχουσι, παρακεκληκότος αὐτούς. Οἱ δὲ οὐ κατεδέξαντο, ἄντικρυς λέγοντες τὸ «ὁδούς σου εἰδέναι οὐ βούλομαι»· ἐνέμενον γὰρ οἷς κακῶς ἔγνωσαν ἐξ ἀρχῆς. Διὰ τοῦτο κελεύσει θείᾳ τοῦ κρατίστου βασιλέως ἡμῶν καὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἀνεγνώσθη τόμος ἐπὶ καθαιρέσει μὲν προβὰς πρὸ καιροῦ τινος τοῦ Ἐφέσου, τοῦ Γάνου καὶ ἑτέρων, ὡς τὰ Βαρλαὰμ καὶ

Ἀκινδύνου νενοσηκότων, μήπω δὲ εἰς ἔργον προβάς, διὰ τὸ τὴν ἐπιστροφὴν αὐτῶν καὶ μετάνοιαν ἀναμένειν καὶ πᾶσι τρόποις καὶ μηχαναῖς ἀνακαλεῖσθαι ταύτην ὁλῃ προθυμίᾳ τε καὶ σπουδῇ. Καὶ ἀναγνωσθέντος, ἤρξατο ὁ τιμιώτατος μέγας χαρτοφύλαξ καὶ ὕπατος τῶν φιλοσόφων, κατὰ τὸ ἐκκλησιαστικὸν ἔθος, ἐρωτᾶν ἕκαστον ὁπως ἔχει γνώμης περὶ τῶν κατὰ μέρος λαληθέντων τε καὶ ἐξετασθέντων δογματικῶν κεφαλαίων· καὶ πάντες ἑνὶ στόματι, ὡς ἐξ ἑνὸς κινούμενοι Πνεύματος, μετὰ τοῦ ἡνωμένου καὶ θεοπρεπῆ διάκρισιν καὶ διαφορὰν τῆς θείας οὐσίας καὶ ἐνεργείας φανερῶς ὡμολόγησαν, τοῖς θεολόγοις ἑπόμενοι, ἄκτιστόν τε τὴν θείαν ἐνέργειαν καθὰ δῆτα καὶ τὴν οὐσίαν ἔστερξαν καὶ θεότητα καὶ ταύτην δὴ τὴν θείαν ἐνέργειαν ὀνομάζεσθαι παρὰ τῶν αὐτῶν θεολόγων ἀκούσαντες ἀσμένως ἐδέξαντο.

Ἐπὶ τούτοις ἐρωτηθεὶς καὶ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης καὶ αὐτὸς τὴν οἰκείαν γνώμην ἐξενεγκεῖν λόγον τε διεξελθὼν πρότερον περὶ διαφορᾶς θείας οὐσίας καὶ ⟨θείας⟩ ἐνεργείας καὶ τοὺς παρὰ τῶν ἁγίων λεγομένους τῆς διαφορᾶς τρόπους πάντας καλῶς καὶ κατὰ μέρος διευκρινήσας ἔτι τε καὶ τὸ ἡνωμένον καὶ ἀχώριστον ταύτης πρὸς τὴν θείαν οὐσίαν ἀποδειξας, ἐν οἷς καὶ ἄκτιστον τὴν θείαν ἐνέργειαν καὶ θεότητα παρὰ τῶν ἁγίων εἰρῆσθαι ἀπεφήνατο, τῆς πρὸς τοὺς διαφερομένους ἔπειτα παραινέσεως ὅλος ἐγένετο, παρακαλῶν, νουθετῶν, ἐλέγχων, πᾶσι τρόποις πρὸς μετάνοιαν αὐτοὺς ἐκκαλούμενος καὶ τὴν πρὸς τοὺς ἁγίους καὶ τὴν ἱερὰν σύνοδον συμφωνίαν μεθ' ὅτι πλείστης προθυμίας τε καὶ σπουδῆς θεοφιλῶς προτρεπόμενος. Ὡς δὲ καὶ οὕτω τούτους ἑώρα ἀνιάτως ἔχοντας τῶν τε προτέρων βλασφημιῶν ἐχομένους καθάπαξ καὶ τὴν μετάνοιαν παντάπασιν ἀποσειομένους, ζῆλον ἀναλαβὼν ἄξιον μὲν ἑαυτοῦ καὶ τῆς ἐκ παιδὸς ἀρετῆς, ἄξιον δὲ τοῦ θρόνου, τὸ⟨ν⟩ μὲν Ἐφέσου καὶ τὸ⟨ν⟩ Γάνου τῶν ἀρχιερατικῶν συμβόλων καὶ πάσης ἱεροσύνης ἀπογυμνοῖ, τοῦτο καὶ τῆς ἱερᾶς συμψηφισαμένης συνόδου, οἱ δὲ σὺν αὐτοῖς ἕτεροι, οἵ τε τῆς αἱρέσεως προιστάμενοι καὶ οἱ τούτοις κακῶς ἑπόμενοι, τὴν καταδίκην μεθ' ἑαυτῶν ἔχοντες ἀποπέμπονται, τινῶν συγγνώμην αἰτησάντων καὶ διὰ μετανοίας ταύτης τετυχηκότων. Καὶ ἡ μὲν συνέλευσις αὕτη ἐν τούτοις ἐτελεύτησε. Ἡμέραι δ' ἐξ ἐκείνου παρερρύησαν ὀλίγαι· οὕτω τοῦ γαληνοτάτου καὶ ἁγίου βασιλέως ἡμῶν κελεύσαντος καὶ μετανοίας ἐντεῦθεν θύραν τοῖς διαφερομένοις σοφῶς ὑπανοίγοντος· τῶν δὲ καὶ ἔτι ἀνιάτως ἐχόντων, ἔδοξε δίκαιον σύνοδον ἑτέραν πάλιν συγκροτηθῆναι, ὥστε δι' ἐξετάσεως φανερωτέραν γενέσθαι περὶ τῶν προβεβλημένων τὴν τῆς εὐσεβείας ἀλήθειαν ἐκ τῶν τοῖς ἁγίοις τεθεολογημένων. Καὶ δὴ γενομένης, τῶν ἑτεροδοξούντων ἁπαντῆσαι μὴ βουληθέντων, ἀλλ' ἀπειπόντων τοῦτο καθάπαξ, ὁ εὐσεβέστατος

ἐκέλευσε βασιλεύς· «πολλῶν δογματικῶν κεφαλαίων προβεβλημένων εἰς ζήτησιν, πρώτου μὲν εἰ ἔστιν ἐπὶ Θεοῦ θεοπρεπὴς διάκρισις οὐσίας καὶ ἐνεργείας, ἔπειτα, διακρίσεως ἀναφανείσης, πότερον ἡ ἐνέργεια αὐτη κτιστή ἐστιν ἢ ἄκτιστος, τρίτου δέ, εἴ γε ἄκτιστος ἀποδειχθείη ἡ θεοπρεπὴς αὐτη ἐνέργεια, πῶς ἄν τις ἐκφύγοι τὸ μὴ παρὰ τοῦτο σύνθετον τὸν Θεὸν εἶναι νομίζειν, ὅπερ οἱ ἑτεροδοξοῦντες προφέρειν τολμῶσι τῇ τοῦ Θεοῦ ἐκκλησιᾳ, τετάρτου δὲ εἴ γε ἡ φωνὴ τῆς θεότητος οὐκ ἐπὶ τῆς οὐσίας μόνον, ἀλλὰ καὶ τῆς θείας ἐνεργείας παρὰ τῶν θεολόγων ὑμνεῖται· καὶ ἐκ τούτου γὰρ τὴν τῆς διθείας ἀμορφίαν τῆς ἐκκλησίας Θεοῦ καταχέουσιν οἱ ταύτης πολέμιοι· πέμπτου δὲ εἴπερ οἱ θεολόγοι κατά τι τὴν οὐσίαν τῆς ἐνεργείας ὑπερκεῖσθαι φασίν· ἐπεὶ καὶ τοῦτο τοῖς ἐναντιουμένοις ὑπὸ μέμψιν τελεῖ· καὶ λοιποῦ ἔτι, Θεοῦ μετεχομένου, πότερον κατὰ τὴν οὐσίαν μετοχὴ ἢ κατὰ τὴν ἐνέργειαν· τοσούτων προκειμένων ζητημάτων ἡμῖν ἀρτίως, οὐ χρὴ περὶ πάντων ὁμοῦ ποιεῖσθαι τοὺς λόγους· γένοιτο γὰρ ἂν οὕτως ἡ τοῦ ζητουμένου κατάληψις οὐδαμῶς ἀκριβὴς οὐδὲ κατὰ τὴν ἡμετέραν πρόθεσιν· ἀλλὰ περὶ ἑκάστου ἰδίᾳ διαλαβόντες ἐφ' ἕτερον ἤδη χωρῶμεν, ὁδηγοῖς ἀπλανέσι χρώμενοι τοῖς σεπταῖς θεολόγοις, καὶ πρῶτον, εἰ δοκεῖ, περὶ τοῦ πρώτου λέγωμεν· ἆρ' ἔστι θεοπρεπὴς ἐπὶ Θεοῦ διάκρισις οὐσίας καὶ ἐνεργείας· ὅπερ τοῖς διαφερομένοις ἀπείρηται, πολλά τε ἄλλα ἄτοπα καὶ πολυθείαν ἐκ τούτου συνάγειν οἰομένοις· ἢ ταυτὸν πάντη καὶ ἀδιάφορον;»

Ταῦτα τοῦ κρατίστου βασιλέως κελεύσαντος, ἡ θεία σύνοδος τοῖς λεγομένοις προσσχοῦσα «οὐκ ἄλλην ἴσμεν» εἶπον «ὁδόν, εὐσεβέστατε βασιλεῦ, ῥᾳδίως πρὸς ἀλήθειαν φέρουσαν ἢ ταύτην, ἣν ἀρτίως ἡμῖν ὑπέδειξας». Καὶ τῶν θεολόγων ὡς ἔχουσι περὶ τούτων γνώμης εἰς ἐπήκοον πάντων ἀναγνωσθέντων, ἀπεδείχθη, ὅτι οἱ μὴ μετὰ τοῦ ἡνωμένου καὶ τὸ διακεκριμένον τῆς θείας οὐσίας καὶ ἐνεργείας πρεσβεύοντες ἄθεοί τέ εἰσι καὶ πολλοῖς ἑτέροις ἀτόποις ἑαυτοὺς περιβάλλουσι. Κατὰ γὰρ τὸν μέγαν Διονύσιον, «τὸ μηδεμίαν δύναμιν ἢ ἐνέργειαν ἔχον οὔτε ἔστιν οὔτε τί ἐστιν, οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις ἢ ἀφαίρεσις». Τὸ δὲ ἔχον οὐ ἔχει κατά τι διαφέρει πάντως. Εἰ οὖν οὐκ ἔστι διαφορά τις θείας οὐσίας καὶ ἐνεργείας, οὐκ ἔστιν ἔχειν τὴν οὐσίαν τοῦ Θεοῦ ἐνέργειαν· τὸ δὲ μὴ ἔχον ἐνέργειαν ἀνενέργητόν ἐστι, τὸ δὲ ἀνενέργητον καὶ ἀνύπαρκτον. Τοῦ δὲ θεοφόρου Δαμασκηνοῦ γράφοντος· «ἔργον μὲν θείας φύσεως ἡ προαιώνιος γέννησις, ἔργον δὲ θείας θελήσεως ἡ κτίσις» καὶ τοῦ ἁγίου Κυρίλλου· «τὸ μὲν ποιεῖν ἐνεργείας ἐστί, φύσεως δὲ τὸ γεννᾶν· φύσις δὲ καὶ ἐνέργεια οὐ ταὐτόν», οἱ ἀδιάφορον εἶναι λέγοντες τὴν θείαν οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν, ἐπειδὴ κατ' ἐκεῖνον τῆς φύσεώς ἐστι τὸ γεννᾶν, ἔστι δὲ κατ' αὐτοὺς ἀδιάφορος

τῆς φύσεως ἐνέργεια, ἔσται κατ᾽ αὐτοὺς καὶ τῆς ἐνεργείας τὸ γεννᾶν, καὶ οὕτω τὰ ποιήματα ἔσονται γεννήματα ἀίδια, ⟨ὡς⟩ ἐκ τῆς θείας φύσεως ὄντα. Ἐπεὶ δὲ πάλιν τῆς ἐνεργείας ἐστὶ τὸ ποιεῖν, ἡ δὲ φύσις ἀδιάφορος τῇ ἐνεργείᾳ, κατ᾽ αὐτοὺς τῆς φύσεως ἔσται τὸ ποιεῖν, καὶ οὕτω κατ᾽ αὐτοὺς τὰ ἐκ τῆς φύσεως ἔσονται ποιήματα. Καὶ πάλιν, τοῦ αὐτοῦ γράφοντος ἐν τῷ δευτέρῳ τῶν πρὸς Ἑρμείαν διαλόγων· «πρὸς δὲ τούτοις ἅπασι πεποιῆσθαι φαμὲν ἐξ ἐνεργείας Θεοῦ πῦρ τε τὸ καυστικὸν καὶ μὴν καὶ τὸ ὕδωρ διαψύχειν εἶδος», οἱ ταὐτὸν καὶ ἀδιάφορον οὐσίαν καὶ ἐνέργειαν εἶναι λέγοντες ἐκ τῆς τοῦ Θεοῦ οὐσίας τό τε πῦρ καὶ τὸ ὕδωρ εἶναι λέγειν ἀναγκασθήσονται· καὶ οὕτω τῆς Ἑλλήνων πλάνης ἡ νῦν κακοδοξία χείρων καθέστηκεν, εἴπερ ἐκεῖνοι μὲν τὴν λογικὴν μόνην ψυχὴν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ εἶναι ἐνόμισαν, οὗτοι δέ ⟨γε καὶ⟩ τὰ ὑλικὰ δὴ ταῦτα καὶ αἰσθητὰ σώματα. Ἀλλὰ καὶ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ «ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν» εἰρηκότος, ὁ θεῖος Χρυσόστομος ἐν ὁμιλίᾳ ἑξηκοστῇ τετάρτῃ τῆς εἰς τὸ τοιοῦτον εὐαγγέλιον ἑρμηνείας, τοῦτο διασαφῶν τὸ ῥητόν, κατὰ τὴν δύναμιν ἐνταῦθα φησὶν εἰρῆσθαι αὐτό· καὶ γὰρ περὶ ταύτης ἦν ὁ λόγος ἅπας αὐτῷ· «εἰ δὲ ἡ δύναμις ἡ αὐτή, εὔδηλον ὅτι καὶ ἡ οὐσία». Καὶ μετὰ βραχέα· «οὐδὲ γάρ ἐστιν ἄλλην δι᾽ ἄλλης οὔτε οὐσίαν οὔτε δύναμιν μαθεῖν». Καὶ πάλιν ἐν τῷ αὐτῷ εὐαγγελίῳ τοῦ ἀποστόλου Φιλίππου εἰπόντος· «Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν», ὁ θεῖος οὗτος Χρυσόστομος ἐν τῇ αὐτῇ ὁμιλίᾳ «ἴδωμεν» φησί «τί ὁ Φίλιππος ζητεῖ ἰδεῖν· ἆρα τὴν σοφίαν τοῦ Πατρος; ἆρα τὴν ἀγαθότητα; Οὐχί, ἀλλ᾽ αὐτὸ ⟨ο⟩ τί ποτέ ἐστιν ὁ Θεός· αὐτὴν τὴν οὐσίαν». Καὶ πάλιν ὁ αὐτός, τὸ ἀποστολικὸν ῥητὸν ἐξηγούμενος τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς τὸ λέγον· «τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη», «φρόνημα» εἶπε «σαρκὸς τὴν κακίαν φησὶ καὶ φρόνημα πνεύματος τὴν χάριν τὴν διδομένην καὶ τὴν ἐνέργειαν τὴν τῇ προαιρέσει κιρνωμένην τῇ χρηστῇ», οὐδαμοῦ περὶ ὑποστάσεως ἐνταῦθα καὶ οὐσίας διαλεγόμενος. Καὶ αὖθις ὁ αὐτὸς Χρυσόστομος ἐν τῷ λόγῳ, ἐν ᾧ ἐξηγεῖται τὸ «θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν ⟨μ⟩ου, καὶ ὀμοσον», τάδε κατὰ λέξιν φησίν· «λυχνία ἦν ἀληθὴς ἡ σὰρξ δεσποτικὴ ἡ τοῦ ἁγίου Πνεύματος τὰς ἐλλάμψεις ἐπταπλασίονι χάριτι δείξασα· «ἐξελεύσεται γάρ» φησὶν Ἡσαίας «ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ᾽ αὐτὸν Πνεῦμα Θεοῦ». Ἐνταῦθα τὴν οὐσίαν ἑρμηνεύει, τὸ δὲ ἐπαγόμενον ἐνεργείας τοῦ Πνεύματος λέγει. ⟨Ποῖον; Τὸ πολυμερὲς ταῖς ἐνεργείαις καὶ πολὺ τῇ φύσει· «Ἐπαναπαύσεται⟩ Πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα

φόβου Θεοῦ»· τὰς ἑπτὰ χάριτας τοῦ ἁγίου Πνεύματος τὰς ἐπαναπαυσαμένας τῷ σώματι τῷ δεσποτικῷ, ἐκείνας σχηματίζει ἐν τύπῳ ἑπταλύχνῳ». Καὶ πάλιν ὁ αὐτὸς θεῖος Χρυσόστομος ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ «οὐ πάντα» φησί «τὰ χαρίσματα λαμβάνει τις, ἵνα μή τις τὴν χάριν φύσιν εἶναι νομίσῃ». Ἀλλὰ καὶ τοῦ ἁγίου μάρτυρος καὶ φιλοσόφου Ἰουστίνου γράφοντος, ὡς ἄρα τοῦ Θεοῦ ἔχοντος οὐσίαν μὲν πρὸς ὕπαρξιν, βούλησιν δὲ πρὸς ποίησιν, ὁ ἀπορρίπτων οὐσίας τε καὶ βουλῆς τὴν διαφοράν καὶ τὴν ὕπαρξιν ἀπορρίπτει τοῦ Θεοῦ καὶ τὴν ποίησιν, οὐ φανερῶς οἱ τὴν διαφορὰν ἀθετοῦντες οὗτοι καὶ τὸν Θεὸν ἀρνούμενοι καὶ τὸ αὐτόματον δοξάζοντες δείκνυνται; Κατὰ γὰρ τὸν ἐκ Δαμασκοῦ θεῖον Ἰωάννην «ἐνέργειά ἐστι καὶ ἡ βουλησις», ὡς ἐν τῷ περὶ ἐνεργείας ὀγδοηκοστῷ πρώτῳ τῶν δογματικῶν κεφαλαίων διασαφεῖ. Εἰπὼν γὰρ πρότερον περί τε τῶν ἄλλων καὶ δὴ καὶ βουλήσεως ἀνθρωπίνης τε καὶ θείας, ἐπάγει εὐθὺς ἐν τῇ ἀρχῇ τοῦ ἑφεξῆς κεφαλαίου ἐπὶ λέξεως οὕτως· «χρὴ γινώσκειν ὡς πᾶσαι αἱ δυνάμεις αἱ προειρημέναι, αἵ τε γνωστικαὶ αἵ τε ζωτικαὶ καὶ φυσικαὶ καὶ τεχνικαὶ ἐνέργειαι λέγονται· ἐνέργεια γάρ ἐστιν ἡ φυσικὴ ἑκάστης οὐσίας δύναμίς τε καὶ κίνησις, ἧς μόν‹ον› ἐστέρηται τὸ μὴ ὄν».

Τούτων τοίνυν οὕτω πάνυ τοι σαφῶς διευκρινηθέντων καὶ τῆς διαφορᾶς μάλα ἐναργῶς καὶ ὡς οὐκ ἄλλως ἐνῆν ἀποδεδειγμένης οὐκ ἐν πειθοῖ‹ς› ἀνθρωπίνης σοφίας ‹λόγοις›, κατὰ τὸν θεσπέσιον Παῦλον, ἀλλ' ἐν διδακτοῖς Πνεύματος ἁγίου, ταῖς τῶν πατέρων δήπου θεοπνεύστοις θεολογίαις, ἡ θεία σύνοδος «ἔδει τοὺς καὶ ὁπωστιοῦν» ἔφη «περὶ τούτου διαφέρεσθαι πειραθέντας νῦν γοῦν, εἰ καὶ μὴ πρότερον, τὴν τῆς φιλονεικίας νόσον τῆς ἑαυτῶν διανοίας ἐξεληλακέναι εὐσεβῶς καὶ τοῖς κοινοῖς ἡμῶν καθηγεμόσι καὶ διδασκάλοις τῆς εὐσεβείας εὖ μάλα προθύμως ἐθελῆσαι πεισθῆναι, σάλπιγγος ἀπάσης περὶ διαφορᾶς οὐσίας θείας καὶ ‹θείας› ἐνεργείας μονονουχὶ λαμπροτέρας φωνὰς ἀφιεῖσι, καὶ μηδέν τι ‹πλέον› μηδόλως ἐπιχειρεῖν αὐτοῖς ἀντιβαίνειν καὶ πειρᾶσθαι πολυπραγμονεῖν περαιτέρω, τίς ἡ ἐνέργεια, καὶ ποταπὴ ἡ διαφορά, καὶ πῶς ἂν γένοιτο αὕτη. Οὐ γάρ, ὡς ἔοικε, τοῦ Χρυσοστόμου πατρὸς ἀκηκόασιν, ἐν οἷς τὸ κατὰ Ἰωάννην θεῖον εὐαγγέλιον ἐξηγεῖται διδάσκοντος ἀνερμήνευτον καὶ ἀπερινόητον καὶ ὑπὲρ τοὺς τῆς φύσεως νόμους τὴν θείαν ἐνέργειαν εἶναι· «εἰ γὰρ τούτου» φησί «τοῦ πνεύματος, οὐ τὴν αἴσθησιν δέχῃ τῇ ἀκοῇ καὶ τῇ ἁφῇ, ἑρμηνεῦσαι οὐκ οἶδας οὐδὲ τὴν ὁδόν, πῶς τὴν ἀπὸ τοῦ θείου Πνεύματος ἐνέργειαν περιεργάζῃ, τὴν τοῦ ἀνέμου οὐκ ἐπιστάμενος, καίτοι φωνὴν ἀκούων; Τὸ δὲ «ὅπου θέλει πνεῖ» πρὸς παράστασιν τῆς τοῦ παρακλήτου εἴρηται ἐξουσίας· εἰ γὰρ τοῦτο οὐδεὶς κατέχει, ἀλλ' ὅπου θέλει φέρεται, πολλῷ μᾶλλον τὴν τοῦ Πνεύματος

ἐνέργειαν οὐ φύσεως δυνήσονται νόμοι κατασχεῖν, οὐχ ὅροι σωματικῆς γεννήσεως, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν» οὐδέ γε τοῦ μεγάλου Βασιλείου Εὐνομίῳ ἀντιλέγοντος καὶ θεολογοῦντος, ὡς ἄρα εἰ μέλλοιμεν ἅπαντα τῇ καταλήψει μετρεῖν καὶ τὸ τοῖς λογισμοῖς ἀπερίληπτον μηδὲ εἶναι τὸ παράπαν ὑπολαμβάνειν, οἰχήσεται μὲν ὁ τῆς πίστεως, οἰχήσεται δὲ ὁ τῆς ἐλπίδος μισθός, πῶς δ' ἂν εἴημεν ἔτι τῶν μακαρισμῶν ἄξιοι, τῶν ἐπὶ τῇ πίστει τῶν ἀοράτων ἀποκειμένων, οἱ μόνοις τοῖς κατὰ λογισμὸν ἐναργέσι πειθόμενοι; πόθεν ἐματαιώθησαν τὰ ἔθνη, καὶ ἐσκοτίσθη ἀσύνετος αὐτῶν καρδία; οὐκ ἐπειδὴ τοῖς τῶν λογισμῶν φαινομένοις ἀκολουθοῦντες τῷ κηρύγματι τοῦ Πνεύματος ἀπειθοῦσι; τίνας δὲ Ἡσαΐας ἀπολωλότας ὀδύρεται· «οὐαὶ οἱ σοφοὶ παρ' ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες»; οὐ τοὺς τοιούτους; Ταῦτα μὲν οὖν ἐχρῆν αὐτοὺς τῶν ἁγίων θεολογούντων ἀκούειν καί γ' εὐθὺς ἀσμένως ὑπακούειν ὡς ἡδιστά τε τούτοις προσεσχηκέναι καὶ ἀβασανίστως ταῖς τὴν διαφορὰν σημαινούσαις θείαις φωναῖς αὐτῶν ὑποπεπτωκέναι, εὐσεβεῖ σιωπῇ ταύτην στέργοντάς τε καὶ δεχομένους, τὸ δ' ὅπως ἢ μηδαμοῦ ἢ μὴ ἐπ' ἀναιρέσει τῆς διαφορᾶς προστιθέντας, εἴπερ ἄρα τοῖς καὶ ὁπωσοῦν εἰς εὐσεβοῦντας τελεῖν δοκοῦσιν ἑαυτοὺς συγκαταλέγειν ἠξίουν. Ἐπεὶ δὲ εἰς τοσοῦτον ὕβρεως καὶ ἀναιδείας, μᾶλλον δὲ παραπληξίας ἀφίκοντο, ὡς καὶ κατ' αὐτῶν μανῆναι τῶν τε ἁγίων καὶ οἰκουμενικῶν συνόδων καὶ πάντων ὡς εἰπεῖν τῶν ἱερῶν θεολόγων καὶ τολμᾶν εἰς εὐθύνας ἤδη καὶ τούτους ἄγειν καὶ τοὺς μέν, φεῦ, τῶν ἑλληνικῶν ἔτι καὶ συντρόφων αὐτοῖς δογμάτων ἀπόζειν λέγειν, τοὺς δ' ἀμαθίας γράφεσθαι πλείστης, ὅλην καὶ ταῦτα σύνοδον ὄντας, ἐνίους δ' ὑπ' ἀνάγκης εἰς ταύτην θεολογίαν ἐξῆχθαι, καίτοι μαρτυρίου θανάτου προθύμως ὑπὲρ αὐτῆς ἑλομένους, ἄλλους δ' ἐγκωμιάζοντας, οὐκ ἀληθεύοντας ταῦτα γράψαι· πῶς ἄν τις ἐν μέρει λέγειν τὰς αὐτῶν ἀνάσχοιτο βλασθημίας; φέρε νῦν ἡμεῖς, διὰ τὸ μὴ καταδέχεσθαι τῶν φιλοχρίστων τὴν ἀκοήν, ὡς πού τις ἔφη τῶν παρ' αὐτῶν ἀθετουμένων πατέρων, ὅτι ποτὲ περὶ θείου δόγματος εἴρηταί τι τοῖς ἁγίοις μὴ σφόδρα ἀληθείας καὶ θεολογικῆς ἀκριβείας ἐξηρτημένον, τῷ παρ' αὐτῶν πρεσβευομένῳ Θεῷ θαῤῥήσαντες, περί τε ἑνώσεως καὶ διακρίσεως τρόπου θείας οὐσίας καὶ ἐνεργείας βραχέ' ⟨ἅ⟩ττα πειραθῶμεν διεξιέναι, οὐκ οἴκοθεν λογισμοὺς ἐφευρίσκειν ἐπιχειροῦντες εἰς συνηγορίαν τινὰ τῶν ὑπ' αὐτῶν εὐσεβῶς πάλαι τεθεολογημένων, ἀλλ' ὅνπερ ἁπανταχοῦ τηρεῖν ἐσπουδάκαμεν νόμον, τὰ τῆς ἐκκλησίας δόγματα διὰ τῶν τῆς ἐκκλησίας διδασκάλων πιστοῦσθαι καὶ μηδαμοῦ παρ' ἑαυτῶν προστιθέναι ἢ ἀφαιρεῖν τῶν τούτοις δογματισθέντων, τούτῳ δὴ κεχρημένοι κἀνταῦθα, τὴν θείαν ἐνέργειαν ἐκ τῆς θείας οὐσίας εἶναι διαῤῥήδην

τῶν ἁγίων βοώντων ἀκηκοότες, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, καὶ ταύτην εἶναι οὕτω νομίζομεν· καθάπερ τοῖς διαφερομένοις σὺν πολλοῖς ἀτόποις ἑτέροις καὶ τοῦτο δοκεῖ· τὸ μὲν γὰρ ἐκ τοῦ Θεοῦ κἀπὶ τῶν κτισμάτων εἴρηται, τὸ δ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ ἐπ' οὐδενὸς εἴρηταί ποτε τῶν ποιημάτων. Μάλιστα μὲν οὖν καὶ ἀπείρηται παντελῶς τοῦτό γε τοῖς ἁγίοις. Ὁ τε γὰρ μέγας Βασίλειος «τὸ ποιούμενον» φησίν «οὐκ ἐκ τῆς οὐσίας τοῦ ποιοῦντός ἐστι» καὶ ὁ θεῖος Δαμασκηνός· «ἡ κτίσις, εἰ καὶ μετὰ ταῦτα <γ>έγ<ο>νεν, ἀλλ' οὐκ ἐκ τῆς τοῦ Θεοῦ οὐσίας» καὶ πάλιν· «κτίσις δὲ καὶ ποίησις τῷ ἔξωθεν, καὶ οὐκ ἐκ τῆς οὐσίας τοῦ κτίζοντος καὶ ποιοῦντος γενέσθαι τὸ κτιζόμενον καὶ ποιούμενον ἀνόμοιον παντελῶς» Οὐ μὴν ἀλλ' οὐδ' ὡς ἔξω τῆς θείας οὐσίας αὐτὴν ἐκ της θείας οὐσίας ὑπειλήφαμεν εἶναι, ὥς που καὶ τοῦτο λῆρεῖν οὐ τοσοῦτον ἀσεβῶς ὅσον ἀμαθῶς τοῖς δι' ἐναντίας ἐπῆλθεν· μήποτέ τις οὕτω φρενῶν ἐκσταίη· ἀλλ' οὐσιώδη καὶ φυσικὴν ταύτην τοῦ Θεοῦ κίνησιν οὖσαν κατὰ τοὺς θεολόγους εἰδότες, ὡς ἐκ πηγῆς ἀεννάου φαμὲν τῆς θείας οὐσίας προέρχεσθαί τε καὶ πηγάζειν καὶ ταύτης χωρὶς οὐδέποτε θεωρεῖσθαι, ἀλλ' ἀδιαίρετον αὐτῆς ἀεὶ διαμένειν ἐξ ἀιδίου τε τῇ θείᾳ συνυπάρχειν οὐσίᾳ καὶ ἀχωρίστως ἡνωμένην εἶναι, μήτ' αἰῶνι μήτε χρονικῷ ἢ τοπικῷ τινι διαστήματι τῆς θείας οὐσίας διαιρεῖσθαί ποτε δυναμένην, ἀλλ' ἀχρόνως καὶ προαιωνίως ἐξ αὐτῆς τε προϊοῦσαν καὶ ἀδιασπάστως αὐτῇ συνοῦσαν. Ὁ γὰρ μέγας Ἀθανάσιος «ὅταν δέ» φησί «τὰ πάντα ἐνεργεῖται ὑπὸ τοῦ Θεοῦ διὰ Χριστοῦ ἐν ἁγίῳ Πνεύματι, ἀχώριστον ὁρῶ ἐνέργειαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος». Καὶ <ὁ ἐν ἁγίοις> θεῖος Ἀναστάσιος, οὗ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος μεμνημένη «μέγαν» τοῦτον προσείρηκεν, ἐν τῷ περὶ ἀπεριγράπτου δευτέρῳ λόγῳ αὐτοῦ «ἴδωμεν» φησίν «οἷα λέγειν περὶ Θεοῦ ἀνέχονται οἱ αἱρετικοί. Τῇ ἐνεργείᾳ, φασίν, ἐν πᾶσίν ἐστιν ὁ Θεός, τῇ οὐσίᾳ δὲ οὐδαμοῦ, ἐνέργειαν λέγοντες τὸ προιὸν ἐκ τῆς ἐνεργείας ἀποτέλεσμα. Φαίην δ' ἂν ἔγωγε τῆς τοῦ Θεοῦ φύσεως ἀχώριστον εἶναι τὴν ἐνέργειαν αὐτοῦ». Καὶ μετά τινα· «ἔνθα ἂν ἡ ἐνέργεια φανῇ, συνθεωρεῖται ταύτῃ καὶ ἡ οὐσία, ἐξ ἧς προέρχεται. Ἑκάτερον γὰρ ἀπερίγραπτον, καὶ διὰ τοῦτο παντελῶς ἀλλήλων ἐστὶν ἀχώριστα· κηρύττει μὲν γὰρ ἡ ἐνέργεια τὴν λανθάνουσαν οὐσίαν, θεωρεῖται δὲ συμπαροῦσα ἡ οὐσία τῇ ἐνεργείᾳ, χωρὶς αὐτῆς εἶναι μὴ δυναμένη». Καὶ αὖθις· «περὶ τὸ πᾶν ἐστιν ἡ ἐνέργεια, ταύτης δὲ ἀχώριστος ἡ οὐσία καθέστηκεν». Ἀλλὰ μήν, ὥσπερ τὴν ἕνωσιν θείαν καὶ ἀίδιον οὐ μόνῳ τῷ ἀχωρίστῳ, ἀλλ' ἄλλοις τε πολλοῖς καὶ δὴ καὶ τῇ κοινότητι τοῦ ἀκτίστου καὶ ἀπεριγράπτου κατὰ τὴν τῶν ἁγίων θεολογίαν κηρύττομεν, οὕτω καὶ τὴν διάκρισιν καὶ τὴν διαφορὰν κατ' αὐτοὺς πάλιν θεοπρεπῆ καὶ

ταύτην δοξάζειν ἐγνώκαμεν, οὐκ εἰς παντελῆ διασπασμὸν ἐντεῦθεν αὐτὰ καὶ διαίρεσιν κατασπῶντες οὐδέ τινα ἔκφυλον τὴν διαφορὰν ταύτην καὶ φυσικὴν ἀλλοτρίωσιν ἐννοοῦντες ἢ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα· ἄπαγε· ἀλλ' οἵαν ἐπιδέχεσθαι τὰ κατὰ φύσιν αἴτια καὶ αἰτιατὰ μεμ‹υ›ήμεθα παρὰ τῶν ἁγίων, μονῳ τῷ λογισμῷ θεοπρεπῶς διακρίνοντες τὰ φύσει ἡνωμένα καὶ ἀδιαίρετα. Ἀθανάσιος γὰρ ὁ μέγας ἐν τῷ κατὰ Ἀρειανῶν πέμπτῳ λόγῳ αὐτοῦ «ἄλλο» εἶναι φησί «τὸ ἔκ τινος καὶ ἄλλο ‹τὸ› ἐξ οὗ ἐστι. Κατὰ τοῦτο ἄρα δύο. Εἰ δὲ μὴ δύο εἴη, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ λέγοιτο, ἔσται τὸ αὐτὸ αἴτιον καὶ αἰτιατόν, γεννῶν καὶ γεννώμενον, ὅπερ ἄτοπον ἐπὶ Σαβελλίου δέδεικται». Οὐκοῦν καὶ τῆς ἐνεργείας ἐκ τῆς οὐσίας εἶναι κατὰ τοὺς θεολόγους ἅπαντας πεπιστευμένης τό τε ἄλλο καὶ ἄλλο εἶναι καὶ δύω εἶναι κἀντεῦθεν διενηνοχέναι ἀλλήλων ἐναργῶς ἀναπέφηνε κατὰ τὸ ἐξ οὗ καὶ ἔκ τινος, τὸ αἴτιον δηλαδὴ καὶ ‹τὸ› αἰτιατόν, ὡς ὁ πολὺς οὗτος τὰ θεῖα διδάσκει θεολογῶν. Καὶ μετά τινα «ἔστω δέ» φησί «παράδειγμα ἀνθρώπινον· τὸ πῦρ καὶ τὸ ἐξ αὐτοῦ ἀπαύγασμα δύω μὲν τ‹ῷ› εἶναι καὶ ὁρᾶσθαι, ἓν δὲ τῷ ἐξ αὐτοῦ καὶ ἀδιαίρετον εἶναι τὸ ἀπαύγασμα αὐτοῦ». Ὥσπερ τοίνυν ἐπὶ τοῦ πυρὸς καὶ τοῦ ἐξ αὐτοῦ φωτός, τοῦ μὲν φύσεως καὶ αἰτίου ὄντος, τοῦ δὲ φυσικοῦ καὶ αἰτιατοῦ, τό τε ἓν διὰ τὸ ἀχώριστον καὶ τὸ διάφορον αὖθις διὰ τὸ αἴτιον καὶ αἰτιατὸν εἴρηκεν· οὕτω κἀπὶ τῆς θείας φύσεως καὶ τῆς φυσικῆς αὐτῆς ἐνεργείας τὸ ἓν καὶ τὸ διάφορον ἡμῖν ἐκληπτέον· τὸ μὲν κατὰ τὸ ἡνωμένον καὶ ἀδιαίρετον, τὸ δὲ κατὰ τὸ αἴτιον καὶ τὸ ἐξ αὐτοῦ δὴ τοῦ αἰτίου. Οὔτε γὰρ τὸ ἓν τὴν διαφορὰν ἀπελαύνει οὔτε μὴν ὅλως ἡ διαφορὰ τὸ ἓν ἀνατρέπει, ἀλλ' ἑκάτερον κατὰ τοὺς ἁγίους εὐσεβῶς θεωρούμενον οὐδ' ὁτιοῦν ὑπὸ θατέρου παραβλαβῆναι δυνήσεται. Ἀλλὰ καὶ ὁ Νύσσης θεῖος Γρηγόριος τὴν ἐν τοῖς αἰτίοις τούτοις καὶ αἰτιατοῖς διαφορὰν εὖ μάλα εἰδὼς ἀληθείας ἐξεχομένην καὶ μηδ' ὁπωσοῦν τῷ κατὰ τὴν φύσιν ἀδιαφόρῳ λυμαινομένην, Ἀβλαβίῳ γράφων «τὸ ἀπαράλλακτον» ἔφη «τῆς φύσεως ὁμολογοῦντες, καὶ τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον ἐκ τοῦ ἑτέρου καταλαμβάνομεν, ἐν τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δ' ἐκ τοῦ αἰτίου». Ὁ δέ γε ἀδελφὸς αὐτοῦ καὶ μέγας ὄντως Βασιλειος τοσαύτην φαίνεται ἁπαξαπλῶς τοῖς αἰτίοις τούτοις καὶ αἰτιατοῖς τὴν διαφορὰν παρέχων, ὡς καὶ τάξιν ἐκ φυσικῆς ἀκολουθίας ἐπ' αὐτῶν δογματίζειν καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον ἐπὶ τοῦ αἰτίου καὶ αἰτιατοῦ λέγειν οὐτωσὶ διαῤῥήδην καὶ τῶν ἀτόπων καὶ παραλόγων εἶναι νομίζειν τὸ μὴ ὁμολογεῖν, ἀλλ' ἀρνεῖσθαι ταῦτα πειρᾶσθαι, καὶ ἢ μὴ συνιδεῖν τὴν διαφορὰν ταύτην τὸν Εὐνόμιον ἔφη ἢ καὶ ἀποκρύψασθαι ταύτην ἑκόντα, γράφων· «ἐκεῖνο δὲ

ἢ οὐ συνεῖδεν Εὐνόμιος ἢ ἑκὼν ἀπεκρύψατο, ὁτι ἔστι τι τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ· ἐν τούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν, δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ, οὐ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ, τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον». Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν ἐφ' ὧν ἔστι πρῶτον καὶ δεύτερον, οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Πάρεστι τοίνυν ἅπασιν ἀκριβῶς συνιδεῖν ἐκ τούτων τοῖς καὶ ὁπωσοῦν λογίζεσθαι δυναμένοις, ὅπως τὸν ἴσον τρόπον ἀληθείας ὁμοῦ καὶ εὐσεβείας ἐμέλησε τῷ ἁγίῳ. Τῷ μὲν γὰρ οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνίστασθαι φάναι, ἀλλ' αὐτῇ ‹τῇ› κατὰ φύσιν ἀκολουθίᾳ συμβαίνειν, ἐξ ἀφύκτου καὶ πολλῆς καὶ φυσικῆς ἀνάγκης καὶ λαμπρᾶς ἀληθείας ἔδειξεν οὖσαν τὴν ἐν τῇ τάξει ταύτην διαφοράν τῶν αἰτιατῶν τε καὶ τῶν αἰτίων καὶ ἄλλως ἔχειν μηδέποτε ἐγχωροῦσαν, ἀλλ' ἀεὶ τούτοις ἀναγκαίως αὐτὴν ἐνθεωρουμένην· τῷ δὲ μὴ διαστήματι, ἀλλὰ τῷ λογισμῷ χωρίζειν ταῦτα ἐπενεγκεῖν καὶ τὴν ἐν τῷ προτέρῳ καὶ δευτέρῳ διαφορὰν μόνῳ τῷ νῷ θεωρεῖν φαίνεται δήπου τὸ τῆς ἑνώσεως χρῆμα σφόδρα εὐσεβῶς κατησφαλισμένος καὶ μηδεμίαν εἰς αὐτὴν ἐκ τῆς διακρίσεως ταύτης βλάβην εἰσάγων, ἀλλ' αὐτήν τε τὴν ἕνωσιν ἀσύγχυτον εἶναι θεολογῶν καὶ τὴν διαφορὰν ἀδιαίρετον πάντη διδάσκων. Πάλιν τοίνυν Εὐνομίου τὴν τοιαύτην διαφορὰν παντάπασιν ἀνελεῖν πειρωμένου ὁ μέγας οὗτος «πῶς» φησίν «οὐδεμίαν διαφορὰν καταλείπεις οὐδὲ τὴν ἐν τοῖς αἰτίοις πρὸς τὰ ἐξ αὐτῶν ἐνυπάρχουσαν;» Οὕτω τὸ μηδεμίαν διαφορὰν ἐπὶ τῶν αἰτίων καὶ αἰτιατῶν εἶναι δοξάζειν τῆς Ἀρείου καὶ Εὐνομίου μανίας πρόδηλός ἐστι τόκος. Ἐκεῖνοι γάρ, τὸ ὁμοούσιον ἀναιρεῖν πᾶσι τρόποις ἐσπουδακότες, ἀκηκοότες ἐν εὐαγγελίοις τοῦ Κυρίου τὸν Πατέρα μείζονα ἑαυτοῦ εἰρηκότος καὶ ταύτῃ πάντως διαφορὰν ἐννοεῖν δεδωκότος, ἐντεῦθεν εὐθὺς τὴν μὲν κατὰ φύσιν διαφορὰν δυσσεβῶς παρεισάγειν ἐτόλμων, τὴν δὲ κατὰ τὸ αἴτιον καὶ αἰτιατόν, ὡς μηδεμίαν μηδαμοῦ φυσικὴν ἀλλοτρίωσιν ἢ διαίρεσιν δυναμένην εἰσάγειν εἰδότες, ἀλλὰ καὶ οὕτω τὴν τῆς φύσεως ἕνωσιν ἀδιάλυτον ἀεὶ συντηροῦσαν, ἀπηρνοῦντο καθάπαξ· πρὸς οὓς οἱ τρεῖς οὗτοι τὸν ὑπὲρ τῆς Τριάδος ἀνελόμενοι γενναίως ἀγῶνα, ὡς ἐκείνων τὴν δυσσέβειαν ταύτην οὖσαν καὶ τὸ μέγα καὶ ὑπερφυὲς τῆς Τριάδος μυστήριον ἀναιροῦσαν, τῆς ἡμετέρας αὐτῶν ἐκκλησίας ἀπελαύνουσιν ὡς δυνατὸν ποῤῥωτάτω. Τοιγαροῦν εἰκότως οἱ μὲν τὴν διαφορὰν ταύτην ἀθετοῦντες νῦν τῆς ἐκείνων κακοδοξίας ἁλίσκονται μετεσχηκότες, οἱ δὲ στέργειν τε καὶ ἀσπάζεσθαι προθύμως ὁμολογοῦντες τῆς τῶν

ἁγίων τούτων εὐσεβείας τε καὶ θεολογίας, μᾶλλον δὲ τῆς τοῦ Χριστοῦ μερίδος διατελοῦσιν ὄντες, ἡνωμένως κατ' αὐτοὺς τὰ θεῖα διακρίνοντες καὶ διακεκριμένως ταῦτα ἑνοῦντες. Ἓν μὲν δὴ τοῦτο καὶ πρῶτον καὶ κυρίως ἄν τις φαίη τῆς τε θείας οὐσίας καὶ ἐνεργείας διακρίσεως εἶδος, διενηνόχασι δὲ ἀλλήλων καὶ τῷ τὴν μὲν θείαν ἐνέργειαν μετέχεσθαι καὶ μερίζεσθαι ἀμερίστως καὶ ὀνομάζεσθαι καὶ νοεῖσθαί πως, εἰ καὶ ἀμυδρῶς, ἐκ τῶν αὐτῆς ἀποτελεσμάτων, τὴν γε μὴν οὐσίαν ἀμέθεκτον καὶ ἀμέριστον καὶ ἀνώνυμον εἶναι, ὡς ὑπερώνυμον δηλονότι καὶ ἀπερινόητον παντελῶς.»

Μετὰ τοῦτο ἐζητήσαμεν ἀποδειχθῆναι παρὰ τῶν ἁγίων, εἰ ἔστιν ἄκτιστος ἡ ἀχώριστος μέν, διαφέρουσα δὲ τῆς θείας φύσεως αὕτη ἡ ἐνέργεια, ὅπερ οἱ ἀντιλέγοντες τῇ ἐκκλησίᾳ ἥκιστα ἐδέχοντο. Καὶ ἀπεδείχθη καὶ τοῦτο ὑπὸ τῶν ἁγίων ἐναργῶς κηρυττόμενον· ὧν κεφάλαιον ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, καθὼς ἀνωτέρω διὰ τῶν κατὰ μέρος προτεθέντων αὐτῆς ῥητῶν μάλα ἱκανῶς ἀποδέδεικται. Συναπεδείχθη δὲ καὶ τοῦτο, ὅτι οἱ μὴ δεχόμενοι ἄκτιστον τὴν ἀχώριστον μὲν καὶ φυσικὴν τῆς θείας οὐσίας ἐνέργειαν, διαφέρουσαν δὲ αὐτῆς, ὥσπερ εἴρηται, κτίσμα τε ποιοῦσι καὶ αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ· κατὰ γὰρ τὸν ἅγιον Μάξιμον, «ἀπὸ τῆς ἐνεργείας ἡ ἑκάστου φύσις χαρακτηρίζεται», τῆς μὲν ἀκτίστου ἐνεργείας ἄκτιστον δεικνύσης φύσιν, κτιστὴν δὲ τῆς κτιστῆς, ‹ἔ›τι τε καὶ κατὰ τὸν Δαμασκηνὸν θεῖον Ἰωάννην φάσκοντα· «εἰ κτιστὴ ἡ ἐνέργεια, κτιστὴν δηλώσει καὶ φύσιν· εἰ δὲ ἄκτιστος, ἄκτιστον χαρακτηρίσει οὐσίαν»· οἱ οὖν λέγοντες κτιστὴν τὴν θείαν ἐνέργειαν, ἀφ' ἧς ἡ θεία φύσις χαρακτηρίζεται, κτιστὴν ἐξ ἀνάγκης παριστῶσι καὶ τὴν θείαν φύσιν. Οὐ μὴν ἀλλὰ καὶ μονοθελῆταί εἰσι τῶν πώποτε ἐκείνων χείρους καὶ ἀτοπώτεροι καὶ προαιώνια δοξάζουσιν εἶναι κτίσματα. Ἐπεὶ γὰρ δύω φύσεις ὁμολογοῦμεν ἐπὶ το‹ῦ› Κυρίο‹υ› ἡμῶν Ἰησοῦ[ν] Χριστο‹ῦ›, τὴν μὲν ἄκτιστον τὴν δὲ κτιστήν, οἱ μὴ λέγοντες ἔχειν τὴν θείαν φύσιν καὶ θέλημα καὶ ἐνέργειαν ἄκτιστον, ἓν θέλημα καὶ μίαν ἐνέργειαν δοξάζουσιν ἐπὶ Χριστοῦ, ὅπερ ἡ ἕκτη σύνοδος ἀπεκήρυξε καὶ ἀν‹ε›θεμάτισε, κἀντεῦθεν μονοθελῆται καὶ αὐτοὶ φανερῶς ἀναδείκνυνται, χείρους δὲ ἐκείνων πολλῷ, ὅσον κἀκεῖνοι μὲν ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἔλεγον ἐπὶ Χριστοῦ, ἀλλὰ ἄκτιστον, τὴν κτιστὴν δήπουθεν ἀναιροῦντες, οὗτοι δὲ ἓν θέλημα καὶ μίαν ἐνέργειαν, ἀλλὰ κτιστήν, τὴν ἄκτιστον φανερῶς μὴ δεχόμενοι. Ἀλλὰ καὶ τοῦ μεγάλου Βασιλείου ἐν τοῖς πρὸς Ἀμφιλόχιον γράφοντος «τὰ μὲν ὀνόματα τοῦ Πνεύματος τοιαῦτα ὑπερφυῆ καὶ μεγάλα, οὐ μὲν οὖν ἔχοντά τινα εἰς δόξαν ὑπερβολήν, αἱ δὲ ἐνέργειαι τίνες; Ἄῤῥητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος· πῶς γὰρ νοήσωμεν τὰ τῶν αἰώνων ἐπέκεινα; Τίνες ἦσαν αὐτοῦ πρὸ τῆς νοητῆς

κτίσεως αἱ ἐνέργειαι;» Οἱ λέγοντες κτιστὰς τὰς θείας ἐνεργείας φανερῶς δοξάζουσιν εἶναι κτίσματα τῶν αἰώνων ἐπέκεινα. Ἐδείχθη δὲ καὶ τοῦτο, ὅτι ἄκτιστοι αἱ κοιναὶ καὶ φυσικαὶ τῆς τρισυποστάτου φύσεως θεῖαι ἐνέργειαι, οὐ διὰ δύω ἢ τριῶν μαρτυριῶν, ἀλλὰ διὰ πάσης σχεδὸν τῆς θεοπνεύστου Γραφῆς.

Μετὰ τοῦτο ἐζητήσαμεν παρὰ τῶν ἁγίων, εἰ μηδεμίαν ἔχοι τις ἂν ἐπινοεῖν σύνθεσιν ἐπὶ Θεοῦ διὰ τὴν τῆς θείας οὐσίας καὶ ἐνεργείας διαφοράν· καὶ τοῦτο γὰρ οἱ ἀντιλέγοντες ἰσχυρίζονται. Ἀπεδείχθη οὖν παρὰ τῶν ἁγίων πάντων κηρυττόμενον ὡς οὐκ ἔστι σύνθεσίν τινα παρὰ τοῦτο νομίζειν ἐπὶ Θεοῦ. Ὁ γὰρ θεῖος Μάξιμος ἐν οἷς πρὸς Πύῤῥον διαλέγεται φανερώτατα δείκνυσι μή τινα σύνθεσιν ἐκ τῆς ἐνεργείας γίνεσθαι, «ὁρᾷς» λέγων τῷ Πύῤῥῳ «ὅτι ἐκ τούτου πλανᾶσθε, ἐκ τοῦ πάντη ἀγνοῆσαι ὅτι αἱ συνθέσεις τῶν ἐν ὑποστάσει ὄντων, καὶ οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων εἰσι, καὶ τοῦτο κοινὸν φρόνημα πάντων καὶ τῶν ἔξω φιλοσόφων καὶ τῶν τῆς ἐκκλησίας θεοσόφων μυσταγωγῶν. Εἰ δὲ τῶν θεληματῶν σύνθεσιν λέγετε, καὶ τῶν ἄλλων φυσικῶν σύνθεσιν λέγειν ἐκβιασθήσεσθε». Ἀλλὰ καὶ ὁ Νύσσης θεῖος Γρηγόριος ἐν ἕκτῳ κεφαλαίῳ τῆς εἰς τὴν Ἑξαήμερον ἀναπληρώσεως οὕτω πρὸς λέξιν διέξεισιν· «εἰ τοίνυν ἐν τῷ ἀνθρώπῳ, κἂν διάφορα τυγχάνῃ τὰ πρὸς αἴσθησιν κατεσκευασμένα παρὰ τῆς φύσεως ὀργανα, διὰ πάντων ὁ νοῦς ἐνεργῶν καὶ κινούμενος καὶ καταλλήλως ἑκάστῳ πρὸς τὸ προκείμενον κεχρημένος εἷς ἐστι καὶ ὁ αὐτός, ταῖς διαφοραῖς τῶν ἐνεργειῶν οὐ συνεξαλλάττων τὴν φύσιν· πῶς ἄν τις ἐπὶ Θεοῦ διὰ τῶν ποικίλων δυνάμεων πολυμερῶς τὸ τῆς αὐτοῦ οὐσίας καθυποπτεύσειεν;» Ἀλλὰ καὶ τοῦτο συναπεδείχθη, ὅτι οἱ κατὰ τοὺς ἀντιλέγοντας μὴ δεχόμενοι τὴν διαφορὰν τῆς θείας οὐσίας καὶ τῆς ἐνεργείας καὶ ἁπλῶς πάντων τῶν περὶ τὴν θεῖαν οὐσίαν φυσικῶς θεωρουμένων, ἐκεῖνοι σύνθετον ποιοῦσι μᾶλλον τὸν Θεόν, τοῦ μεγάλου Βασιλείου φανερῶς λέγοντος· «εἴπερ εἰς τὴν οὐσίαν φέροντες πάντα τὰ θεῖα ὀνόματα καταθήσομεν, οὐ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸν Θεὸν ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι» καὶ τοῦ μεγάλου Γρηγορίου τοῦ θεολόγου γράφοντος· «ἦ καὶ τὸ ἀθάνατον καὶ τὸ ἄκακον καὶ τὸ ἀναλλοίωτον οὐσία Θεοῦ; Ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι Θεοῦ, καὶ οὐ μία, ἢ σύνθετον ἐκ τούτων τὸ θεῖον· οὐ γὰρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι» ἔτι καὶ τοῦ θείου Κυρίλλου· «οὐ γάρ οὐσία τὸ ἀγέννητον ἢ τὸ ἄφθαρτον ἢ τὸ ἀθάνατον ἢ τὸ ἀόρατον. Εἰ γὰρ ἕκαστον τούτων οὐσίαν σημαίνει, ἐκ τοσούτων οὐσιῶν σύγκειται ὁ Θεός ὅσαπερ ἂν αὐτῷ φυσικῶς προσόντα φαίνηται· πολλὰ γάρ ἐστιν ἃ μόνῳ μὲν αὐτῷ πρόσεστιν, ἑτέρῳ δὲ ‹τῶν ἁπάντων› οὐδενί» καὶ τοῦ θείου Χρυσοστόμου· «τοῦ Πνεύματος τὴν χάριν ἡ Γραφὴ ποτὲ μὲν πῦρ, ποτὲ δὲ ὕδωρ καλεῖ,

δεικνῦσα ὅτι οὐκ οὐσίας ταῦτα ὀνόματα, ἀλλ' ἐνεργείας· οὐ γὰρ ἐκ διαφόρων συνέστηκεν οὐσιῶν τὸ Πνεῦμα, ἀόρατόν τε καὶ μονοειδὲς ὂν» καὶ τοῦ Νύσσης πρὸς Εὐνόμιον λέγοντος· «τίς ὁ διφυᾶ τὸν Θεὸν εἶναι λέγων πλὴν σοῦ τοῦ πᾶσαν ὀνόματος ἔννοιαν τῇ τοῦ Πατρὸς οὐσίᾳ συμφύοντος καὶ μηδὲν ἔξωθεν προσεῖναι λέγοντος, ἀλλ' ἕκαστον τῶν περὶ το θεῖον ὀνομάτων τῇ τοῦ Θεοῦ οὐσίᾳ ἐγκεντρίζοντος;»

Μετὰ τοῦτο ἐζητήθη, εἴ γε ἡ θεία καὶ ἄκτιστος ἐνέργεια θεότης παρὰ τῶν ἁγίων προσαγορεύεται· οὐδὲ γὰρ τοῦτο οἱ νῦν ἀντιλέγοντες παρεδέχοντο· καὶ ἀνεφάνη καὶ τοῦτο παρὰ τῶν θεολόγων κηρυττόμενον. Αὐτίκα γὰρ ὁ μέγας Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου «καὶ αὐτό» φησί «τὸ τῆς θεότητος ὄνομα, εἴτε τὴν ἐποπτικὴν εἴτε τὴν προνοητικὴν ἐξουσίαν σημαίνει, οἰκείως εἶχε πρὸς τὸ ἀνθρώπινον». Καὶ πάλιν ὁ αὐτὸς ἐν τῇ πρὸς Εὐστάθιον ‹τὸν› ἰατρὸν ἐπιστολῇ «οὐκοῦν» φησίν «ἡ τῆς ἐνεργείας ταυτότης ἐπὶ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου δείκνυσι σαφῶς τὸ τῆς φύσεως ἀπαράλλακτον. Ὥστε, κἂν φύσιν σημαίνῃ τὸ τῆς θεότητος ὄνομα, κυρίως καὶ τῷ ἁγίῳ Πνεύματι τὴν προσηγορίαν προσαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται. Ἀλλ' οὐκ οἶδα ὅπως ἐπὶ τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες». Καὶ μετά τινα· «οὐκοῦν ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. Ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Εὐεργέτην γὰρ καὶ κριτήν, ἀγαθόν τε καὶ δίκαιον καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν, τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάστου τούτων τῶν ὀνομάτων καὶ αὐτῆς τῆς φύσεως, περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδώσει λόγον· ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος· οὐκοῦν ἄλλο μέν ἐστιν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων». Καὶ πάλιν ὁ αὐτὸς μέγας Βασιλειος ἐν τῇ αὐτῇ ἐπιστολῇ· «εἴτε ἐνεργείας ὄνομα ἡ θεότης, ὡς μίαν ἐνέργειαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὕτω μίαν φαμὲν εἶναι καὶ τὴν θεότητα· εἴτε καὶ κατὰ ‹τὰς› τῶν πολλῶν [τὰς]δόξας φύσεως ἐνδεικτικόν ἐστι τὸ της θεότητος ὄνομα, διὰ τὸ μηδεμίαν εὑρίσκειν ἐν τῇ φύσει παραλλαγὴν οὐκ ἀπεικότως μιᾶς θεότητος τὴν ἁγίαν Τριάδα ὁριζόμεθα». Καὶ ὁ ἅγιος Ἀναστάσιος φησίν· «ἡ Θεὸς προσηγορία πρόδηλον ὅτι ἐνεργητικὴ τυγχάνει· οὐ γὰρ αὐτὴν τὴν τοῦ Θεοῦ οὐσίαν παρίστησιν· ἀδύνατον γὰρ ταύτην γνῶναι· ἀλλὰ τὴν θεωρητικὴν αὐτοῦ ἐνέργειαν ἡμῖν παρίστησι καὶ δηλοῖ τὸ

Θεός». Καὶ πάλιν ὁ αὐτός· «τὸ Θεὸς ὄνομα οὐ τὴν οὐσίαν τῆς θεότητος σημαίνει· ἀκατάληπτος γὰρ αὕτη καὶ ἀνώνυμός ἐστιν· ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας Θεὸς εἴρηται, ὡς φησὶν ὁ ἅγιος Διονύσιος, ἢ ἐκ τοῦ θέειν, ἤγουν διατρέχειν, ἢ ἐκ τοῦ αἴθειν, ὅ ἐστι φλογίζειν». Ὁ δὲ αὐτὸς μέγας Διονύσιος «εἰ τὴν περιούσιον» φησί «κρυφιότητα Θεὸν ἢ ζωὴν ἢ οὐσίαν ἢ φῶς ἢ λόγον ὀνομάσ‹α›ιμεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις ἐκθεωτικὰς ἢ οὐσιοποιοὺς ἢ ζωογόνους ἢ σοφοδώρους. Αὐτῇ δὲ κατὰ τὴν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν, μηδεμίαν ὁρῶντες θέωσιν ἢ ζωὴν ἢ οὐσίαν, ἥτις ἀκριβῶς ἐμφερὴς ἐστι τῇ πάντων ἐξῃρημένῃ κατὰ πᾶσαν ὑπεροχὴν αἰτίᾳ». Καὶ πάλιν ὁ αὐτός φησι· «θεότης ἐστὶν ἡ πάντα θεωμένη πρόνοια». Ὅτι δὲ ἡ πρόνοια ἐνέργειά ἐστι, καὶ ἀπ' ἄλλων μὲν τοῦτο γνώριμον, μάλιστα δὲ ‹καὶ› ἀφ' ὧν ὁ μέγας Ἀθανάσιος γράφει λέγων· «οὐ κατὰ ἄλλην καὶ ἄλλην πρόνοιαν ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐργάζεται, ἀλλὰ κατὰ μίαν καὶ τὴν αὐτὴν οὐσιώδη τῆς θεότητος ἐνέργεια.» Ἀλλὰ καὶ ὁ μέγας Διονύσιος πάλιν ἐν τῇ πρὸς Γάιον δευτέρᾳ ἐπιστολῇ θεότητα φησὶν εἶναι τὸ χρῆμα τοῦ θεοποιοῦ δώρου καὶ τὸ ἀμίμητον μίμημα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου, καθ' ὃ θεούμεθα καὶ ἀγαθυνόμεθα. Ἐπὶ τούτοις ἐπειδήπερ τὴν τοιαύτην δωρεὰν τοῦ Πνεύματος καὶ ἐνέργειαν, δηλαδὴ τὴν θέωσιν, καθ' ἣν οἱ ἅγιοι θεοῦνται, θεότητα παρὰ τῶν ἁγίων προσαγορευομένην, οἱ τῷ Θεσσαλονίκης ἀντιλέγοντες λέγουσιν εἶναι θεότητα κτιστήν, κατασκευάζοντες δῆθεν τοῦτο ἐκ τοῦ ὑποστάτην αὐτῆς εἰρῆσθαι παρὰ τοῦ μεγάλου Διονυσίου τὸν Θεόν καὶ μίμημα καλέσα‹ι› ταύτην καὶ τῶν μετασχόντων σχέσιν, δυσσεβῶς μὲν αὐτοὺς λέγειν ἀπεφήναντο ἡ ἱερὰ σύνοδος, ὅμως ζητηθέντος καὶ τούτου παρὰ τῆς θείας συνόδου, εἴπερ εἰπέ τις τῶν ἁγίων ἄκτιστον εἶναι τὴν θέωσιν καὶ εἴπερ ἡ σχέσις καὶ τὸ μίμημα καὶ τὸ ὑπέστη ‹καὶ› ἐπὶ τῶν ἀκτίστων λέγεται, προεκομίσθησαν ῥήσεις τῶν ἁγίων οὐκ ἀεὶ ἐπὶ κτιστῶν δηλοῦσαι λέγεσθαι ταῦτα. Ὁ γὰρ μέγας Βασίλειος ἐν τοῖς Ἀντιῤῥητικοῖς φησίν· «ὁ τετοκὼς βόλους δρόσου οὐχ ὁμοίως τάς τε βόλους καὶ τὸν Υἱὸν ὑπεστήσατο». Κἂν τῷ πρώτῳ δὲ τῆς Ἑξαημέρου «ἵνα δειχθῇ» φησίν «ὅτι ὁ κόσμος τεχνικόν ἐστι κατασκεύασμα προκείμενον πᾶσιν εἰς θεωρίαν, ὥστε δι' αὐτῆς τὴν τοῦ ποιήσαντος αὐτὸν σοφίαν ἐπιγινώσκεσθαι, οὐκ ἄλλῃ τινὶ φωνῇ ἐχρήσατο ὁ σοφὸς Μωυσῆς περὶ αὐτοῦ, ἀλλ' εἶπε· «ἐν ἀρχῇ ἐποίησεν», οὐχὶ ἐνήργησεν οὐδὲ ὑπέστησεν, ἀλλ' ἐποίησε· καθότι πολλοὶ τῶν φαντασθέντων συνυπάρχειν ἐξ ἀιδίου τῷ Θεῷ τὸν κόσμον οὐχὶ γεγεννῆσθαι παρ' αὐτοῦ συνεχώρησαν». Συναπεδείχθη δὲ ἀπὸ τούτου ὅτι καὶ τὸ ἐνεργεῖν καὶ τὸ ἐνεργεῖσθαι οὐ μόνον ἐπὶ κτιστῶν, ἀλλὰ καὶ ἐπὶ ἀιδίων καὶ ἀκτίστων δύναται

λέγεσθαι, ἐπεὶ καὶ τὴν χάριν ἐνεργουμένην ἀκούοντες οἱ διαφερόμενοι κτιστὴν εὐθὺς εἶναι νομίζουσιν. Ὁ γὰρ μέγας ἐν θεολογίᾳ Γρηγόριος ἐπὶ ἀκτίστου τῷ ἐνεργεῖν ἐχρήσατο εἰπών· «εἰ δὲ ἐνεργείας ὄνομα ὁ Πατήρ, αὐτὸ τοῦτο ἐνηργηκὼς ἂν εἴη τὸ ὁμοούσιον». Καὶ ὁ Νύσσης δὲ θεῖος Γρηγόριος «οὐ τρεῖς θεοὺς ὀνομάζειν» φησί «δυνάμεθα, τοὺς τὴν θεϊκὴν ⟨καὶ ἐποπτικὴν⟩ ἐνέργειαν συνημμένως καὶ ἀδιακρίτως ἀλλήλων ἐφ' ἡμῶν τε καὶ πάσης τῆς κτίσεως ἐνεργοῦντας.» Περὶ δὲ τοῦ μιμήματος εἶπεν ὁ Θεσσαλονίκης ὡς ὁ μέγας Διονύσιος τῷ μιμήματι τὸ ἀμίμητον προσέθηκεν, ὥστε καὶ τὸ θεοποιὸν δῶρον οὐ μᾶλλον μίμημα ἢ ἀμιμησία. Φησὶ δὲ καὶ ὁ θεολόγος Γρηγόριος μίμημα εἶναι καὶ τοῦ Πατρὸς τὸν Υἱόν, γράφων ἐν τῷ δευτέρῳ τῶν περὶ Υἱοῦ· «εἰκὼν τοῦ Πατρὸς ὁ Υἱὸς ὡς ὁμοούσιος καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου Πατήρ. αὕτη γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου καὶ οὗ λέγεται». Ὥστε τὸ μίμημα οὐκ ἐμποδίζει πρὸς τὸ ἄκτιστον εἶναι τὴν θέωσιν. Σχέσις δέ ἐστι καὶ ἡ τοῦ Θεοῦ πρόνοια πρὸς τὰ ⟨προ⟩νοούμενα καὶ ἡ πρόγνωσις αὐτοῦ πρὸς τὰ προγινωσκόμενα καὶ οἱ ἐξ ἀιδίου ἐν τῷ Θεῷ προορισμοὶ πρὸς τὰ προοριζόμενα· ἀλλ' ἑκάστῳ τούτων οὐκ ἐμπόδιόν ἐστι τὸ σχέσιν εἶναι πρὸς τὸ ἄκτιστον εἶναι· ὥστε οὐδὲ ἡ θεοποιὸς δωρεὰ τοῦ Πνεύματος, αὐτὴ ἡ θέωσίς ἐστι κτιστή, διότι σχέσις ἐστὶ πρὸς τὰ θεούμενα. Ὅτι γὰρ ἄκτιστός ἐστι σαφῶς καὶ συντόμως παρίστησι καὶ ὁ θεῖος Μάξιμος, γράφων· «ἡ θεία χάρις εἰ καὶ ἀπόλαυσιν δίδωσι τοῖς κατὰ χάριν μετέχουσιν, ἀλλ' οὐ κατάληψιν· μένει γὰρ κἂν τῇ μεθέξει τῶν ἀπολαυόντων αὐτῆς ἀκατάληπτος, ὅτι κατὰ φύσιν ὡς ἀγέννητος ἔχει τὴν ἀπειρίαν». Καὶ πάλιν· «τοῦτό ἐστι τὸ τοῦ Θεοῦ εὐαγγέλιον, πρεσβεία Θεοῦ πρὸς ἀνθρώπους δι' Υἱοῦ σαρκωθέντος καὶ μισθὸν δωρουμένου τοῖς πειθομένοις αὐτῷ τὴν ἀγέννητον θέωσιν.»

Μετὰ δὴ τὸ φανῆναι καὶ τὴν θείαν ἐνέργειαν θεότητα ὀνομαζομένην ἐζητήσαμεν ἀποδειχθῆναι παρὰ τῶν θεολόγων, εἰ τῆς θείας ἐνεργείας ταύτης καὶ τῶν οὐσιωδῶς περὶ αὐτὴν θεωρουμένων ὑπέρκειται κατ' οὐσίαν ὁ Θεός· καὶ ἀνεφάνη καὶ τοῦτο παρὰ πάντων κηρυττόμενον τῶν ἁγίων. Συναπεδείχθη δὲ καὶ τοῦτο, ὅτι οἱ μὴ τοῦτο παραδεχόμενοι ὄντως πολύθεοί εἰσι, πολλὰς λέγοντες ἀρχάς, ὡς μὴ ἀναφέροντες εἰς ἓν αἴτιον καὶ μίαν ἀρχὴν τὰ περὶ τὸν Θεὸν οὐσιωδῶς θεωρούμενα. Ὁ γὰρ μέγας Βασίλειος ἐν τοῖς Ἀντιῤῥητικοῖς φησίν· «ἔστι ⟨τι⟩ τάξεως εἶδος οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ τὸ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ. Ἐν τοῖς τοιούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν, δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ, οὐ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον». Πῶς οὖν εὔλογον

ἀρνεῖσθαι τὴν τάξιν ἐφ' ὧν ἐστι πρῶτον καὶ δεύτερον οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Ἀλλὰ καὶ ἐν τοῖς πρὸς Ἀμφιλόχιον γράφει· «αἱ δὲ ἐνέργειαι τοῦ Πνεύματος τίνες; Ἀῤῥητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος· πῶς γὰρ νοήσομεν τὰ τῶν αἰώνων ἐπέκεινα; Τίνες ἦσαν αὐτοῦ πρὸ τῆς νοητῆς κτίσεως αἱ ἐνέργειαι; Πόσαι δὲ αἱ ἀπ' αὐτοῦ περὶ τὴν κτίσιν χάριτες; Τίς δὲ ἡ πρὸς τοὺς αἰῶνας τοὺς ἐπερχομένους δύναμις; Ἦν μὲν γὰρ καὶ προῆν καὶ συμπαρῆν τῷ Υἱῷ καὶ τῷ Πατρὶ πρὸ τῶν αἰώνων, ὥστε κἄν τι νοήσῃς τῶν αἰώνων ἐπέκεινα, καὶ τοῦτό ἐστι τοῦ Πνεύματος κατωτέρω», τὰς προαιωνίους ἐνεργείας τοῦ Πνεύματος κατωτέρω τοῦ Πνεύματος ἀποφαινόμενος εἶναι. Ἐν δὲ τῷ περὶ θεότητος Υἱοῦ καὶ Πνεύματος λόγῳ ὁ Νύσσης θεῖος Γρηγόριος φησίν· «ἡ μὲν θεία φύσις ἄφραστός τε καὶ ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τὴν διὰ φωνῆς σημασίαν»· οὐκοῦν οὐχὶ φύσιν, ἀλλὰ τὴν θεατικὴν δύναμιν τοῦ Πνεύματος ἡ τῆς θεότητος προσηγορία παρίστησιν. Ὁ δὲ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν δευτέρῳ λόγῳ, τῶν αἱρετικῶν λεγόντων τῆς θελήσεως εἶναι τὸν Υἱόν, ἀλλ' οὐ τῆς φύσεως τοῦ Πατρός, «εἰ τὸ βούλεσθαι» φησί «περὶ τῶν μὴ ὄντων διδόασι τῷ Θεῷ, διὰ τί τὸ ὑπερκείμενον τῆς βουλήσεως οὐκ ἐπιγινώσκουσι τοῦ Θεοῦ;» Κἀν τῷ τρίτῳ κατὰ τῶν αὐτῶν· «τὸ μὲν ἀντικείμενον τῆς βουλήσεως ἑωράκασιν οἱ αἱρετικοί, τὸ δὲ μεῖζον καὶ ὑπερκείμενον οὐ τεθεωρήκασιν. Ὥσπερ γὰρ ἀντίκειται τῇ βουλήσει τὸ παρὰ γνώμην, οὕτως ὑπέρκειται καὶ προηγεῖται τοῦ βούλεσθαι τὸ κατὰ φύσιν». Καὶ κατὰ Μακεδονίου γράφων ὁ αὐτὸς «γίνωσκε» φησίν «ὅτι τὸ Θεὸς εἶναι δεύτερόν ἐστι τῆς φύσεως· καὶ γὰρ καὶ ἡμεῖς, ἐὰν μιμηταὶ γενώμεθα τοῦ Θεοῦ, κατὰ τὸν Παῦλον, θεοὶ μὲν γινόμεθα, τῆς δὲ αὐτῆς φύσεως γενέσθαι οὐ δυνάμεθα». Ὁ δὲ θεῖος Μάξιμος «πάντων» φησί «τῶν ὄντων καὶ μετεχόντων καὶ μεθεκτῶν ἀπειράκις ἀπείρως ὁ Θεὸς ὑπερεξῄρηται». Ἀλλὰ καὶ ὁ μέγας Διονύσιος ἐν τῷ περὶ θείων ὀνομάτων ⟨δωδεκάτῳ⟩ φησί· «καθ' ὅσον ὑπερέχουσι τῶν οὐκ ὄντων τὰ ὄντα ἅγια ἢ θεῖα ἢ κύρια ἢ βασιλικά, καὶ αὖ τῶν μετεχόντων αἱ αὐτομετοχαί· κατὰ τοσοῦτον ὑπερίδρυται πάντων τῶν ὄντων ὁ ὑπὲρ πάντα τὰ ὄντα, καὶ πάντων τῶν μετεχόντων καὶ μετοχῶν ὁ ἀμέθεκτος αἴτιος». Κἀν τῇ δευτέρᾳ ⟨δὲ⟩ πρὸς Γάιον ἐπιστολῇ «πῶς» φησίν «ὁ πάντων ἐπέκεινα καὶ ⟨ὑπὲρ⟩ ὑπεραρχίαν ἐστὶ καὶ ⟨ὑπὲρ⟩ ἀγαθαρχίαν; Καὶ ⟨εἰ⟩ θεότητα καὶ ἀγαθότητα νοήσαις, αὐτὸ τὸ χρῆμα τοῦ ἀγαθοποιοῦ ⟨καὶ θεοποιοῦ⟩ δώρου καὶ τὸ ἀμίμητον μίμημα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου, καθ' ὁ θεούμεθα καὶ ἀγαθυνόμεθα· καὶ γὰρ εἰ τοῦτο ἀρχὴ γίνεται τοῦ θεοῦσθαι καὶ ἀγαθύνεσθαι τοῖς θεουμένοις καὶ ἀγαθυνομένοις, ὁ πάσης ἀρχῆς ὑπεράρ-

χιος καὶ τῆς οὕτω λεγομένης θεότητος καὶ ἀγαθότητος, ὡς θεαρχίας καὶ ἀγαθαρχίας, ἔστιν ἐπέκεινα». Καὶ πάλιν ὁ αὐτὸς· «μετιτέον ⟨νῦν⟩ ἐπὶ τὴν οντως οὖσαν τοῦ οντως οντος θεολογικὴν οὐσιωνυμίαν. Τοσοῦτον δὲ ὑπομνήσομεν, οτι τῷ λόγῳ σκοπὸς οὐ τὴν ὑπερούσιον οὐσίαν, ᾗ ὑπερούσιος, ἐκφαίνειν· ἄῤῥητον γὰρ τοῦτο καὶ ἄγνωστον καὶ παντελῶς ἀνέκφραστον καὶ αὐτὴν ὑπεραῖρον τὴν ἕνωσιν· ἀλλὰ τὴν οὐσιοποιὸν εἰς τὰ ὀντα πάντα τῆς οὐσιαρχίας τῆς θεαρχικῆς πρόοδον ὑμνῆσαι». Ὁ δὲ θεῖος Μάξιμος ἐν τοῖς σχολίοις «προοδον φησὶν ἐνταῦθα τὴν θείαν ἐνέργειαν, ἥτις πᾶσαν οὐσίαν παρήγαγεν.» Καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῷ περὶ ἀκαταλήπτου πρώτῳ λόγῳ φησίν· «οἱ προφῆται οὐ μόνον τί τὴν οὐσίαν ἐστὶν ὁ Θεὸς ἀγνοοῦντες φαίνονται, ἀλλὰ καὶ περὶ τῆς σοφίας αὐτῆς πόση τίς ἐστιν ἀποροῦσιν· καίτοι γε οὐχ ἡ οὐσία ἀπὸ τῆς σοφίας, ἀλλ᾽ ἡ σοφία ἀπὸ τῆς οὐσίας· οταν δὲ μηδὲ ταύτην δύνανται καταλαβεῖν μετὰ ἀκριβείας, πόσης ἂν εἴη μανίας τὸ τὴν οὐσίαν αὐτὴν νομίζειν δύνασθαι τοῖς οἰκειοις ὑποβάλλειν λογισμοῖς;» Καὶ ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ πάλιν ὁ αὐτὸς φησίν· «οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα. Ἡμεῖς γὰρ πάντες μέτρῳ τὴν ἐνέργειαν τοῦ Πνεύματος ἐλάβομεν· Πνεῦμα γὰρ ἐνταῦθα τὴν ἐνέργειαν λέγει, αὕτη γάρ ἐστιν ἡ μεριζομένη· οὗτος δὲ ἀμέτρητον ἔχει καὶ ὁλόκληρον πᾶσαν τὴν ἐνέργειαν τοῦ Πνεύματος. Εἰ δὲ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία.»

Μετὰ τοῦτο ἐζητήθη παρ᾽ ἡμῶν· ἐπειδήπερ οἱ τὴν ἐκκλησίαν ἐλαύνοντες οὗτοι τῆς οὐσίας τοῦ Θεοῦ μετέχειν ἅπαντα φασὶν ὡς ἀδιαφόρου οὔσης τῆς ⟨τε⟩ θείας οὐσίας καὶ τῆς θείας ἐνεργείας καὶ μηδὲν ἕτερον κατ᾽ αὐτοὺς οντος τοῦ Θεοῦ πλὴν οὐσίας μόνης, ἡμεῖς δὲ παρὰ τῶν ἁγίων ἐδιδάχθημεν γραφῶν καὶ οὐσίαν ἔχειν τὸν Θεὸν καὶ δύναμιν καὶ ἐνέργειαν τῆς θείας οὐσίας διαφέρουσαν, μᾶλλον δὲ καὶ δυνάμεις καὶ ἐνεργείας, οὕτω γὰρ οὐ μονον τρισυποστατος, ἀλλὰ καὶ παντοδύναμος ἔσται· ἐζητήθη οὖν τίνος μετέχουσι τὰ πάντα, τῆς θείας οὐσίας ἢ τῆς τοῦ Θεοῦ θείας ἐνεργείας. Ἡ δὲ θεία σύνοδος «ἀχώριστον μὲν ἴσμεν τὴν θείαν οὐσίαν» ἔφη «καὶ τὴν θείαν καὶ φυσικὴν ἐνέργειαν· οὐ γάρ ποτε ἐνέργεια εἴη ἂν τῆς ἑαυτῆς οὐσίας χωρίς· περὶ μέντοι τῶν ἐξ ἀρχῆς ὑπὸ τοῦ Θεοῦ δεδημιουργημένων» ἔφη «τίς οὐκ οἶδεν, εἰ μὴ κατὰ τοὺς ἀντιλέγοντας τῇ ἐκκλησίᾳ παραπαίει, ὁτι πᾶν δημιούργημα τῆς ἐνεργείας τοῦ δημιουργήσαντος, ἀλλ᾽ οὐχὶ τῆς οὐσίας μεταλαγχάνει; Οὐδὲ γὰρ ἡ οἰκία τῆς τοῦ οἰκοδόμου οὐδὲ ναῦς τῆς τοῦ ναυπηγήσαντος μετείληχεν οὐσίας, ἀλλὰ τῆς τέχνης καὶ τῆς ἐνεργείας κατὰ τὸν Νύσσης Γρηγόριον. Ὁτι δὲ καὶ οἱ ἅγιοι τῇ πρὸς Θεὸν ἑνώσει θεοποιούμενοι οὐ τῆς θείας οὐσίας, ἀλλὰ τῆς αὐτοῦ θείας ἐνεργείας μετέχουσιν, ὁ μέγας ἐν θεολογίᾳ

Γρηγόριος παρίστησι, γράφων περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὅτι χριστὸς λέγεται διὰ τὴν θεότητα· χρῖσις γὰρ αὕτη τῆς ἀνθρωπότητος, οὐκ ἐνεργείᾳ κατὰ τοὺς ἄλλους χριστοὺς ἁγιάζουσα, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος.» Καὶ ὁ μέγας Βασίλειος «πάντα μέν» φησί «πληροῦν ἐστι τῇ δυνάμει τὸ Πνεῦμα τὸ ἅγιον, μόνοις δέ ἐστι μεθεκτὸν τοῖς ἀξίοις, οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν». Καὶ ἀλλαχοῦ πάλιν· «ὥσπερ αἱ τῶν προσώπων ἐμφάσεις οὐκ ἐν πάσαις ταῖς ὕλαις γίνονται, ἀλλ' ἐν ταῖς λειότητά τινα καὶ διαφάνειαν κεκτημέναις· οὕτως οὐκ ἐν πάσαις ταῖς ψυχαῖς ἡ τοῦ Πνεύματος ἐνέργεια, ἀλλ' ἐν ταῖς μηδὲν σκολιὸν ἐχούσαις οὐδὲ στραγγαλιῶδες.» Ὁ δὲ ἅγιος Μάξιμος «πάντα» φησίν «ὅσα ὁ Θεὸς καὶ ὁ διὰ τῆς χάριτος τεθεωμένος ἔσται χωρὶς τῆς κατ' οὐσίαν ταυτότητος.» Ὁ δὲ μέγας Διονύσιος «κυκλικῶς» φησίν «οἱ θεῖοι κινοῦνται νόες, ἐνούμενοι ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ.» Πληθυντικῶς μὲν οὖν αὐτὰς προενεγκὼν ἔδειξεν οὐκ οὐσίαν οὔσας τοῦ Θεοῦ· οὐδέποτε γὰρ ἐκείνη πληθυντικῶς προάγεται· ἐλλάμψεις δὲ αὐτὰς καλέσας καὶ ἀνάρχους καὶ ἀτελευτήτους προσειπὼν θείας καὶ ἀκτίστους ἐνεργείας οὔσας ταύτας ἔδειξεν. Ὁ δὲ Κύριος ἡμῶν καὶ Θεὸς ἐν τῷ κατὰ Ἰωάννην ἁγίῳ εὐαγγελίῳ «ὁ πιστεύων εἰς ἐμέ» φησίν «καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη». Ὅπερ ὁ θεῖος Χρυσόστομος ἐξηγούμενος· «ποταμοί, φησίν, ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν, τὸ δαψιλὲς καὶ ἄφθονον τῆς χάριτος αἰνιττόμενος, ὅπερ ἀλλαχοῦ φησί· «Πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον·» τουτέστι πολλὴν ἕξει χάριν. Ἀλλαχοῦ μὲν οὖν ζωὴν αἰώνιον λέγει, ἐνταῦθα δὲ ὕδωρ ζῶν. Ζῶν δὲ λέγει τὸ ἐνεργοῦν ἀεί· ἡ γὰρ τοῦ Πνεύματος χάρις, ἐπειδὰν εἰς διάνοιαν ἔλθῃ καὶ ἱδρυνθῇ, πάσης πηγῆς μᾶλλον ἀναβλύζει καὶ οὐ διαλιμπάνει οὐδὲ κενοῦται οὐδὲ ἵσταται. Ὁμοῦ δὲ καὶ τὸ ἀνελλιπὲς τῆς χορηγίας δηλῶν καὶ τὸ ἄφατον τῆς ἐνεργείας, πηγὴν καὶ ποταμὸν ἐκάλεσεν, οὐχ ἕνα ποταμόν, ἀλλὰ ἀφάτους, καὶ ἐκεῖ δὲ τὴν πλήμμυραν διὰ τοῦ ἄλλεσθαι παρέστησεν.» Καὶ μετά τινα ὁ αὐτός· «οὐκέτι προφήτης παρ' αὐτοῖς ἦν, οὐδὲ ἐπώπτευεν αὐτῶν τὰ ἅγια ἡ χάρις· ἐπεὶ οὖν ἀνέσταλται μὲν τὸ Πνεῦμα τὸ ἅγιον, ἔμελλε δὲ λοιπὸν ἐκχεῖσθαι δαψιλῶς, ταύτης δὲ τῆς διανομῆς ἀρχὴ μετὰ τὸν σταυρὸν ἐγένετο οὐ μόνον δαψιλείας, ἀλλὰ καὶ μειζόνων χαρισμάτων· καὶ γὰρ θαυμαστοτέρα ἦν ἡ δωρεά· ὡς ὅταν λέγῃ· «οὐκ οἴδατε ποίου Πνεύματός ἐστε» καὶ πάλιν· «οὐ γὰρ ἐλάβετε πνεῦμα

δουλείας, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας»· καὶ γὰρ καὶ οἱ παλαιοὶ Πνεῦμα μὲν εἶχον, ἄλλοις δὲ οὐ παρεῖχον, οἱ δὲ ἀπόστολοι μυριάδας ἐνέπλησαν· ἐπεὶ οὖν ταύτην ἔμελλον λαμβάνειν τὴν χάριν, οὔπω δὲ ἦν δοθεῖσα, διὰ τοῦτο φησίν· «οὔπω ἦν Πνεῦμα ἅγιον». Περὶ ταύτης λέγων τῆς χάριτος εὐαγγελιστὴς ἔλεγεν· «οὔπω γε ἦν Πνεῦμα ἅγιον», τουτέστι δοθέν, «ἐπεὶ Ἰησοῦς οὐδέπω ἐδοξάσθη», δόξαν καλῶν τὸν σταυρόν. Ἐπειδὴ γὰρ ἐχθροὶ ἦμεν καὶ ἡμαρτηκότες καὶ ὑστερούμενοι τῆς δωρεᾶς τοῦ Θεοῦ καὶ θεοστυγεῖς, ἡ δὲ χάρις καταλλαγῆς ἦν ἀπόδειξις, δῶρον δὲ οὐ τοῖς ἐχθροῖς οὐδὲ τοῖς μισουμένοις, ἀλλὰ τοῖς φίλοις δίδοται καὶ τοῖς εὐηρεστηκόσιν, ἔδει πρότερον προσενεχθῆναι τὴν ὑπὲρ ἡμῶν θυσίαν καὶ τὴν ἔχθραν ἐν τῇ σαρκὶ καταλυθῆναι, καὶ γενέσθαι τοῦ Θεοῦ φιλους, καὶ τότε λαβεῖν τὴν δωρεάν. Εἰ γὰρ ἐπὶ τῆς ἐπαγγελίας τοῦτο γέγονε τῆς πρὸς Ἀβραάμ, πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος». Καὶ πάλιν ὁ αὐτὸς ἐν τριακοστῇ ἕκτῃ ὁμιλίᾳ τῆς αὐτῆς πραγματείας «καὶ ἐφ' ἡμῶν» φησίν «οὐχ ἁπλῶς τὸ ὕδωρ ἐργάζεται, ἀλλ' ὅταν τὴν τοῦ Πνεύματος χάριν δέξηται, τότε ἅπαντα λύει τὰ ἁμαρτήματα». Καὶ μετὰ βραχέα· «ἀλλὰ κἂν ἡ οἰκουμένη πᾶσα ἔλθῃ, ἡ χάρις οὐ καταναλίσκεται, οὐδὲ ἡ ἐνέργεια δαπανᾶται, ἀλλ' ὁμοία μένει καὶ τοιαύτη οἵα καὶ πρὸ τοῦ. Καὶ καθάπερ αἱ ἡλιακαὶ ἀκτῖνες καθ' ἑκάστην φωτίζουσι τὴν ἡμέραν καὶ οὐ δαπανῶνται, οὐδὲ ἀπὸ τῆς πολλῆς χορηγίας ἔλαττον αὐταῖς γίνεται τὸ φῶς· οὕτω καὶ πολλῷ μᾶλλον ἡ τοῦ Πνεύματος ἐνέργεια οὐδὲν ἐλλαττοῦται παρὰ τῶν ἀπολαυόντων αὐτῆς». Καὶ πάλιν ὁ αὐτὸς ἐν πέμπτῃ ὁμιλίᾳ τῆς αὐτῆς πραγματείας τὸ «πάντα δι' αὐτοῦ ἐγένετο» ἐξηγούμενος φησίν· «εἰπὼν περὶ τῆς δημιουργίας ὁ Ἰωάννης ἐπάγει καὶ τὸν περὶ τῆς προνοίας λόγον, «ἐν αὐτῷ ζωὴ ἦν» λέγων. Καὶ γὰρ ἵνα μηδεὶς ἀπιστήσῃ πῶς τὰ τοσαῦτα καὶ τηλικαῦτα δι' αὐτοῦ γέγονεν, ἐπήγαγεν ὅτι ἐν αὐτῷ ζωὴ ἦν. Καθάπερ οὖν ἐπὶ τῆς πηγῆς τῆς τικτούσης ἀβύσσους, ὅσον ἂν ἀφέλῃς, οὐδὲν ἠλάττωσας τὴν πηγήν· οὕτω καὶ ἐπὶ τῆς ἐνεργείας τοῦ Μονογενοῦς, ὅσα ἂν πιστεύσῃς παρῆχθαι δι' αὐτῆς καὶ πεποιῆσθαι, οὐδὲν ἐλάττων γέγονεν». Καὶ πάλιν, τοῦ εὐαγγελιστοῦ εἰρηκότος· «ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν»· ἐπὶ γὰρ τοῦτο τέως ἀκτέον τὸν λόγον· «οὐ μεθεκτήν» φησίν ἔχει τὴν δωρεάν, ἀλλ' αὐτοπηγὴ καὶ αὐτορρίζα ἐστὶ πάντως τῶν καλῶν, αὐτοζωὴ καὶ αὐτόφως καὶ αὐτοαλήθεια, οὐκ ἐν αὐτῷ συνέχων τῶν ἀγαθῶν τὸν πλοῦτον, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑπερβλύζων αὐτὸν καὶ μετὰ τὸ ὑπερβλύσαι μένων πλήρης καὶ οὐδενὸς ἐλαττούμενος ἐκ τῆς εἰς ἑτέρους χορηγίας, ἀλλ' ἀεὶ πηγάζων καὶ πᾶσι τούτων μεταδιδοὺς τῶν καλῶν ἐπὶ τῆς αὐτῆς μένει τελειότητος. Ὃ δὲ ἐγὼ φέρω μεθεκτόν ἐστι· παρ' ἑτέρου γὰρ

ἔλαβον αὐτό· καὶ μικρόν τι τοῦ παντὸς καὶ οἱονεὶ σταγὼν εὐτελὴς πρὸς ἄβυσσον ἄφατον καὶ πέλαγος ἄπειρον. Μᾶλλον δὲ οὐδὲ τοῦτο τὸ παράδειγμα παραστῆσαι δύναιτ' ἄν ὅπερ ἐπιχειροῦμεν εἰπεῖν. Σταγόνα μὲν γὰρ ἀπὸ τοῦ πελάγους ἂν ἐξέλῃς, αὐτῷ τούτῳ τὸ πέλαγος ἠλάττωσας, εἰ καὶ ἀφανὴς ἡ ἐλάττωσις· ἐπὶ δὲ τῆς πηγῆς ἐκείνης οὐκ ἔστι τοῦτο εἰπεῖν, ἀλλ' ὅσον ἄν τις ἀρύσηται, μένει μηδὲν ἐλαττούμενος. Δι' ὁ χρὴ μάλιστα ἐφ' ἕτερον ὑπόδειγμα ἐλθεῖν, ἀσθενὲς ⟨μὲν⟩ [δὲ] καὶ αὐτὸ καὶ οὐ δυνάμενον ὅπερ ζητοῦμεν παραστῆσαι, μᾶλλον ⟨δὲ⟩ τοῦ προτέρου χειραγωγοῦν ἡμᾶς πρὸς τὴν ἔννοιαν τὴν προκειμένην ἡμῖν νῦν. Ὑποθώμεθα γὰρ εἶναι πυρὸς πηγήν, εἶτα ἀπὸ τῆς πηγῆς ἐκείνης μυρίους ἀνάπτεσθαι λύχνους, καὶ δὶς τοσούτους καὶ τρὶς καὶ πολλάκις· ἆρ' οὐκ ἐπὶ τῆς αὐτῆς μένει πληρότητος τὸ πῦρ καὶ μετὰ τὸ μεταδοῦναι τοσούτοις τῆς ἐνεργείας αὐτοῦ; Παντί που δῆλόν ἐστιν. Εἰ δὲ ἐπὶ τῶν σωμάτων, τῶν μεριστῶν, τῶν ἐλαττουμένων ὑπὸ τῆς ἀφαιρέσεως εὑρέθη τι τοιοῦτον, ὃ καὶ μετὰ τὸ παρασχεῖν ἑτέροις τὰ παρ' ἑαυτοῦ οὐδὲν παραβλάπτεται, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀσωμάτου καὶ ἀκηράτου δυνάμεως ἐκείνης τοῦτο συμβήσεται. Εἰ γὰρ ἔνθα οὐσία ἐστὶ τὸ μεταλαμβανόμενον καὶ σῶμα, καὶ μερίζεται καὶ οὐ μερίζεται, πολλῷ μᾶλλον, ὅταν περὶ ἐνεργείας ὁ λόγος ᾖ καὶ ἐνεργείας τῆς ἐκ τῆς ἀσωμάτου οὐσίας, οὐδὲν εἰκὸς τοιοῦτον παθεῖν. Διὰ τοῦτο καὶ ὁ Ἰωάννης ἔλεγεν· «ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἐλάβομεν». Ἡμεῖς πάντες ἐλάβομεν, ἡμεῖς οἱ δώδεκα, οἱ τριακόσιοι, οἱ πεντακόσιοι, οἱ τρισχίλιοι, οἱ πεντακισχίλιοι, αἱ πολλαὶ τῶν Ἰουδαίων μυριάδες, ἅπαν τὸ πλήρωμα τῶν πιστῶν καὶ τῶν τότε καὶ τῶν νῦν καὶ αὖθις ἐσομένων ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν. Τί δὲ ἐλάβομεν; «Χάριν ἀντὶ χάριτος», φησίν. Καὶ ὁ μέγας Βασίλειος τὸν τεσσαρακοστὸν ὀγδοον ψαλμὸν ἐξηγούμενος φησίν· «τὸν μὲν ἄνθρωπον ὁ Θεὸς ἐποίησεν ἀπὸ τῆς γῆς καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, ἀλλ' ὅμως ἥ γε τοῦ νοεῖν καὶ συνιέναι τὸν ἑαυτῶν κτίστην καὶ δημιουργὸν δύναμις καὶ ἐν ἀνθρώποις ὑπάρχει. «Ἐνεφύσησε» γὰρ «εἰς τὸ πρόσωπον», τουτέστι μοῖράν τινα τῆς ἰδίας χάριτος ἐναπέθετο τῷ ἀνθρώπῳ, ἵνα τῷ ὁμοίῳ ἐπιγινώσκῃ τὸ ὅμοιον». Καὶ πάλιν ὁ αὐτὸς ἐν τοῖς πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου Πνεύματος «ἀνακαινίζων» φησί «τὸν ἄνθρωπον ὁ Κύριος καὶ ἣν ἀπώλεσε χάριν ἐκ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ, ταύτην πάλιν ἀποδιδούς, ἐμφυσήσας εἰς τὸ πρόσωπον τῶν μαθητῶν τί φησιν; «λάβετε Πνεῦμα ἅγιον.» Καὶ ὁ θεῖος Δαμασκηνὸς ἐν τῷ περὶ προγνώσεως καὶ προορισμοῦ τῶν θεολογικῶν αὐτοῦ κεφαλαίων «τοῦτο⟨ν⟩» φησί «τὸν ἄνθρωπον ὁ δημιουργὸς ἄῤῥενα κατεσκεύασε, μεταδοὺς αὐτῷ τῆς ἑαυτοῦ θείας χάριτος καὶ ἐν κοινωνίᾳ ἑαυτοῦ διὰ ταύτης αὐτὸν ποιησάμενος».

Καὶ πάλιν ὁ μέγας Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον «τίς» φησίν «οὕτως ἀνήκοος τῶν ἡτοιμασμένων ἀγαθῶν παρὰ Θεοῦ τοῖς ἀξίοις, ὡς ἀγνοεῖν ὅτι τῶν δικαίων ὁ στέφανος ἡ τοῦ Πνεύματός ἐστι χάρις δαψιλεστέρα τότε καὶ τελεωτέρα παρεχομένη;» Ἀλλὰ καὶ ὁ ἅγιος Κύριλλος ἐν τῷ τρίτῳ τῶν πρὸς Ἑρμείαν, ἐρωτῶντος αὐτὸν τούτου δὴ τοῦ Ἑρμείου περὶ τῆς ἐν ἡμῖν θείας ἐνοικήσεως καὶ μετοχῆς καὶ λέγοντος· «πλὴν ὡς ἥδιστα ἄν σου διαπυθοίμην τὸ πῶς ἂν ἐν ἡμῖν ἥ τε ⟨τοῦ⟩ Πατρὸς καὶ Υἱοῦ πλήρωσις νοοῖτό τε καὶ πράττοιτο, μία τις οὖσα καὶ οὐ διάφορος», ἀποκρινόμενος οὗτος δὴ ὁ ἅγιος Κύριλλος «καὶ μήν» φησίν «οὐδ' ὁπωστιοῦν ⟨ἕν⟩ γε δὴ τούτῳ τὸ χαλεπὸν ἢ δυσέφικτον. Πῶς γὰρ ἂν ἑτέρως ἢ διὰ τοῦ ἁγίου Πνεύματος, θείων ἡμᾶς χαρισμάτων ἀναπιμπλάντος δι' ἑαυτοῦ καὶ τῆς ἀῤῥήτου φύσεως κοινωνοὺς ἀποφαίνοντος;» Καὶ πάλιν ὁ αὐτὸς ἐν τοῖς Θησαυροῖς «ἀλλ' εἴπερ ἦν» «φησίν «ποίημα ὄντως καὶ κτίσμά κατὰ τὴν τῶν ἑτεροδόξων μανίαν τὸ Πνεῦμα τὸ ἅγιον, πῶς ὅλην ἔχει τοῦ Θεοῦ τὴν ἐνέργειαν; Οὐ γὰρ δή τις τοσοῦτον, οἶμαι, φρονεῖν τοῦτο ὀρθῶς ἐκβ[ο]ήσεται, ὡς τολμῆσ[ετ]αι καὶ μόνον εἰπεῖν τὴν θείαν οὐσίαν δι' ὀργάνων τινῶν, ἔξωθεν εἰς τὸ εἶναι παρενεχθέντων, διακονεῖσθαι πρὸς ἐνέργειαν τὴν ἐξ αὐτῆς φυσικῶς διαβαίνουσαν πρός τινας τῶν ἐπιτηδείων πρὸς τὸ λαβεῖν». Καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ «πάντα» φησί «τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι· δι' ὃ καὶ τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ Πατρός ἐστι χαρίσματα καὶ τοῦ Πνεύματος ὄντος ἐν ἡμῖν· καὶ ὁ Λόγος, ὁ τοῦτο διδούς, ἔστιν ἐν ἡμῖν, καὶ ἐν τῷ Λόγῳ ἐστὶν ὁ Πατήρ· καὶ οὕτως ἐστὶ τὸ «ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν», καθάπερ εἴρηται. Ἔνθα γὰρ τὸ φῶς, ἐκεῖ καὶ τὸ ἀπαύγασμα· καὶ ἔνθα ἦν τὸ ἀπαύγασμα, ἐκεῖ καὶ ἡ τούτου ἐνέργεια καὶ αὐγοειδὴς χάρις. Καὶ τοῦτο πάλιν διδάσκων ὁ Παῦλος ἔγραφεν αὖθις Κορινθίοις ἐν τῇ δευτέρᾳ ἐπιστολῇ λέγων· «ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.» Ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ ἐν Τριάδι δίδοται παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ. Ὥσπερ γὰρ ἐκ Πατρός ἐστι δι' Υἱοῦ ἡ διδομένη χάρις, οὕτως οὐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν, εἰ μὴ ἐν Πνεύματι τῷ ἁγίῳ· τούτου γὰρ μετέχοντες, ἔχομεν τοῦ Πατρὸς τὴν ἀγάπην καὶ τοῦ Υἱοῦ τὴν χάριν καὶ αὐτοῦ τοῦ Πνεύματος τὴν κοινωνίαν. Μία ἄρα ἐκ τούτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται». Ἀλλὰ καὶ ὁ ἅγιος Ἀναστάσιος ἐν τῷ περὶ τοῦ Πνεύματος λόγῳ αὐτοῦ «συνῳδά» φησί «καὶ τὰ παρὰ τοῦ θεσπεσίου Παύλου περὶ τοῦ Πνεύματος εἰρημένα. Τοὺς γὰρ πεπιστευκότας ναοὺς Θεοῦ προσηγόρευσεν, ἔνοικον ἐσχηκότας τὴν χάριν

τοῦ Πνεύματος· «οὐκ οἴδατε γὰρ ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;» Καὶ πάλιν· «οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ⟨ἐστιν⟩, οὗ ἔχετε ἀπὸ Θεοῦ;» Ταῦτα δὲ ἄντικρυς διδάσκει τῆς θείας εἶναι φύσεως τὸ πανάγιον Πνεῦμα. Εἰ γὰρ ναὸς Θεοῦ χρηματίζουσιν οἱ πιστεύσαντες, ἐπειδὴ τοῦ Πνεύματος τὴν χάριν ἐδέξαντο, ἐκ τοῦ Θεοῦ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον· τὴν γὰρ τούτου χάριν ἔνοικον ἐσχηκότες, Θεοῦ ναοὶ ὠνομάσθησαν». Καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῷ δ' τῶν εἰς τὰς Πράξεις ἐξηγητικῶν τὸ «καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός» ἀναπτύσσων «καλῶς» φησίν «εἶπε διαμεριζόμεναι· ἐκ μιᾶς γὰρ ἦσαν ῥίζης· ἵνα μάθῃς ὅτι ἐνέργειά ἐστιν ἀπὸ τοῦ παρακλήτου πεμφθεῖσα». Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ αὐτῷ «καὶ ἐπλήσθησαν» φησίν «ἅπαντες· οὐχ ἁπλῶς ἔλαβον τοῦ Πνεύματος τὴν χάριν, ἀλλ' ἐπλήσθησαν». Ἀλλὰ καὶ τῶν Μασσαλιανῶν λεγόντων, ὡς τῆς οὐσίας τοῦ Θεοῦ ἐν μετοχῇ καθίστανται οἱ παρ' ἐκείνοις κεκαθαρμένοι, καὶ προφερόντων τὸ εὐαγγελικὸν ἐκεῖνο τὸ «ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν» καὶ τοῦτο πρὸς τὴν ἑαυτῶν δυσσέβειαν λίαν ἀνοήτως διαστρεφόντων, ἡ κατ' αὐτῶν δὴ τῶν Μασσαλιανῶν συστᾶσα σύνοδος, τὴν ἐκείνων πονηρὰν δόξαν ἀπορραπίζουσα, «γίνεταί τις» φησίν «ἐπιδημία τοῦ παρακλήτου, καὶ ἐνοικεῖ τοῖς ἀξίοις ὁ Θεός, ἀλλ' οὐχ ὡς ἔχει φύσεως ἡ θεότης».

Μετὰ τοῦτο ἐζητήθη δειχθῆναι παρὰ τῶν ἁγίων ὅτι τε ἄκτιστόν ἐστι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως καὶ ὅτι οὐκ ἔστι τοῦτο ἡ οὐσία τοῦ Θεοῦ. Καὶ πάντες σχεδὸν εἶπον ὅτι ἀπεδείχθη τοῦτο κατὰ τὴν τετάρτην συνέλευσιν, ἐν ᾗ παρόντες οἱ ἀντιλέγοντες τῇ ἐκκλησίᾳ νῦν μὲν κτιστὸν εἶναι τοῦτο καὶ φάντασμα καὶ παραπέτασμα καὶ ἴνδαλμα φανερῶς βλασφημοῦντες ἔλεγον, νῦν δέ· καὶ τοῦτο δυσσεβῶς· ἔλεγον ἄκτιστον καὶ οὐσίαν Θεοῦ εἶναι. Προηνέχθη γὰρ ἐν ἐκείνῃ τῇ συνελεύσει ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος γράφων· «οὐδεὶς ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Κυρίου, κατὰ τὸ γεγραμμένον, καὶ Θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν». Καὶ ὁ θεῖος Μάξιμος γράφων ἐν ἑβδόμῳ κεφαλαίῳ τῆς τρίτης τῶν θεολογικῶν ἑκατοντάδος· «ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτός, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται» Καὶ ὁ θεῖος χρυσορρήμων εἰς τὴν αὐτὴν ἑορτὴν γράφων «ἐν τῷ ὄρει» φησί «μεταμορφωθεὶς ὁ σωτὴρ μικρῶς πως ὡς δεσπότης ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν. Ἀλλ' εὐθὺς ἐροῦσιν οἱ ἀπύλωτον καὶ θηρευτικὴν περιφέροντες γλῶσσαν· ⟨ν⟩αί, εἰ ἀθέατος ἡ θεικὴ αὐτοῦ δόξα, πῶς ὑπέδειξεν αὐτὴν τοῖς ἀποστόλοις; εἰ γὰρ

ὁρατή, οὐκ ἀθέατος· εἰ δὲ ἀθέατος, οὐχ ὁρατή. Δι' ὃ ἄκουε συνετῶς. Ἐνταῦθα ὁ δεσπότης Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς ἐπέδειξε τῆς ἀθεάτου βασιλείας αὐτοῦ τὴν δόξαν καὶ οὐκ ἐπέδειξε· τουτέστι μικρὸν παρήνοιξε τὴν θεότητα καὶ οὐχὶ τελείως, τὸ μὲν πληροφορῶν, τὸ δὲ φειδόμενος· πληροφορῶν μὲν γὰρ ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν θεϊκὴν δόξαν, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσον ἠδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες· φειδόμενος δὲ καὶ οὐχὶ φθονῶν οὐκ ἔδειξεν αὐτοῖς ‹τῆς ἀθεάτου βασιλείας› τὴν πᾶσαν ‹θεϊκὴν αὐτοῦ› δόξαν, ἵνα μὴ σὺν τῇ ὁράσει καὶ τὴν ζωὴν ἀπολέσωσιν». Ἀλλὰ καὶ πάντες οἱ ἅγιοι ἔλλαμψιν αὐτὸ λέγοντες καὶ λαμπρότητα καὶ χάριν καὶ θέωσιν καὶ θεότητα παραδειχθεῖσαν μικροῦ στερροτέραν καὶ ὄψεως καὶ φῶς ἀπρόσιτον καὶ φυσικὴν ἀκτῖνα τοῦ Υἱοῦ, ἄναρχον βολίδα θεότητος, ἀστραπὴν θεότητος, καὶ τὰ τοιαῦτα. Προηνέχθη δὲ ἐν ἐκείνῃ τῇ συνελεύσει καὶ ὁ ἐπὶ τούτοις συνοδικὸς πρῶτος τόμος, ὃς τοῦτο φιλευσεβῶς καὶ βεβαίως ἀπέδειξεν ἄκτιστον καὶ οὐκ οὐσίαν διὰ πολλῶν τῶν ἐκ τῆς θείας Γραφῆς μαρτυριῶν καὶ τῶν τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου βασιλέως ἡμῶν ἐκείνου κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου συμφώνως τοῖς ἁγίοις ῥημάτων καὶ θεοσεβῶν θεσπισμάτων, πρὸς ὃν ἱερὸν καὶ θεῖον τόμον ἀντικειμένους ὁρῶντες τότε καὶ ἀντιλέγοντας τοὺς καὶ τῷ ἱερωτάτῳ Θεσσαλονίκης ἀντικειμένους ἀπεβαλόμεθα τούτους, ὡς νῦν μὲν κτιστὸν τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, νῦν δὲ λίαν ἀνοήτως οὐσίαν εἶναι τοῦτο τιθεμένους τοῦ Θεοῦ καὶ ὡς μὴ στέργοντας ἔχειν τὴν οὐσίαν τοῦ Θεοῦ καὶ δύναμιν ἄκτιστον καὶ ἐνέργειαν, ἀλλὰ πάσας τὰς κοινὰς δυνάμεις τε καὶ ἐνεργείας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἀφρόνως εἰς κτίσμα κατασπῶντας καὶ πολυθέους ὀνομάζοντας τοὺς ἄκτιστον ἀνομολογοῦντας τὸν Θεὸν μὴ κατ' οὐσίαν μόνον, ἀλλὰ καὶ κατὰ τὰς ὑποστάσεις καὶ κατὰ τὰς κοινὰς τῶν τριῶν ὑποστάσεων θείας δυνάμεις τε καὶ ἐνεργείας. Ἐπὶ τούτοις ἅπασι τὸ τοῦ Ἀκινδύνου βιβλίον εἰς μέσον προενεχθὲν ἀνεγνώσθη, ἐν ᾧ καὶ ἄλλας μὲν κακοδοξίας παλαιάς τε καὶ νέας δογματίζων ἐφαίνετο, διισχυρίζ‹ε›το δὲ καὶ μηδεμίαν πρεσβεύειν ἐνέργειαν ἄκτιστον κοινὴν τῆς τρισυποστάτου θεότητος, εἰ μὴ τὸν Υἱὸν μόνον καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' ἡ θεία σύνοδος, καλῶς τε καὶ θεοσόφως ἐπιγνοῦσα τὴν Μαρκέλλου καὶ Φωτεινοῦ καὶ Σωφρονίου τῶν παλαιῶν αἱρετικῶν τὴν δυσσέβειαν ταύτην οὖσαν, εὐθὺς τὸν θεῖον Χρυσόστομον κατὰ τῆς κακοδοξίας ταύτης ἀντεπεξάγουσι, καθάπερ τινὰ οὐρανόθεν αὐτὸν ἀφιέντες πρηστῆρα τὰ φρυγανώδη τοῦ Ἀκινδύνου ληρήματα κατακαύσοντα· ὃς δὴ καὶ τὴν πρὸς Φιλιππησίους ἐπιστολὴν ἐξηγούμενος «Μάρκελλος»

φησί «καὶ Φωτεινὸς καὶ Σωφρόνιος τὸν Λόγον ἐνέργειαν εἶναι φασί, τὴν δὲ ἐνέργειαν ταύτην ἐνοικῆσαι τῷ ἐκ σπέρματος Δαβίδ, οὐκ οὐσίαν ἐνυπόστατον. Ἄρειος Υἱὸν μὲν ὁμολογεῖ, ῥήματι δὲ μόνῳ· κτίσμα δὲ εἶναι φησὶ καὶ τοῦ Πατρὸς ἐλάττονα πολύ. Ἕτεροι δὲ οὐ φασὶν ἔχειν αὐτὸν ψυχήν. Εἶδες τὰ ἄρματα ἑστῶτα; Θεώρει τοίνυν αὐτῶν καὶ τὰ πτώματα, πῶς ὁμοῦ πάντας κατακρούων βάλλει καὶ μιᾷ πληγῇ πάντας ἀθρόον. Πῶς ⟨οὖν καταβάλλει⟩; «Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν» φησίν «ᾧ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ.» Ἐντεῦθεν καὶ Παῦλος ὁ Σαμοσατεὺς ἔπεσε καὶ Μάρκελλος καὶ Σαβέλλιος· «ἐν μορφῇ» γὰρ φησί «Θεοῦ ὑπάρχων». Πῶς οὖν λέγεις; ἀπὸ Μαρίας, ὦ μιαρέ, ἤρξατο, καὶ πρὸ τούτου οὐκ ἦν; Πῶς δὲ σὺ λέγεις; ἐνέργεια ἦν; Μορφὴ γὰρ Θεοῦ, φησίν, μορφὴν δούλου ἔλαβεν. Ἡ μορφὴ τοῦ δούλου ἐνέργεια δούλου ἐστὶν ἡ φύσις δούλου; Πάντως δήπου φύσι⟨ς⟩ δούλου· οὐκοῦν καὶ ἡ μορφὴ τοῦ Θεοῦ Θεοῦ φύσις· οὐκ ἄρα ἐνέργεια». Ἀλλὰ καὶ ὁ Νύσσης θεῖος Γρηγόριος ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ «Θεός» φησίν «ἐνεργοῦντα δηλοῖ, θεότης δὲ ἐνέργειαν· οὐδὲν δὲ τῶν τριῶν ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν». «Ἐκ δὴ τούτων» ἡ θεία σύνοδος σαφῶς ἀποδέδεικται» φησίν «ὡς ὁ λέγων μόνον τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀκτίστους ἐνεργείας εἶναι τοῦ Θεοῦ, ὡς μὴ κοινὴν δοξάζων ἐνέργειαν φυσικὴν τῶν τριῶν ὑποστάσεων, ἣν ὁ Ἀκίνδυνος ἀθετεῖ, τὴν Μαρκέλλου καὶ Φωτεινοῦ καὶ Σωφρονίου αἵρεσιν, πάλαι τεθνηκυῖαν καὶ καταργηθεῖσαν, εἰς τὴν ἐκκλησίαν τολμᾷ παρεισάγειν Θεοῦ. Εἰ δὲ καί τισι τῶν ἁγίων δύναμις ἡ ἐνέργεια εἴρηται ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῦ Πατρός, καὶ οὕτως ἑκάτερον ὡς ὑπόστασις τελεία καὶ δύναμιν καὶ ἐνέργειαν ἔχον, καὶ ἔστι τοῦτο κοινὸν ὄνομα, κατὰ τὸν θεῖον Διονύσιον, τῆς ὁλοτελοῦς καὶ ὑπερπλήρους θεότητος· καθ' ὃ σημαινόμενον καὶ ὁ Πατὴρ δύναμις καλεῖται. Ἡμῖν δε ἀρτίως ὁ λόγος οὐ περὶ ταύτης τῆς ἐνεργείας καὶ δυνάμεως, ἀλλὰ περὶ τὴς κοινῆς τῆς τρισυποστάτου θεότητος, ἥτις οὐχ ὑπόστασίς ἐστιν, ἀλλα φύσει καὶ ὑπερφυῶς πρόσεστιν ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων, κατὰ τὴν τῶν θεολόγων παράδοσιν· ἕνα γὰρ Θεὸν ἐν τρισὶν ὑποστάσεσι κατὰ τὸν μέγαν Ἀθανάσιον θεολογοῦμεν, μίαν ἔχοντα τὴν οὐσίαν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν καὶ ὅσα ἄλλα περὶ τὴν οὐσίαν θεωρεῖται θεολογούμενα καὶ ὑμνούμενα. Καὶ ἵνα τύπον δῶμεν τῷ λόγῳ καὶ ἄθροισμα ἢ πλήρωμα τὰ κατά θεολογίαν ἔχωμεν καθεξῆς, ἀκούσωμεν ὅτι τὸ ἄκτιστον, τὸ ἀσώματον, τὸ ἄχρονον, τὸ ἄναρχον, τὸ ἀίδιον, τὸ ἀτελεύτητον, τὸ ἄπειρον, τὸ ἄγνωστον, τὸ ἀσχημάτιστον, τὸ ἀνερμήνευτον, τὸ

ἀνεξιχνίαστον, τὸ θεὸν θεῶν λέγεσθαι αὐτόν, τὸ κύριον κυρίων, τὸ βασιλέα βασιλευόντων, τὸ παντοκράτορα, τὸ ποιητήν, τὸ δημιουργόν, τὸ φῶς, τὸ ἅγιον, τὸ ζωήν, τὸ ἀγαθόν, τὸ ἰσχυρον, τὸ παντοδύναμον καὶ ὅσα ἄλλα κατά τε ὑπεροχὴν καὶ αἰτιολογίαν, οὐχ ἕκαστον οὐσια λέγεται, ἀλλὰ περὶ τὴν οὐσίαν· ἃ καὶ ἄθροισμα καὶ πλήρωμα θεότητος λέγεται κατὰ τὴν Γραφήν, καθ' ἑκάστην τῶν ἁγίων τριῶν ὑποστάσεων ἐπ' ἴσης θεωρούμενα καὶ θεολογούμενα. «Πάντα γὰρ ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι· καὶ δεδόξασμαι ἐν αὐτοῖς»· ἄλλως τε δύναμις καλεῖται ὁ Υἱὸς τοῦ Πατρὸς ἢ καὶ τὸ Πνεῦμα ἅγιον καὶ δι' ἄλλας μὲν αἰτίας, ἃς οἱ θεολογοι παρέδοσαν, μάλιστα δέ, ὡς ὁλης τῆς πατρικῆς δυνάμεως ἐναποκειμένης τῷ Υἱῷ, ὡς ὁ μέγας Βασιλειος ῥητῶς τοῦτο γράφει Εὐνομίῳ πολεμῶν. Πῶς οὖν δίκαιον ἀναιρεῖν τὴν φυσικὴν καὶ κοινὴν τῆς τρισυποστάτου θεότητος δύναμιν, δι' ἣν καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον δύναμις τοῦ Πατρὸς παρὰ τῶν θεολόγων ὕμνηται;»

Ἐπὶ τούτοις ὁρισμῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἠρωτᾶτο παρὰ τοῦ μεγάλου χαρτοφύλακος καὶ ὑπάτου τῶν φιλοσόφων τῶν ἀρχιερέων ἕκαστος καὶ τῶν συγκλητικῶν καὶ ἐκκλησιαστικῶν ἀρχόντων, τίνα γνώμην ἔχει περὶ τῶν λαληθέντων καὶ ἐξετασθέντων τούτων πάντων νῦν ἐπὶ θείας καὶ ἱερᾶς συνοδου. Καὶ καθ' ἕνα πάντες ἀναμφιβόλως ἔχειν περὶ τούτων ἀπεφήναντο καὶ πολλὴν χάριν εἰδέναι τῷ ἱερωτάτῳ μητροπολίτῃ Θησσαλονίκης ἔλεγον, ὡς συμφώνως τοῖς ἁγίοις πᾶσιν εἰπόντι καὶ συγγραψαμένῳ καὶ εἰς συνηγορίαν τῆς κατ' εὐσέβειαν ἀληθείας ἐπὶ τοσοῦτον σπουδάσαντι καὶ τοσαύτας ὕβρεις τε καὶ συκοφαντίας καὶ ἐπηρείας ἄλλας ὑπενεγκόντι ὑπὲρ τοῦ ἐξελέγξαι Βαρλαὰμ ἐκεῖνον καὶ τὸν Ἀκίνδυνον καὶ τοὺς μετὰ ταῦτα μέχρι νῦν ἀναφανέντας συμφώνους αὐτοῖς καὶ τῆς πατροπαραδότου πρὸς Θεὸν πίστεως καὶ εὐσεβείας τὴν τοῦ Χριστοῦ ἐκκλησίαν μεταστῆσαι σπουδάζοντας. Μετὰ δὲ πάντας ὕστερον ἀπεφήνατο καὶ ὁ μεγαλοφυέστατος ὄντως καὶ τὰ θεῖα σοφός, γαληνότατος, κράτιστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς, πάντων τῆς καθέδρας ἐξαναστάντων τῶν τε λαμπροτάτων συγκλητικῶν καὶ τῶν ἱερωτάτων ἀρχιερέων, ὥσπερ δὴ νόμος ἐν τοῖς τοιούτοις, κύριος Ἰωάννης ὁ Καντακουζηνός, διορισάμενος ὅτι «μέγα ἡ ἀδικία κακὸν καὶ ἐπὶ τῶν γηίνων τούτων καὶ χαμερπῶν, ὡς καὶ ἔθνος ὅλον ἀχρειῶσαι καὶ κατασπάσαι δυνάμενον· ἐπεὶ καὶ τὸ ἐναντίον ταύτης, «ἡ δικαιοσύνη», κατὰ τὸ γεγραμμένον, «ἀνυψοῖ ἔθνος». Εἰ δὲ ἐπὶ τῶν κάτω ἡ ἀδικία τοσοῦτον μέγα κακόν, πόσῳ μᾶλλον ὅταν εἰς τὸ θεῖον ὕψος λαλῆται παρὰ τῶν κακῶς φρονούντων, καὶ αὐτὴ ἡ ἐν τῷ Θεῷ ἀλήθεια ἀδικῆται παρὰ τῶν

ἀθετούντων αὐτήν, καὶ οἱ ταύτην στέργοντες καὶ ἀνακηρύττοντες, ἔτι δὲ καὶ συνηγοροῦντες πρὸς δύναμιν ἐπηρεάζωνται καὶ συκοφαντῶνται καὶ διαβάλλωνται παρὰ τῶν ἐν διαστρόφῳ γνώμῃ πλανᾶν τοὺς ὀχλους ἐπιχειρούντων; Ἐγὼ γοῦν τοσαύτην ὁρῶ τὴν πρὸς ἁγίους συμφωνίαν τῶν παρὰ τοῦ ἁγιωτάτου μητροπολίτου Θεσσαλονίκης λελεγμένων καὶ νῦν ἀναγνωσθέντων αὐτοῦ συγγραμμάτων εἰς συνηγορίαν τῆς εὐσεβείας, καὶ τοσαύτην ποιησαμένους τοὺς ἁγίους σπουδὴν ἐν τοῖς οἰκείοις συγγράμμασιν ὑπὲρ τῶν προκειμένων ἀρτίως θείων δογμάτων, ὡς μηδένα τῶν μετ' εὐγνωμοσύνης ζῆν ἐθελόντων πλείω ταύτης ἐθελῆσαι ζητῆσαι. Ὑπὲρ δὲ ὧν τοῖς τε μακαρίοις τοῦ Χριστοῦ μαθηταῖς καὶ ἀποστόλοις καὶ ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις καὶ τοῖς ἁγίοις πατράσι τεθεολόγηται τοσοῦτον τὸ ἐν ἐμοὶ πρόθυμον, διὰ τῆς ἐν ἐμοὶ τοῦ Χριστοῦ χάριτος, ὡς ἕτοιμος εἶναι, εἴπερ μοι καὶ μία κοτύλη προσῆν αἵματος, ταύτην ἐκχέαι προθύμως ὑπὲρ αὐτῶν. Χάριν δὲ ἔχω καὶ τῷ ἐπὶ πάντων Θεῷ τῷ δεσπότῃ καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ὅτι μέγα ἔλεος ἐποίησε μεθ' ἡμῶν, εὐδοκήσας φανερωθῆναι καὶ στηριχθῆναι σήμερον τὴν τῆς εὐσεβείας ἀλήθειαν, καὶ οὐκ ἐνδοὺς παρατραπῆναί τι ταύτης καὶ σαλευθῆναι παρὰ τῶν πολλοῖς ἐπιχειρημάτων καὶ δόλοις καὶ μηχανήμασιν ἐπιχειρούντων ταύτην ἐπὶ δεκατέσσαρας ἐνιαυτοὺς ἤδη διαστρέψαι καὶ κατασεῖσαι». Ταῦτα μὲν οὖν καὶ ὁ θειότατος βασιλεύς.

Ἐπεὶ δὲ ἀπελύθη τούτου θεῖον καὶ σεπτὸν πρόσταγμα καὶ πρὸς τὸ Ἅγιον ὄρος, ὡς ἂν οἱ ἐν τούτῳ συνέσει καὶ ἀρετῇ διαφέροντες ἐπιδημήσωσιν εἰς τὴν κατὰ τὴν εὐδαίμονα ταύτην μεγαλόπολιν συγκροτουμένην σύνοδον, ἐκεῖνοι δὲ διά τε τὸ τῆς ὁδοῦ μῆκος καὶ τὴν τοῦ καιροῦ δυσχέρειαν ἐπιδημῆσαι οὐκ ἴσχυσαν, δύω τῶν ἱερωμένων μοναχῶν ἀρετῇ τε καὶ λόγῳ σεμνυνομένους πέμπουσι καὶ ἀναφορὰν πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα παραδηλοῦσαν ὅτι καὶ ἔγγραφον τὴν οἰκείαν γνώμην τῇ συνόδῳ ἀπέστειλαν. Ἀνέστησαν οὖν οἱ πεμφθέντες ἱερομόναχοι καὶ ⟨ἀ⟩πέδωκαν τῇ συνόδῳ λόγους, ὡς κοινοὺς τοῦ Ἁγίου ὄρους παντός, οὓς καὶ συνεγράψατο ἐκεῖ ἔτι παραμένων μετ' αὐτῶν ὁ ἱερώτατος μητροπολίτης Ἡρακλείας κύριος Φιλόθεος. Προεκόμισαν δὲ τὴν νῦν πεμφθεῖσαν ἐκεῖθεν ἔγγραφον ἀπάντων γνώμην, ἥτις καὶ ἀναγνωσθεῖσα εἰς ἐπήκοον πάντων συμφωνοῦσα καὶ συμμαρτυροῦσα διετέλει τῷ ἱερωτάτῳ μητροπολίτῃ Θεσσαλονίκης διὰ πάντων κατὰ τὴν τῆς εὐσεβείας ἀλήθειαν. Ταῦτα δὴ καὶ τὸ Ἅγιον ὄρος ἅπαν.

Ἡμεῖς δὲ πᾶσα ἡ συναθροισθεῖσα ἐν τῷ τρικλίνῳ τῷ οὕτω πως ἐπιλεγομένῳ Ἀλεξιακῷ τοῦ παλατίου τῶν ἱερῶν Βλαχερνῶν θεία καὶ ἱερὰ σύνοδος χάριτι Χριστοῦ, καὶ νῦν τῆς εὐσεβείας ὑπερμαχοῦντες, καὶ ἀκριβῆ καὶ προσήκουσαν τὴν περὶ

τῶν προκειμένων σκέψιν καὶ ἐξέτασιν ποιησάμενοι καὶ τοὺς πρώην ἐπὶ τούτοις συνοδικοὺς τόμους ὡς εὐσεβεστάτους ἐπικυροῦντες, μᾶλλον δὲ καὶ τούτοις ἑπόμενοι, τὸν μὲν Βαρλαὰμ ἐκεῖνον καὶ τὸν Ἀκίνδυνον, ὡς εἰς αὐτὰ τὰ καίρια τῆς εὐσεβείας ἐμπαροινήσαντας ⟨καὶ⟩ μηδαμῶς μεταβληθέντας ἔτι περιόντας τῷ βίῳ, τῷ ἀπὸ Χριστοῦ ἀναθέματι δικαίως καθυποβάλλομεν· τοὺς δὲ νῦν ἀναφανέντας καὶ συνοδικῶς ἐξελεγχθέντας ἐκείνοις ὁμόφρονας, τόν τε χριματίσαντα Ἐφέσου δηλονότι καὶ τὸν Γάνου τὸν ἀμαθῆ τε τὰ θεῖα φιλόσοφον Γρηγορᾶν καὶ τὸν Δεξιόν, καὶ ἁπλῶς ὅσοι τῆς συμμορίας αὐτῶν, ἀποκηρύκτους τε καὶ ἀποβλήτους ἔχομεν τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τοῦ Χριστοῦ, εἰ μὴ μεταμεληθεῖεν, καὶ τῷ ἀπὸ Χριστοῦ ἀναθέματι καθυποβάλλομεν, καὶ τοὺς κοινωνοῦντας τούτοις ἐν γνώσει ἀκοινωνήτους ἔχομεν καὶ πάσης ἱερατικῆς λειτουργίας τοὺς ἔχοντας ἀπογυμνοῦμεν. Τοὺς δ' ὑπὸ τούτων συναρπαγέντας τε καὶ παρασυρέντας καὶ μὴ τῶν ἐξάρχων τῆς αἱρέσεως ὄντας ἀμεταβλήτους μὲν μένοντας, τοῖς ὁμοίοις καθυποβάλλομεν, μεταμεληθέντας δὲ γνησίως καὶ ἀναθεματίζοντας τήν τε τοιαύτην κακοδοξίαν καὶ τοὺς εἰς τέλος ἐμμείναντας ταύτῃ μὴ μόνον εἰς κοινωνίαν τὴν κατ' εὐσέβειαν, ἀλλὰ καὶ εἰς ἱερωσύνην ἀσμενέστατα προσιέμεθα, μηδαμῶς τούτους ἀποβιβάζοντες, κατὰ τὴν ἐπὶ τοῖς τοιούτοις διάγνωσιν καὶ ἀπόφασιν τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου διοριζομένης ὅτι «τοὺς μὲν πρωτάρχους καὶ προϊσταμένους καὶ τῆς δυσσεβείας ἐκδικητὰς οὐδὲ μεταβαλλομένους καὶ μεταμελόμενους ὅλως εἰς ἱερωσύνην παραδεχόμεθα, τοὺς δὲ βιασθέντας ἢ συναρπαγέντας τε καὶ παρασυρέντας, μεταμελομένους ἀληθῶς καὶ γνησίως, εἰς ἱερωσύνην κατὰ τὸν οἰκεῖον ἕκαστον βαθμὸν προσδεχόμεθα.» Ἀλλὰ καὶ εἴ τις ἕτερος τῶν ἁπάντων τὰ αὐτά ποτε φωραθείη ἢ φρονῶν ἢ λέγων ἢ συγγραφόμενος κατὰ τοῦ ἱερωτάτου Θεσσαλονίκης, μᾶλλον δὲ κατὰ τῶν ἱερῶν θεολόγων καὶ τῆς ἐκκλησίας αὐτῆς, τὰ αὐτὰ καὶ κατ' αὐτοῦ ψηφιζόμεθα καὶ τῇ αὐτῇ καταδίκῃ καθυποβάλλομεν, εἴτε τῶν ἱερωμένων εἴη τις εἴτε τῶν λαϊκῶν. Αὐτὸν μέντοι τὸν πολλάκις ῥηθέντα Θεσσαλονίκης ἱερώτατον μητροπολίτην, μηδὲν ἀπᾷδον τῶν θείων λογίων γράφοντά τε καὶ φρονοῦντα μετ' ἐξετάσεως καταλαβόντες, μᾶλλον δὲ τῶν θείων λογίων καὶ τῆς κοινῆς ἡμῶν εὐσεβείας καὶ παραδόσεως ὡς προσῆκεν ὑπερμαχοῦντα, οὐκ ἀνώτερον μόνον παντάπασι τῶν κατ' αὐτοῦ, μᾶλλον δὲ τῶν κατὰ τῆς ⟨τοῦ⟩ Χριστοῦ ἐκκλησίας ἐρεσχελιῶν, ὡς καὶ οἱ πρώην συνοδικοὶ τόμοι προβάντες, ἔχομεν, ἀλλὰ καὶ ἀσφαλέστατον τῆς ἐκκλησίας καὶ τῆς εὐσεβείας πρόμαχον καὶ προαγωνιστὴν καὶ βοηθὸν ταύτης ἀποφαινόμεθα· οὕτω γὰρ καὶ οἱ ἐπὶ ταῖς συνόδοις ἐκείναις

προβάντες τόμοι ἔξουσι, καθάπερ οὖν ἔχουσι, τὸ ἀσφαλές τε καὶ βέβαιον. Τούτων δὲ οὕτως ἐκβάντων οὐκ ἄνευ δηλονότι τῆς τοῦ ἀγαθοῦ Πνεύματος συνεργείας καὶ χάριτος, λοιπὸν ἦν ἔτι προθυμουμένοις πᾶσαν αἰτίαν τῶν βουλομένων αἰτιᾶσθαι περιαιρεῖν μηδὲ ἅπερ τῶν ἐν τοῖς τοῦ ἱερωτάτου Θεσσαλονίκης συγγράμμασιν ἐν αἰτίαις ἐποιοῦντο οἱ τῆς ἐκκλησίας πολέμιοι, μηδὲ ταῦτα παραδραμεῖν ἀβασάνιστα, εἰ καὶ ἀπὸ τῶν ἐξετασθέντων ἐν τῇ θείᾳ συνόδῳ τότε καὶ ταῦτα πάντα περιελήφθησαν. Εὑρόντος οὖν ταῦτα τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καταγεγραμμένα κατὰ μέρος παρὰ τῆς ἐκείνων χειρὸς καὶ πρὸς ἡμᾶς ταῦτα δόντος, ἡμεῖς ἕκαστον τούτων ἐν τῷ τοῦ ἱερωτάτου Θεσσαλονίκης βιβλίῳ ἀνέγνωμέν τε καὶ ἐξητάσαμεν, συνελθόντες κατὰ τὴν Μεγάλην ἐκκλησίαν καὶ συνδιημερεύσαντες οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις· καὶ τὸν μὲν Θεσσαλονίκης ἱερώτατον μητροπολίτην καὶ ἐν τούτοις σύμφωνον τοῖς ἱεροῖς θεολόγοις εὕρομεν καὶ συνήγορον Χριστοῦ χάριτι τῆς κατ' εὐσέβειαν ἀληθείας, αὐτοὺς δὲ καὶ ἀφ' ὧν ἐγγράφως διαστρέφειν καὶ κατηγορεῖν ἐπεχείρουν πολλαῖς καὶ μεγάλαις αἱρέσεσι περιπίπτοντας. Τοῖς τε γὰρ παρὰ τῶν θεολόγων ῥητῶς εἰρημένοις φανερῶς ἀντιλέγοντες διετέλουν καὶ τὴν θέωσιν τοῦ δεσποτικοῦ προσλήμματος κτιστὴν ἐτόλμησαν ἀνειπεῖν καὶ τὴν οὐσίαν τοῦ Θεοῦ, διὰ τὸ παρὰ τῶν ἁγίων εἰρῆσθαι ταύτην ἀπροσπέλαστον καὶ ἀμέθεκτον, φθαρτικὴν εἶναι νομίζειν τοὺς οὕτω περὶ ταύτης φρονοῦντας· ὧ τῆς τόλμης· ἀσεβῶς ἀπεφήναντο, καὶ ταῦτα τοῦ Θεοῦ πρὸς Μωσῆν εἰρηκότος· «οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται». Ἀλλὰ καὶ τὰ ἐπαναπεπαυμένα κατὰ τὴν προφητείαν ἐπὶ τὸ ἄνθος τὸ ἐκ τῆς ῥίζης Ἰεσσαί, δηλονότι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἑπτὰ πνεύματα, τουτέστι τὰς ἐνεργείας κατὰ τοὺς ἱεροὺς θεολόγους τοῦ θείου Πνεύματος, ἃς ὁ μὲν ἱερὸς Ζαχαρίας ἑπτὰ ὀφθαλμοὺς τοῦ Κυρίου ἀνύμνησεν ἐπιβλέποντας ἐπὶ πᾶσαν τὴν γῆν, ὁ δὲ θεῖος Μάξιμος φυσικῶς ταῦτα προσεῖναι τῷ Υἱῷ τοῦ Θεοῦ ἐθεολόγησε, μετὰ τῶν κτισμάτων ἔταξαν· καὶ τὰ πλείω τούτων καὶ μηδὲν ἧττον εἰς ἀσέβειαν φέροντα οὐδὲ ἀριθμεῖν ῥᾴδιον. Δι' ὃ καὶ ἀπὸ τούτων ἡ καταδίκη τούτοις, εἰ μὴ ἄρα μεταμεληθεῖεν, ἐπεκυρώθη· καὶ τὰ συνοδικῶς ἡμῖν ἀρτίως μετὰ τῆς ἐκ Θεοῦ βασιλείας ἐξετασθέντα καὶ διαγνωσθέντα τὸ ἀσφαλὲς ἐν πᾶσι καὶ βέβαιον ἕξει, σύμφωνα πάντως ὄντα τῇ τε ἀληθείᾳ καὶ θείοις πατράσι πᾶσι καὶ ταῖς προγεγενημέναις τούτου χάριν ἱεραῖς καὶ θείαις συνόδοις καὶ τοῖς ἐπ' αὐταῖς συνοδικοῖς τόμοις· καὶ ἡ ἔνθεσμος διὰ πάντων καὶ κανονικὴ αὕτη ψῆφος, γραφεῖσα καὶ ὑπογραφεῖσα ἀρτίως, ἀκίνητος εἰς αἰῶνα τὸν σύμπαντα διατηρηθήσεται τῇ πάντα δυναμένῃ ἐνεργείᾳ καὶ χάριτι τοῦ παντοδυνάμου καὶ

μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν, ὑπὲρ ἧς καὶ δι' ἧς ὁ παρὼν ἡμῖν ἀγὼν ἤνυσται. Ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ πεντηκοστῷ ἐννάτῳ κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης τετάρτης ἰνδικτιῶνος.

\+ Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τὸ ΙΩΑΝΝΗΣ ΕΝ ΧΡΙΣΤΩι ΤΩι ΘΕΩι ΠΙΣΤΟΣ ΒΑΣΙΛΕΥΣ ΚΑΙ ΑΥΤΟΚΡΑΤΩΡ ΡΩΜΑΙΩΝ Ο ΚΑΝΤΑΚΟΥΖΗΝΟΣ [1]).

Καὶ διὰ τῆς τιμίας πατριαρχικῆς χειρὸς τὸ Κάλλιστος ἐλέῳ Θεοῦ ᾱ. ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Εἶχε καὶ ὑπογραφὰς τῶν ἱερωτάτων ἀρχιερέων ταύτας·

Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θράκης καὶ Μακεδονίας Φιλόθεος.

Ὁ ταπεινὸς μητροπολίτης Θεσσαλονίκης ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας Γρηγόριος.

Ὁ Κυζίκου Ἀρσένιος ὁρίσας ὑπέγραψα.

Ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφείας ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λυδίας καὶ καθολικὸς κριτὴς τῶν Ῥωμαίων Μακάριος.

Ὁ ταπεινὸς μητροπολίτης Χαλκηδόνος ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βιθυνίας Ἰάκωβος.

Ὁ ταπεινὸς μητροπολίτης Μελενίκου ὑπέρτιμος Μητροφάνης.

Ὁ ταπεινὸς μητροπολίτης Βερροίας καὶ ὑπέρτιμος Διονύσιος.

Ὁ ταπεινὸς μητροπολίτης Ποντοηρακλείας καὶ ὑπέρτιμος Μεθόδιος.

Ὁ ταπεινὸς μητροπολίτης Πηγῶν ‹καὶ› Παρίου [2]) καὶ ὑπέρτιμος Γεώργιος.

Ὁ ταπεινὸς μητροπολίτης Τραπεζοῦντος καὶ ὑπέρτιμος Νήφων.

Ὁ ταπεινὸς μητροπολίτης Τραϊανουπόλεως καὶ ὑπέρτιμος Γερμανός.

Ὁ ταπεινὸς μητροπολίτης Συλυβρίας καὶ ὑπέρτιμος Ἡσαΐας.

Ὁ ταπεινὸς μητροπολίτης Ἄπρω καὶ ὑπέρτιμος Γαβριήλ.

Ὁ ταπεινὸς μητροπολίτης Ἀμάστριδος καὶ ὑπέρτιμος Καλλίνικος.

Ὁ Διδυμοτείχου Θεόληπτος.

---

[1]) Въ другихъ спискахъ этого тома вмѣсто этихъ словъ находимъ слѣдующія: Εἶχεν ὑπογραφὰς τὸ πρωτότυπον διὰ μὲν ἐρυθρῶν γραμμάτων τῶν θειοτάτων βασιλέων ἀμφοτέρων τό; затѣмъ помѣщена приведенная здѣсь подпись Іоанна Кантакузина, а за нею слѣдуетъ Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Παλαιολόγος (Migne, Patr. gr. t. 151, col. 761). — Ред.

[2]) Въ спискѣ, приготовленномъ для еписк. Порфирія, стоитъ: Πανίου. — Ред.

Ὁ ταπεινὸς μητροπολίτης Αἴνου καὶ ὑπέρτιμος Δανιήλ.
Ὁ ταπεινὸς μητροπολίτης Βρύσεως Θεοδώρητος.
Ὁ ταπεινὸς μητροπολίτης Μαδύτων καὶ ὑπέρτιμος Ἰάκωβος.
Ὁ ταπεινὸς μητροπολίτης Σουγδαίας καὶ ὑπέρτιμος Εὐσέβιος.
Ὁ ταπεινὸς μητροπολίτης Βιζύης καὶ ὑπέρτιμος Νεόφυτος.
Ὁ ταπεινὸς μητροπολίτης Γαρέλλης Ἰωαννίκιος.
Ὁ ταπεινὸς μητροπολίτης Μηδείας καὶ ὑπέρτιμος Εὐθύμιος.
Ὁ ταπεινὸς μητροπολίτης Τενέδου καὶ ὑπέρτιμος Ἰωσήφ.
Ὁ ταπεινὸς μητροπολίτης Καλλιουπόλεως Ἰωσήφ.
Ὁ ταπεινὸς ἐπίσκοπος Πανίου Ἰγνάτιος.
Ὁ ταπεινὸς ἐπίσκοπος Σινάου Ἰσαάκ.
κη Ὁ ταπεινὸς ἐπίσκοπος Ἀνακταρουπόλεως Νίκανδρος [1]).

(Cp Migne, Patrol gr. t. 151, coll. 717—764).

Извлечено изъ Маврокордатовой рукописи аѳонской лавры св. Аѳанасія.

№ 45.

Выписка изъ аѳонокутлумушской рукописи подъ названіемъ:

Ἐποφειλομένη πρὸς Θεὸν ἐτήσιος εὐχαριστία καθ' ἣν ἡμέραν

[1]) Въ другихъ спискахъ тома есть еще нѣсколько другихъ подписей, а въ концѣ его прибавлено слѣдующее:

Εἶχεν ἑτέραν ὑπογραφὴν ὁμοίως τὸ πρωτότυπον τοῦ ὕστερον γενομένου θειοτάτου βασιλέως ἡμῶν μετὰ καὶ προγράμματος τοῦδε· Ἡ βασιλεία μου μέλλουσα ὑπογράψειν ἐν τῷ παρόντι τόμῳ, προγεγονότι παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου μοναυτοκράτορος καὶ βασιλέως τοῦ πατρὸς τῆς βασιλείας μου καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου ἐπὶ βεβαιώσει μὲν τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ἐπὶ καθαιρέσει δὲ τῆς ἀθεωτάτης Βαρλαὰμ καὶ Ἀκινδύνου αἱρέσεως, τάττει καὶ διορίζεται στέργεσθαι τοῦτον παρ' αὐτῆς ἀμεταποίητον καὶ ἀμετακίνητον, χωρὶς βασάνου καὶ δοκιμασίας τῆς οἰασδήτινος, ὡς ἐκ Θεοῦ γραφέντα διὰ τῶν ἐν αὐτῷ λαλούντων ἁγίων, δεχομένης μὲν τῆς βασιλείας μου καὶ ἀσπαζομένης ἅπερ καὶ ὁ παρὼν τόμος προσίεται, ἀναθέματι δὲ παραδιδούσης ὅσα καὶ αὐτὸς τῷ ἀναθέματι παραδέδωκε· καὶ πρὸς μὲν τοὺς ἐναντιουμένους τῷ τοιούτῳ θείῳ καὶ ἱερῷ τόμῳ τάττει ἡ βασιλεία μου καὶ λόγοις καὶ ἔργοις κατ' αὐτῶν ἵστασθαι καὶ ὡς κοινοὺς τῆς ἐκκλησίας ἀπελαύνειν ἐχθρούς, τοὺς δὲ ἐμμένοντας τούτῳ ἀποδοχῆς καὶ εὐμενείας τῆς δυνατῆς ἀξιοῦν. Ταῦτα δὲ τάττει ἡ βασιλεία μου, ὡς ἐκ Θεοῦ καταστᾶσα διὰ τῆς αὐτοῦ χάριτος δηφένσωρ καὶ ἐκδικητὴς τῆς αὐτοῦ ἐκκλησίας. Ὥστε δὲ μένειν τὸν παρόντα ὁρισμὸν βέβαιον καὶ ἀκίνητον τῆς βασιλείας μου εἰς αἰῶνα τὸν ἅπαντα, καὶ ὑπογέγραπται παρ' αὐτῆς, καὶ τῷ ἁγίῳ θυσιαστηρίῳ ταῖς ἐμαυτοῦ χερσὶν ὥσπερ ἱερὸν ἀνάθημα φέρων ἀνέθηκα, παρουσίᾳ τοῦ κραταιοῦ καὶ ἁγίου μου αὐτοκράτορος καὶ βασιλέως, τοῦ πατρὸς τῆς βασιλείας μου, καὶ τοῦ παναγιωτάτου μου δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου Φιλοθέου καὶ τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς συνόδου· μηνὶ φευρουαρίῳ ἰνδ. ζ'. Ματθαῖος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ τῶν Ῥωμαίων Ἀσάνης ὁ Καντακουζηνός (Migne, Patr. gr. t. 151, col. 764). — Ред.

ἀπελάβομεν τὴν τοῦ Θεοῦ ἐκκλησίαν, σὺν ἀποδείξει τῶν τῆς εὐσεβείας δογμάτων καὶ καταστροφῇ τῆς κακίας δυσσεβημάτων.

Τὰ κατὰ μῆνα ἰούλιον τῆς πέμπτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑξηκοστοῦ ἔτους λαληθέντα καὶ πραχθέντα παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου τῆς συγκροτηθείσης κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου καὶ τῶν ὁμοφρόνων ἐκείνοις ἐν τῷ θεοφρουρήτῳ παλατίῳ τῶν ἱερῶν Βλαχερνῶν ἔνδον τοῦ μεγάλου τρικλίνου τοῦ λεγομένου Ἀλεξιακοῦ. +

Βαρλαὰμ καὶ Ἀκινδύνῳ καὶ τοῖς ὀπαδοῖς καὶ διαδόχοις αὐτῶν ἀνάθεμα Γ̄.

α) Τοῖς φρονοῦσι καὶ λέγουσι τὸ λάμψαν ἀπὸ τοῦ Κυρίου ἐπὶ τῆς θείας αὐτοῦ μεταμορφώσεως φῶς ποτὲ μὲν ἴνδαλμα καὶ κτίσμα καὶ φάσμα ἐπὶ βραχὺ φανὲν καὶ διαλυθὲν παραχρῆμα, ποτὲ δὲ αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ, ὡς εἰς αὐτὰ τὰ ἐναντιώτατα φρενοβλαβῶς καὶ ἀδύνατα παντελῶς ἑαυτοὺς ἐπιῤῥίπτουσι καὶ τοῦτο μὲν τὴν Ἀρείου μαινομένοις μανίαν εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν θεότητα καὶ τὸν ἕνα Θεὸν κατατέμνοντος, τοῦτο δὲ τῇ τῶν Μασσαλιανῶν δυσσεβείᾳ συμφερομένοις τὴν θείαν οὐσίαν ὁρατὴν εἶναι λεγόντων, μὴ ὁμολογοῦσι δέ, κατὰ τὰς τῶν ἁγίων θεοπνεύστους θεολογίας καὶ τὸ τῆς ἐκκλησίας εὐσεβὲς φρόνημα, μήτε κτίσμα εἶναι τὸ θειότατον ἐκεῖνο φῶς μήτε οὐσίαν Θεοῦ, ἀλλ' ἄκτιστον καὶ φυσικὴν χάριν καὶ ἔλλαμψιν ἐξ αὐτῆς τῆς θείας οὐσίας ἀχωρίστως ἀεὶ προιοῦσαν, ἀνάθεμα Γ̄.

β) Ἔτι τοῖς αὐτοῖς φρονοῦσι καὶ λέγουσι μηδεμίαν ἐνέργειαν φυσικὴν ἔχειν τὸν Θεόν, ἀλλὰ μόνην οὐσίαν εἶναι, ταὐτόν τε καὶ ἀδιάφορον παντελῶς οἰομένοις τήν τε θείαν οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν καὶ μηδεμίαν εἶσθαι τούτων κατά τι διαφοράν, ἀλλὰ τὴν αὐτὴν ποτὲ μὲν οὐσίαν, ποτὲ δὲ ἐνέργειαν λέγεσθαι, ὡς καὶ αὐτὴν ἀνοήτως τὴν θείαν οὐσίαν παντάπασιν ἀναιροῦσι, καὶ εἰς τὸ μὴ ὂν ἄγουσιν· ἐνεργείας γὰρ μόνον τὸ μὴ ὂν στερεῖσθαι φασὶν ἐπὶ λέξεως οἱ τῆς ἐκκλησίας διδάσκαλοι· ἤδη δὲ καὶ τὰ Σαβελλίου νοσοῦσι καὶ τὴν παλαιὰν ἐκείνου συναίρεσιν καὶ σύγχυσιν καὶ συναλοιφὴν ἐπὶ τῶν τριῶν τῆς θεότητος ὑποστάσεων νῦν ἐπὶ τῆς θείας οὐσίας καὶ ἐνεργείας ἀνακαινίζειν τολμῶσι καὶ ὁμοίως δυσσεβῶς αὐτὰς συναλείφουσι, μὴ ὁμολογοῦσι δέ, κατὰ τὰς τῶν ἁγίων θεοπνεύστους θεολογίας καὶ τὸ τῆς ἐκκλησίας εὐσεβὲς φρόνημα, οὐσίαν τε ἐπὶ Θεοῦ καὶ οὐσιώδη καὶ φυσικὴν τούτου ἐνέργειαν, ὡς ἄλλοι τε πλεῖστοι τῶν ἁγίων καὶ μάλιστα οἱ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου τρανῶς διεσάφησαν περὶ τῶν δύο ἐνεργειῶν τοῦ Θεοῦ, τῆς τε θείας καὶ ἀνθρωπίνης, καὶ τῶν δύο θελημάτων αὐτὴν ἅπασαν συγκροτήσαντες, μήτε μὴν νοεῖν βουλομένοις, ὥσπερ ἕνωσιν θείας οὐσίας καὶ ἐνεργείας ἀσύγχυτον, οὕτως εἶναι καὶ διαφορὰν ἀδιάστα-

τον κατά τε ἄλλα καὶ μάλιστα τὸ αἴτιον καὶ αἰτιατὸν καὶ ἀμέθεκτον καὶ μεθεκτόν, τό μεν τῆς οὐσίας, τὸ δὲ ἐνεργείας, τούτοις οὖν τὰ τοιαῦτα δυσσεβοῦστν ἀνάθεμα Γ̄.

γ) Ἔτι τοῖς αὐτοῖς φρονοῦσι καὶ λέγουσι κτιστὴν εἶναι πᾶσαν φυσικὴν δύναμιν καὶ ἐνέργειαν τῆς τρισυποστάτου θεότητος, ὡς κτιστὴν ἐκ τούτου πάντως καὶ αὐτὴν τὴν θείαν οὐσίαν ἀναγκαζομένοις δοξάζειν· κτιστὴ γὰρ κατὰ τοὺς ἁγίους ἐνέργεια κτιστὴν δηλώσει καὶ φύσιν, ἄκτιστος δὲ ἄκτιστον χαρακτηρίζει οὐσίαν· κἀντεῦθεν ἤδη κινδυνευοῦσιν εἰς ἀθείαν παντελῆ περιπίπτειν καὶ τὴν ἑλληνικὴν μυθολογίαν καὶ τὴν τῶν κτισμάτων λατρείαν τῇ καθαρᾷ καὶ ἀμώμῳ τῶν χριστιανῶν πιστει προστριβομένοις, μὴ ὁμολογοῦσι δέ, κατὰ τὰς τῶν ἁγίων θεοπνεύστους θεολογίας καὶ τὸ τῆς ἐκκλησίας εὐσεβὲς φρόνημα, ἄκτιστον εἶναι πᾶσαν φυσικὴν δύναμιν καὶ ἐνέργειαν τῆς τρισυποσάτου θεότητος, ἀνάθεμα Γ̄.

δ) Ἔτι τοῖς αὐτοῖς φρονοῦσι καὶ λέγουσι σύνθεσίν τινα ὅλως διὰ ταῦτα γίνεσθαι ἐπὶ Θεοῦ, μὴ πειθομένοις δὲ τῇ τῶν ἁγίων διδασκαλίᾳ, μηδεμίαν σύνθεσιν ἀπὸ τῶν φυσικῶν ἐν τῇ φύσει γίνεσθαι διδασκόντων, κἀντεῦθεν οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ τοὺς ἁγίους ἅπαντας συκοφαντοῦσι διαῤῥήδην ἐν πολλοῖς πολλάκις ἀναδιδάσκοντας τό τε ἁπλοῦν ἐπὶ Θεοῦ καὶ ἀσύνθετον καὶ τὴν τῆς θείας οὐσίας καὶ ἐνεργείας διαφοράν, ὡς κατ' οὐδὲν πάντως τὴν διαφορὰν ταύτην λυμαινομένην τῇ θείᾳ ἁπλότητι· οὐ γὰρ ἂν οὕτω προδήλως ἑαυτοῖς ἐναντία θεολογεῖν ἐπεχείρουν· τοῖς οὖν τὰ τοιαῦτα κενολογοῦσι, μὴ ὁμολογοῦσι δέ, κατὰ τὰς τῶν ἁγίων θεοπνεύστους θεολογίας καὶ τὸ τῆς ἐκκλησίας εὐσεβὲς φρόνημα, μετὰ τῆς θεοπρεποῦς ταύτης διαφορᾶς καὶ τὴν θείαν ἁπλότητα πάνυ καλῶς διασώζεσθαι, ἀνάθεμα Γ̄.

ε) Ἔτι τοῦς αὐτοῖς φρονοῦσι καὶ λέγουσιν ἐπὶ τῆς θείας οὐσίας μόνης τὸ τῆς θεότητος ὄνομα λέγεσθαι, μὴ ὁμολογοῦσι δέ, κατὰ τὰς τῶν ἁγίων θεοπνεύστους θεολογίας καὶ τὸ τῆς ἐκκλησίας εὐσεβὲς φρόνημα, καὶ ἐπὶ τῆς θείας ἐνεργείας οὐχ ἧττον αὐτὸ τίθεσθαι, [καὶ οὕτω πάλιν μίαν θεότητα πᾶσι τρόποις πρεσβεύουσι, Πατρός, Υἱοῦ καὶ ἁγίου Πνεύματος, (*) εἴτε τὴν οὐσίαν αὐτῶν εἴτε τὴν ἐνέργειαν θεότητα εἴποι τις, ὡς οἱ θεῖοι μυσταγωγοὶ καὶ τοῦτο ἡμᾶς ἐκδιδάσκουσιν, ἀνάθεμα Γ̄.

ς) Ἔτι τοῖς αὐτοῖς φρονοῦσι καὶ λέγουσι μεθεκτὴν τὴν θείαν οὐσίαν εἶναι, ὡς τὴν τῶν Μασσαλιανῶν δυσσέβειαν εἰς τὴν καθ' ἡμᾶς ἐκκλησίαν ἤδη

*) Это мѣсто испорчено; я возстановляю его такъ: καὶ ἀντιλεγοῦσιν, εἴτε τὴν οὐσίαν κ. τ. λ.

παρεισάγειν ἀναισχυντοῦσι πάλαι τὴν τοιαύτην δόξαν νενοσηκότων, μὴ ὁμολογοῦσι δέ, κατὰ τὰς τῶν ἁγίων θεοπνεύστους θεολογίας καὶ τὸ τῆς ἐκκλησίας εὐσεβὲς φρόνημα, ἄληπτον μὲν εἶναι παντελῶς καὶ ἀμέθεκτον, μεθεκτὴν δὲ τὴν θείαν χάριν τε καὶ ἐνέργειαν, ἀνάθεμα γ̄.

Πᾶσι τοῖς δυσσεβέσιν αὐτῶν λόγοις τε καὶ συγγράμμασιν ἀνάθεμα γ̄.

ζ) Ἀνδρονίκου τοῦ ἀοιδίμου καὶ μακαρίτου βασιλέως ἡμῶν τοῦ Παλαιολογου τοῦ τὴν προτέραν κατὰ Βαρλαὰμ συγκροτήσαντος σύνοδον γενναίως τε τῆς ἐκκλησίας Χριστοῦ καὶ τῆς ἱερᾶς ἐκείνης συνόδου προστάντος καὶ πράγμασι καὶ λόγοις καὶ ταῖς διὰ στόματος ἰδίου θαυμασταῖς δημηγορίαις τὰ μὲν εὐαγγελικὰ καὶ ἀποστολικὰ κρατύν⟨α⟩ντος δόγματα, τὸν δὲ προῤῥηθέντα Βαρλαὰμ αὐταῖς αἱρέσεσι καὶ συγγράμμασι καὶ ταῖς κατὰ τῆς ὀρθῆς ἡμῶν πίστεως κενοφωνίαις καθελόντος τε καὶ ἀποκηρύξαντος, ὡς καὶ τοῖς ἱεροῖς τούτοις ἀγῶσι καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀριστεύμασι μακαρίως μεταλλάξαι τὸν τῇδε βίον καὶ πρὸς τὴν ἀμείνω καὶ μακαρίαν ἐκείνην διαβῆναι λῆξιν, αἰωνία ἡ μνήμη γ̄.

η) Γρηγορίου τοῦ ἁγιωτάτου μητροπολίτου Θεσσαλονίκης τ⟨οῦ⟩ συνοδικῶς ἐπ' ἐκκλησίας μεγάλης Βαρλαάμ τε καὶ Ἀκίνδυνον τοὺς ἀρχηγοὺς καὶ ἐφευρετὰς τῶν καινῶν αἱρέσεων καθελόντος σὺν τῇ περὶ αὐτοὺς συμμορίᾳ, τοὺς τὴν φυσικὴν καὶ ἀχώριστον ἐνέργειαν καὶ δύναμιν τοῦ Θεοῦ καὶ ἁπλῶς πάντα ὁμοῦ τὰ φυσικὰ τῆς ἁγίας Τριάδος ἰδιώματα κτίσματα τετολμηκότας εἰπεῖν, ἀλλὰ δὴ καὶ τὸ τῆς θεότητος ἀπρόσιτον φῶς τὸ λάμψαν ἐπὶ τοῦ ὄρους ἀπὸ Χριστοῦ, θεότητά τε κτιστὴν καὶ τὰς Πλατωνικὰς ἰδέας καὶ τοὺς Ἕλληνικοὺς μύθους ἐκείνους ἐπεισαγαγεῖν ἐπιχειρήσαντας αὖθις κακῶς τῇ ἐκκλησίᾳ Χριστοῦ, τῆς δὲ κοινῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ τῶν ἀληθινῶν καὶ ἀπταίστων περὶ θεότητος δογμάτων σοφῶς καὶ γενναίως ἄγαν προπολεμήσαντος καὶ συγγράμμασι καὶ λόγοις καὶ διαλέξεσι καὶ μίαν θεότητα καὶ Θεὸν ἕνα τρισυπόστατον, ἐνεργῆ, θελητικόν, παντοδύναμον, ἄκτιστον διὰ πάντων κατὰ τὰς θείας γραφὰς καὶ δὴ καὶ τοὺς θεολόγους καὶ ἐξηγητὰς τούτων ἀνακηρύξαντος, Ἀθανάσιον, φημί, καὶ Βασίλειον, Γρηγόριον καὶ Ἰωάννην καὶ Κύριλλόν τε πρὸς τούτοις καὶ Μάξιμον τὸν σοφὸν καὶ τὸν ἐκ Δαμασκοῦ θεορῥήμονα, οὐ μὴν ἀλλὰ καὶ τοὺς λοιποὺς πατέρας καὶ διδασκάλους τῆς Χριστοῦ ἐκκλησίας, καὶ κοινωνοῦ καὶ συνωδοῦ καὶ συμφώνου καὶ σπουδαστοῦ καὶ συναγωνιστοῦ πάντων τούτων ἀναφανέντος καὶ λόγοις καὶ πράγμασιν αἰωνία ἡ μνήμη γ̄.

θ) Πάντων τῶν ὑπὲρ τῆς ὀρθοδοξίας συναγωνισαμένων τῷ ἀοιδίμῳ

καὶ μακαρίτῃ τούτῳ βασιλεῖ καὶ δὴ μετ' ἐκεῖνον καὶ λόγοις καί διαλέξεσι συγγράμμασί τε καὶ διδασκαλίαις καὶ παντὶ καὶ λόγῳ καὶ πράγματι γενναίως τῆς ἐκκλησίας προστάντων Χριστοῦ καὶ τὰς μὲν πονηρὰς καὶ πολυειδεῖς αἱρέσεις Βαρλαάμ τε καὶ Ἀκυδύνου καὶ τῶν ὁμοφρόνων ἐκείνοις ἐπ' ἐκκλησίας ἐξελεγξάντων τε καὶ ἀποκηρυξάντων ὁμοῦ, τὰ δέ ἀποστολικά τε καὶ πατρικὰ τῆς εὐσεβείας δόγματα λαμπρῶς ἀνακυρηξάντων καὶ διὰ ταῦτα καὶ κακῶς ἀκουόντων παρὰ τῶν κακοδόξων καὶ συκοφαντουμένων καὶ συνυβριζομένων τοῖς ἱεροῖς θεολόγοις καὶ θεοφόροις ἡμῶν πατράσι καὶ διδασκάλοις αἰωνία ἡ μνήμη γ̄.

ι) Τῶν ὁμολογούντων ἕνα Θεὸν τρισυπόστατον, πανταδύναμον, οὐ μόνον ἄκτιστον κατὰ τὴν οὐσίαν καὶ τὰς ὑποστάσεις, ἀλλὰ καὶ κατὰ τὴν ἐνέργειαν, καὶ λεγόντων προϊέναι μὲν τὴν θείαν ἐνέργειαν ἐκ τῆς θείας οὐσίας, προϊέναι δὲ ἀδιαιρέτως, διὰ μὲν τοῦ προϊέναι τὴν ἀπόῤῥητον διάκρισιν παριστώντων, διὰ δὲ τοῦ προϊέναι ἀδιαιρέτως ὑπερφυᾶ δεικνύντων τὴν ἕνωσιν, ὡς καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος ἀπεφήνατο, αἰωνία ἡ μνήμη γ̄.

ια) Τῶν ὁμολογούντων τὸν Θεόν, ὥσπερ κατ' οὐσίαν ἄκτιστον καὶ ἄναρχον, οὕτω δὴ καὶ κατ' ἐνέργειαν· τοῦ ἀνάρχου δηλαδὴ κατὰ χρόνον λαμβανομένου· καὶ κατὰ μὲν τὴν θείαν οὐσίαν ἀμέθεκτον καὶ ἀπερινόητον πάντη τὸν Θεὸν λεγόντων, μεθεκτὸν δὲ αὐτὸν εἶναι τοῖς ἀξίοις κατὰ τὴν θείαν καὶ θεοποιὸν ἐνέργειαν, ὡς οἱ τῆς ἐκκλησίας θεολόγοι φασίν, αἰωνία ἡ μνήμη γ̄.

ιβ) Τῶν ὁμολογούντων τὸ ἐκλάμψαν ἀπορῥήτως φῶς ἐπὶ τοῦ ὄρους τῆς τοῦ Κυρίου μεταμορφώσεως φῶς ἀπρόσιτον εἶναι καὶ φῶς ἄπλητον καὶ χύσιν ἀπερινόητον θείας αἴγλης καὶ δοξαν ἀπόῤῥητον καὶ θεότητος δόξαν ὑπερτελῆ καὶ προτέλειον καὶ ἄχρονον τοῦ Υἱοῦ δόξαν καὶ βασιλείαν Θεοῦ καὶ κάλλος ἀληθινὸν καὶ ἐράσμιον περὶ τὴν θείαν καὶ μακαρίαν φύσιν καὶ φυσικὴν δόξαν Θεοῦ καὶ θεότητα Πατρός καὶ Πνεύματος ἐν Υἱῷ μονογενεῖ ἀπαστράπτουσαν, ὡς οἱ θεῖοι καὶ θεοφόροι πατέρες ἡμῶν εἰρήκασιν Ἀθανάσιος Βασίλειος οἱ μεγάλοι, Γρηγόριος ὁ Θεολόγος, Ἰωάννης ὁ Χρυσόστομος καὶ Ἰωάννης ὁ Δαμασκηνός, καὶ διὰ ταῦτα καὶ ἄκτιστον δοξαζόντων τὸ θειότατον τοῦτο φῶς αἰωνία ἡ μνήμη γ̄.

ιγ) Τῶν δοξαζόντων τὸ φῶς τοῦ Κυρίου μεταμορφώσεως ἄκτιστον μὲν διὰ τὰ προειρημένα, μὴ μέντοι γε αὐτὸ εἶναι λεγόντων τὴν ὑπερούσιον τοῦ Θεοῦ οὐσίαν, ὡς ἐκείνης ἀοράτου παντάπασι καὶ ἀμεθέκτου μενούσης· Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε, δηλαδὴ καθὼς ἔχει φύσεως, οἱ θεολόγοι φασίν· δόξαν δὲ μᾶλλον αὐτὸ λεγόντων φυσικὴν τῆς ὑπερουσίου οὐσίας, ἐξ ἐκεί-

νης προιοῦσαν ἀδιαιρέτως καὶ ἐπεφαινομένην διὰ φιλανθρωπίαν Θεοῦ τοῖς κεκαθαρμένοις τὸν νοῦν, μεθ' ἧς δόξης ὁ Κύριος ἡμῶν καὶ Θεὸς ἥξει κατὰ τὴν δευτέραν καὶ φρικτὴν αὐτοῦ παρουσίαν, κρίνων ζῶντας καὶ νεκρούς, ὡς οἱ θεολόγοι τῆς ἐκκλησίας φασίν, αἰωνία ἡ μνήμη Γ̄.

Ἐκφώνησις.

Πολλὰ τὰ ἔτη τῶν βασιλέων. Ὁ Θεὸς φυλάξαι τὸ κράτος αὐτῶν +. Ὁ Θεὸς τὴν βασιλείαν αὐτῶν εἰρηνεύσαι. Οὐράνιε βασιλεῦ, τοῦς ἐπιγείους φύλαξον+.

№ 46.

Евсевій, избранный митрополитомъ Сугдеи, излагаетъ исповѣданіе вѣры, въ 1351 году.

+ Τὰ παρὰ τῶν ἁγίων ἀποστόλων κηρυχθέντα καὶ παρὰ τῶν ἑπτὰ ἁγίων οἰκουμενικῶν συνόδων κυρωθέντα στέργων ἐκ ψυχῆς προσκυνῶ, καὶ πνευματικῶς κατασπάζομαι, ἅτε τοῦ θείου καὶ ἱεροῦ εὐαγγελίου ἀκριβῶς ἐχόμενα, ἀλλὰ καὶ τῷ παναγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ κυρῷ Ἰσιδώρῳ καὶ τῇ κατ' αὐτὸν θείᾳ καὶ ἱερᾷ συνόδῳ, ὡς καὶ αὐτοῖς ἀκριβέστατα ἐχομένοις τῆς παναμώμου ταύτης διδαχῆς, τῶν θείων δηλαδὴ καὶ ἱερῶν πατέρων, πείθομαι ὁλοψύχως καὶ συμφρονῶ καὶ ὁμοφρονῶ καὶ ὑποτάσσομαι κατὰ πάντα. Βαρλαὰμ δὲ καὶ Ακίνδυνον.....

.....τοὺς ὁμοφρόνας καὶ ὀπαδοὺς τούτων κατὰ τὴν περίληψιν τῶν προβεβηκότων ἐπ' αὐτοῖς ἱερῶν τόμων ὡς κακοδόξους ἀποβάλλομαι καί, εἰ μὴ μεταμεληθεῖεν, καθυποβάλλω τῷ ἀναθέματι, ὡς μὴ συνεπομένους καὶ συμφρονοῦντας καὶ συνᾴδοντας τοῖς θείοις καὶ ἱεροῖς ἡμῶν πατράσι καὶ τῷ θειωτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, κῦρ Ἰσιδώρῳ, καὶ τῇ κατ' αὐτὸν θείᾳ καὶ ἱερᾷ συνόδῳ. ταῦτα διὰ βίου φυλάττειν καὶ τηρεῖν ἀκριβῶς διαβεβαιοῦμαι, καὶ μετὰ ταύτης τῆς πίστεως εὔχομαι παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ καὶ τυχεῖν τῆς παρ' αὐτοῦ σωτηρίας, τῇ αὐτοῦ δυνάμει καὶ χάριτι. ἃ καὶ πληροφορίας καὶ ἀκριβοῦς ἀσφαλείας ἕνεκεν οἰκειοχείροις σημειώσεσιν ὑπέγραψα +.

+ Εἶχε καὶ ὑπογραφήν· Εὐσέβιος ἱερομόναχος καὶ ὑποψήφιος τῆς ἁγιωτάτης μητροπόλεως Σουγδαίας +.

(Miklosich et Müller, Acta Patriarch. Const. I, стр. 294).

6877 = 1369, апрѣль, индикт. 7-й.

Нѣкій монахъ Θеодоритъ порицаетъ заблужденія Латинянъ и Варлаама и Акиндина.

+ Πιστένω εἰς ἕνα Θεὸν κ. τ. λ. Ἐπεὶ δὲ ἀπὸ λύπης καὶ συναρπαγῆς καὶ ἀγνωσίας ἐχωρίσθην τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, καὶ ἀπῆλθον πρὸς τοὺς Λατίνους, νῦν ὑποστρέφω καθαρῶς καὶ γνησίως, καὶ ἀποβάλλομαι πᾶσαν τὴν δόξαν τῶν Λατίνων, τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, λεγόντων, ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, πιστεύω γὰρ καὶ ὁμολογῶ κατὰ τὴν ἀπόφασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ συμβόλου, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι μόνου τὸ πνεῦμα τὸ ἅγιον· ἀποβάλλομαι δὲ καὶ ἀρνοῦμαι καὶ πάντα τὰ λοιπὰ ἴδιμα αὐτῶν, τά τε ἐκκλησιαστικὰ καὶ τὰ περὶ τῆς λοιπῆς αὐτῶν πολιτείας. ἐπεὶ δὲ ὑπωπτεύθην παρὰ τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας, ὅτι εἰμὶ καὶ ἐγὼ ὁμόφρων τῶν φρονούντων τὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου, λέγω καὶ περὶ τούτου, ὅτι τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν ὡς ἀποκηρυχθέντας καὶ ἀναθεματισθέντας παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου, ὡς δυσσεβεῖς καὶ ἐφευρετὰς καινῶν καὶ ἀλλοκότων αἱρέσεων, ἀναθεματίζω αὐτοὺς καὶ πάντα τὰ συγγράμματα αὐτῶν, στέργω δὲ, ἅπερ ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία φρονεῖ καὶ λέγει περὶ αὐτῶν, καὶ εἰμὶ καὶ ἐγὼ εἷς τῶν ὀρθοδόξων χριστιανῶν καὶ μαθητὴς τῆς ἐκκλησίας. καὶ εἰς τὴν περὶ τούτων ἀσφάλειαν ἐποιησάμην καὶ τὴν παροῦσαν ὁμολογίαν, ὑπογράψας αὐτὴν οἰκειοχείρως μηνὶ ἀπριλλίῳ ἰνδ. ζ΄ +.

+ Ὁ ἐν μοναχοῖς ἐλάχιστος Θεοδώριτος +.

(Тамъ же, стр. 501—502).

6877 = 1369, іюнь, индикт. 7-й.

Димитрій Хлоръ и Даніилъ порицаютъ заблужденія Латинянъ и Варлаама и Акиндина.

+ Ἐπειδήπερ κακῶς ποιήσαντες ἤμεν τὸ πρῶτον δι' ἀφροσύνης καὶ μὴ κοινωνοῦντες τῷ παναγιωτάτῳ ἡμῶν αὐθέντῃ καὶ δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ περὶ αὐτὸν θείᾳ καὶ ἱερᾷ συνόδῳ, τὸ μὲν ἡμῶν αὐτῶν θέντες μετὰ τοῦ Ἀκινδύνου ἐκείνου καὶ τῶν Λατίνων, ἐν οἷς καὶ διάγοντες καθ' ὑπερβολὴν ἐδιώξαμεν τὴν τοῦ Θεοῦ ἐκκλησίαν, νῦν δὲ αὐτοῖς προσερχόμενοι καὶ βουλόμενοι κοινωνεῖν, ἀπατούμεθα λόγον περὶ τῆς ἐν ἡμῖν πίστεως, ἰδού, λέγομεν οὕτω· πιστεύομεν εἰς ἕνα Θεὸν κ. τ. λ. ἄρα μὲν οὖν ταῦτα . . . . μόνα

λεχθέντα ἡμῖν εἰς ἐντελῆ καὶ βεβαίαν ἀπόδειξιν πίστεως. ἐπεὶ δὲ καὶ περὶ τῶν Λατίνων καὶ τοῦ Ἀκινδύνου ἐκείνου ἀναγκαζόμεθά τι εἰπεῖν, ἰδού, λέγομεν τάδε, καὶ πρῶτον περὶ Λατίνων· ἀποβαλλόμεθα τοὺς Λατίνους, ὡς κακῶς ποιήσαντας καὶ προσθέντας ἐν τῷ συμβόλῳ τῆς πίστεως τό· καὶ ἐκ τοῦ Υἱοῦ, ἐν ᾧπερ οὐ δεῖ προστιθέναι τι τὸ παράπαν ἢ ἀφαιρεῖν, ἀλλὰ λέγομεν καὶ φρονοῦμεν, ὅτι ὁ πατὴρ μόνος ἐν τῇ ἁγίᾳ καὶ μακαρίᾳ τριάδι ἐστὶν ὁμολογημένως αἰτία τούτου καὶ τοῦ ἁγίου πνεύματος, καθὼς ὁ μέγας φησὶ Διονύσιος, ὅτι μόνη πηγαία θεότης ἐστὶν ὁ πατὴρ, ὁ δὲ υἱὸς οὐκ ἔστι τῆς τοῦ ἁγίου πνεύματος ὑποστάσεως αἴτιος, καθὼς φησὶ ὁ Δαμασκηνός, ὅτι ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα οὐ λέγομεν, ἀλλ' ἔστι μὲν τοῦτο ἐκπορευόμενον ἐκ πατρός, κατὰ τὴν τοῦ κυρίου φωνήν, ἔστι δὲ κατὰ τὴν τῶν ἁγίων διδασκαλίαν καὶ διὰ τοῦ υἱοῦ πεφηνός, ἐκλάμπον, ἀποστελλόμενον, προερχόμενον, χορηγούμενον καὶ διδόμενον, δηλαδὴ τοῖς ἀνθρώποις. τὰ ἀναφερόμενα ἄζυμα εἰς ἱερουργίαν, ὡς μὴ παραδεδομένα τῇ ὀρθοδόξῳ τοῦ Χριστοῦ ἐκκλησίᾳ, οὐ στέργομεν, μᾶλλον δ' ἀποδεχόμεθα τὴν διὰ τῶν ἐνζύμων, ὡς παραδεδομένην καὶ συνήθη καὶ τελείαν ὑπάρχουσαν, καθόλως δὲ λέγομεν, ὅσα παρὰ τὴν διαταγὴν τοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων ποιοῦσιν, ἀποβαλλόμεθα. περὶ δὲ τοῦ Ἀκινδύνου ἐκείνου λέγομεν οὕτως· εἴ τις οὐ φρονεῖ ἐπὶ Θεοῦ θεοπρεπῆ διάκρισιν οὐσίας καὶ ἐνεργείας, λέγω δὲ τῆς κοινῆς τῆς ἁγίας τριάδος, εἰ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα πολλάκις ἐνέργειαι λέγονται τῆς θεότητος τοῦ πατρὸς, ἢ κτιστὴν καὶ . . . . . δοξάζει τῆς ἀκτίστου καὶ ἀιδίου φύσεως τὴν φυσικὴν καὶ οὐσιώδη ἐνέργειαν ἢ οἵκτ . . ὅλως σύνθεσίν τινα γίνεσθαι ἐν τῇ ὑπερηνωμένῃ καὶ θείᾳ ἁπλότητι τοῦ Θεοῦ διὰ ταῦτα, ἢ ὅτι τὸ Θεὸς ὄνομα καὶ θεότης ἀκριβῶς αὐτὴν τὴν φύσιν ἢ ἐστι δηλοῖ τοῦ Θεοῦ, καὶ οὐχὶ μᾶλλον ἐξ ἐνεργείας ὂν εἰλημμένον τὴν θεατικὴν δηλονότι τούτου ἐνέργειαν, ἢ καὶ καθ' ἕτερον τρόπον, καὶ ἡ οὐσία τοῦ Θεοῦ λέγεται θεότης ὡς αἰτία θεότητος, καὶ ὅτι οὐχ ὑπέρκειται ὁ Θεὸς τῶν περὶ αὐτὸν οὐσιωδῶς τε καὶ ἀιδίως θεωρουμένων καὶ λεγόμενων, ἢ ὅτι μετέχει τῆς θείας οὐσίας οὕτως, καθάπερ καὶ ὁ ἐν τῷ Χριστῷ θεωρούμενος ἄνθρωπος, ὡς δύνασθαι καὶ αὐτὸν τολμηρᾷ γλώσσῃ λέγειν ποτὲ δύο ἐν ἑαυτῷ φέρειν οὐσίας, θεότητός τε καὶ ἀνθρωπότητος, καὶ οὐχὶ μᾶλλον μετέχειν τῆς θείας φύσεως κατὰ τὴν ταύτης ἐνέργειαν καὶ τὰ φυσικὰ ἰδιώματα, τούτων γὰρ μετέχοντες λεγόμεθα τοῦ Θεοῦ μετέχειν, ἢ ὅτι ἡ ἐπὶ τοῦ ὄρους Θαβὼρ τοῖς τοῦ Χριστοῦ μαθηταῖς ἀμυδρῶς ἀγασθεῖσά τε καὶ παραδειχθεῖσα θεότης, ἥτις καὶ φῶς ἐστιν ἄχρονον καὶ προαιώνιον καὶ ἀληθινὸν καὶ ἀπρόσιτον καὶ θείας αἴγλης χύσις

ἀπεριόριστος καὶ βασιλεία Θεοῦ, κτίσμα ἦν γινόμενον καὶ ἀπογινόμενον· εἴ τις τὰ τοιαῦτα πάντα φρονεῖ, ὑπόδικος ἔστω τῷ ἀναθέματι. ἀποβαλλόμεθα δὲ ὁλοψύχως καὶ παρὰ τοῦ Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου ἐκείνου καὶ πάντων τῶν ὁμοφρόνων αὐτοῖς συγγραφέντα τε καὶ δογματισθέντα κατὰ τῆς ὀρθῆς καὶ εὐσεβοῦς τῶν χριστιανῶν πίστεως καὶ τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, δι' ἃ πάντα καὶ αὐτοὺς ἐπὶ τούτοις ἅπασι λέγομεν, ὅτι ὡς οἱ προφῆται προεφήτευσαν, ὡς οἱ ἀπόστολοι ἐδίδαξαν, ὡς οἱ μάρτυρες ὡμολόγησαν, ὡς ὁ Χριστὸς διετάξατο, οὕτω φρονοῦμεν καὶ οὕτω πιστεύομεν, ἀσπαζόμενοι καὶ πάσας τὰς ἁγίας οἰκουμενικὰς καὶ μερικὰς συνόδους, τὰς ἐπὶ σύστασιν τῶν ὀρθῶν καὶ ἀπταίστων δογμάτων τῆς τοῦ Χριστοῦ ἐκκλησίας συγκροτηθείσας, ἔτι δὲ καὶ πᾶσαν γραφὴν παλαιάν τε καὶ νέαν θεόπνευστον καὶ ὠφέλιμον καὶ τὰς διδασκαλίας καὶ θεολογίας τῶν ἁγίων καὶ θεοφόρων πατέρων καὶ διδασκάλων τῆς τοῦ Χριστοῦ ἐκκλησίας, Διονυσίου, Ἀθανασίου, Βασιλείου, Γρηγορίων, Χρυσοστόμου, Κυρίλλου, Ἐπιφανίου, Ἀναστασίου, Ἀμβροσίου, Ἀμφιλοχίου, Λέοντος Ῥώμης, Ἰωάννου τοῦ Δαμασκηνοῦ καὶ τῶν λοιπῶν. ἐγράφη μηνὶ ἰουνίῳ, πεντεκαιδεκάτῃ ἰνδικτιῶνος ἑβδόμης +.

+ Ὁ παπᾶς Δημήτριος ὁ Χλωρός +. + Ὁ ἐν μοναχοῖς ἐλάχιστος καὶ εὐτελὴς Δανιήλ +.

(Тамъ же, стр. 503—505).

6878 = 1369 г., октябрь, инд. 7-й.

Монахъ Нифонъ порицаетъ заблужденія Варлаама и Акиндина.

+ Ἐπεὶ διὰ τὸ εὑρίσκεσθαί με μετὰ τοῦ δυσσεβοῦς Ἰωαννικίου ἐκείνου ὑπωπτεύθην καὶ τὰ ἐκείνου φρονεῖν, ὅθεν καὶ ἀπελήλαμαι καὶ ὀνειδίζομαι σχεδὸν παρὰ πάντων τῶν εὐσεβῶν, διὰ τοῦτο προσελθὼν τῷ παναγιωτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ δεηθεὶς τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ ὑπὲρ ἀπαλλαγῆς τοῦ τοσούτου κακοῦ, ἐκείνου μοι τὴν ὁμολογίαν τῆς εὐσεβείας ἀπαλλαγὴν εἶναι ὁρίσαντος, ἤδη καὶ ταύτην ποιῶ, καὶ προηγουμένως μὲν ὁμολογῶ ἔμπροσθεν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, ὅτι οὐδέποτε οὔτε τὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου ἢ ἄλλου τινὸς τῶν ἀπ' ἀρχῆς φανέντων αἱρετικῶν ἐφρόνησα ἢ φρονῶ, ἀλλ' οὐδὲ φρονήσω. διὰ δὲ πλείονα τὴν ἀσφάλειαν λέγω καὶ οὕτως· ἀναθεματίζω καὶ τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον καὶ τοὺς ὁμόφρονας αὐτῶν καὶ πάντα τὰ τούτων συγγράμματα ὡς δυσσεβῆ καὶ πάσης ἀτοπίας ἀνάπλεα, ἰδίως δὲ ἀναθεματίζω καὶ τὸν δηλωθέντα Ἰωαννίκιον ὡς

αἱρετικὸν καὶ αὐτὸν ὄντα καὶ ὁμόφρονα τούτων τῶν ἀρχηγῶν τῆς αἱρέσεως, καὶ ἔχω τούτους ὡς καὶ ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία, ὁμολογῶ δὲ καὶ στέργω καὶ πιστεύω, ὅσα καὶ ὁ παναγιώτατός μου δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ εὔχομαι διὰ τῶν παναγίων αὐτοῦ εὐχῶν καὶ μετὰ ταύτης μου τῆς ὁμολογίας παραστῆναι τῷ τοῦ Χριστοῦ βήματι, ἥτις καὶ γεγονυῖα κατὰ μῆνα ὀκτώβριον τῆς ὀγδόης ἰνδ. ὑπεγράφη διὰ τὸ βέβαιον καὶ τῇ οἰκειοχείρῳ μου ὑπογραφῇ +.

+ Νίφον μοναχὸς τὰ ἄνοθεν γεγραμένα στέργον ὑπέγραψα +.

(Тамъ же, стр. 530).

6879 = 1371 г., май, инд. 9-й.

Іеромонахъ Симеонъ порицаетъ заблужденія Варлаама и Акиндина.

+ Ἐγὼ Συμεῶν ἱερομόναχος ἐπὶ εὑρισκόμενος μετὰ τοῦ χριματίσαντος μητροπολίτου Γάνου ἐκίνου εὐφρόνουν καὶ ἐγὼ σὺν ἐκίνω, καὶ ἐδώξαζον τὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δυσσευεῖ δόγματα, μετὰ δὲ ταῦτα ἀποβάλομοι τὴν κακοδοξίαν ταύτην, ἔστεργον καὶ εὐφρόνουν καὶ ἐδόξαζον, ἅπερ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία στέργῃ καὶ φρονῇ· μὴ φθάσας δὲ τότε δοῦνε τὴν ὁμολογίαν μου ἔγγραφον, ὑποπτέφθην νὴν παρὰ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, ὅτι πάλιν φρονῶ τὰ τῶν κακοδώξον καὶ ἀθέων ἐκίνον δόγματα, καὶ ἀπιτήθην δοῦνε ἐγγράφως τὴν περὶ τούτου ὁμολογίαν καὶ ἀναθεματίσε τοὺς ἐρετικούς ἐκίνους, ἤδι ὁμολογῶ ἐνώπιων τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς θείας καὶ ἱερὰς συνώδου, ὅτι στέργω καὶ ὁμολογῶ καὶ ἀσπάζομε καὶ φρονῶ τὰ ὀρθὰ καὶ ὑγιὴ δόγματα τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ ἀναθεματίζω τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον ἐκίνον καὶ πάντας τοὺς ὁμόφρονας καὶ τὰ συγγράμματα αὐτῶν, ὁμίως ἀναθεματίζο καὶ πάσαν τὴν ἔρεσι καὶ κακοδοξίαν αὐτῶν, καὶ εἰς τὴν περὶ τοῦτου ἀσφάλιαν ἐγένετο καὶ ὐ παρούσα μου ἔγγραφος ὁμολογία μηνὶ μαίῳ ἰνδ. θ' +.

+ Συμεῶν ἱερομόναχος +.

(Тамъ же, стр. 568).

6880 = 1371 г., октябрь, инд. 10-й.

Исповѣданіе вѣры монаха Ксенофонта, порицающаго заблужденія Варлаама и Акиндина.

+ Πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς κ. τ. λ.

+ Ἐπεὶ δὲ ὑπωπτεύθην παρά τινων εὐσεβῶν, ὅτι οὐ φρονῶ καὶ ἐγώ, ἅπερ ἡ τοῦ Θεοῦ ἁγία ἐκκλησία καὶ φρονεῖ καὶ δοξάζει, ἀλλὰ τὰ τοῦ Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου δυσσεβῆ δόγματα, καὶ τούτου ἀνενεχθέντος τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ καὶ αὐθέντῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, παρέστην καὶ αὐτὸς καὶ ὡμολόγησα, οτι καὶ ἐφρόνουν καὶ φρονῶ, ἅπερ ἡ τοῦ Χριστοῦ ἁγία ἐκκλησία καὶ φρονεῖ καὶ κηρύττει, καὶ ἀπῃτήθην δοῦναι ταύτην μου τὴν ὁμολογίαν ἐγγράφως· ἤδη ὁμολογῶ ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ αὐθέντου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι στέργω καὶ ὁμολογῶ καὶ ἀσπάζομαι καὶ φρονῶ τὰ ὀρθὰ καὶ ὑγιῆ δόγματα τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ ἀναθεματίζω τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν καὶ τὰ συγγράμματα αὐτῶν, ὡσαύτως ἀναθεματίζω καὶ πᾶσαν τὴν αἵρεσιν καὶ κακοδοξίαν αὐτῶν, καὶ εὔχομαι μετὰ ταύτης μου τῆς ὁμολογίας ἀπελθεῖν καὶ τῷ τοῦ Χριστοῦ μου βήματι παραστῆναι. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παρεῦσά μου ἔγγραφος ὁμολογία, μηνὶ ὀκτωβρίῳ ἰνδ. δεκάτης +.

+ Ὁ Ξενοφόν μόναχος +.

(Тамъ же, стр. 574).

Безъ года.

Исповѣданіе вѣры Константина Асана, порицающаго догматы Варлаама и Акиндина.

+ Ὁμολογία τοῦ Ἀσάνη κῦρ Κωνσταντίνου. +.

+. Ἐπεί τινες ὑποψίαν κατ' ἐμοῦ σχόντες, ὡς πρόσκειμαι τοῖς δόγμασι τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου, ἃ τῷ ἀναθέματι καθυπέβαλε συνοδικῶς ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία, ἀνέφερον τοῦτο εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ διὰ τοῦτο ἐδέησεν, ἵνα δῶ πληροφορίαν περὶ τῆς δόξης ἧς ἔχω περὶ τούτων, καὶ ἀπαλείψω ἀπὸ πάσης ψυχῆς πᾶσαν ὑπόληψιν πονηράν, ἣν ἔχουσιν ἴσως περὶ ἐμοῦ, ἰδοῦ, τὴν παροῦσάν μου δίδωμι ὁμολογίαν, δι' ἧς ἅμα μὲν ἐπικυρῶν, ἅπερ ἐγγράφως τῷ ἀοιδίμῳ καὶ ἁγιωτάτῳ πατριάρχῃ, κυρῷ Νείλῳ, ἅμα δὲ καὶ εἴ τι ἐλλιπῶς ἐν ἐκείνοις εἶπον, νῦν ἀναπληρῶν λέγω, ὅτι στέργω τὰ δόγματα, ἅπερ στέργει καὶ ὁμολογεῖ ἡ ἁγία καὶ χάριτι Θεοῦ ὀρθόδοξος ἐκκλησία τῆς Κωνσταντινουπολεως, ἧς ἀρτίως προστάτης ὁ ἁγιώτατος ὑπάρχει πατριάρχης κῦρ Ἀντώνιος, τὸν δὲ Βαρλαὰμ καὶ Ἀκίνδυνον καὶ τὰ δόγματα αὐτῶν ὡς ἀλλότρια τῶν ἀποστολικῶν καὶ πατρικῶν δογμάτων καθυποβάλλω τῷ ἀναθέματι, σὺν αὐτοῖς δὲ καὶ πάντας τοὺς ὁμόφρονας καὶ ὀπαδοὺς καὶ διαδόχους αὐτῶν. αὕτη μου ἐστὶν ἡ ὁμολογία, μεθ' ἧς εὔχομαι παραστῆναι τῷ κριτῇ ζώντων καὶ νεκρῶν, κυρίῳ ἡμῶν Ἰησοῦ

Χριστῷ, τῷ ἀληθινῷ Θεῷ καὶ σωτῆρι, ἐν τῇ κοινῇ τῆς ὁμολογίας ἡμέρᾳ. καὶ δι' ἀσφάλειαν ὑπέγραψα +.

+ Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Κωνσταντῖνος ὁ Ἀσάνης +.

(Тамъ же, II, стр. 267).

6905 = 1397 г., іюль, инд. 5-й.

Священникъ Іоасафъ порицаетъ заблужденія Варлаама и Акиндина.

+ Ἡ ὁμολογία τοῦ παπᾶ Ἰωάσαφ +.

+ Ἐπειδὴ ἐγὼ δι' ἃς ὑπὸ ἀφελείας δέδωκα ὑποψίας ἀπῃτήθην δοῦναι ὁμολογίαν καὶ δηλῶσαι, ὅπως ἔχω δόξης περὶ τῆς τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου κακοδοξίας καὶ ἔχω γνώμην περὶ τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν διασαφῆσαι, ἤδη τοῦτο ὅλῃ μου τῇ προθυμίᾳ δίχα τινὸς δόλου καὶ περινενοημένου τρόπου καθαρῶς καὶ ἀπεριέργως ποιῶ, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν χάριτι, διὸ καὶ πρῶτον μὲν λέγω ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, ὅτι ἅπαντα τὰ λαληθέντα κατὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ (Παλα)μᾶ καὶ τῶν θεοφόρων ἐκείνων ἀνδρῶν, τῶν ἱερῶν φημι καὶ θείων ἡσυχαστῶν τῶν ὑπὲρ τῆς κατ' ἀσέβειαν ἀληθείας ἐκείνῳ συναγωνισαμένων καὶ τὴν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου διελεγξάντων δυσσέβειαν· ἅπαντα γοῦν τὰ κατ' ἐκείνων καὶ πραχθέντα καὶ τὰ λαληθέντα ἀνάθεμα· εἶτα ἀποβάλλομαι τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον καὶ ὅσα ἐκεῖνοι κατὰ τοῦ θείου ὕψους ἐλάλησαν, ἤγουν ὅτι οὐκ ἔστιν ἐπὶ Θεοῦ διάκρισις θείας οὐσίας καὶ θείας ἐνεργείας, ὅτι τὸ λάμψαν φῶς ἐν τῷ Θαβωρίῳ ἴνδαλμά ἐστι καὶ παραπέτασμα καὶ φάντασμα, γεγονός τε καὶ ἀπογεγονός, ὅτι ἡ φυσικὴ δύναμις καὶ ἐνέργεια τῆς τρισυποστάτου θεότητος, ἡ τῆς θείας φύσεως διαφέρουσα κτιστή τε ἐστὶν καὶ πρόσφατος καὶ ὑπὸ χρόνον, ὅτι σύνθεσις περὶ τὸν Θεόν διὰ τὴν διάκρισιν τῆς θείας οὐσίας καὶ τῆς θείας ἐνεργείας, ταῦτά τε οὖν, καθὼς εἶπον, ἐξ ὅλης ψυχῆς ἀποβάλλομαι καὶ ὅσα ἐκ τούτων ἄτοπα ἕπεται· ἔπειτα δέχομαι καὶ ἀσπάζομαι καὶ στέργω τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, ἧς προστάτης ἀρτίως διὰ τῆς τοῦ Θεοῦ χάριτος ὁ ἁγιώτατος, πατριάρχης, κῦρις Κάλλιστος, σεβαζόμενος καὶ τιμῶν καὶ ἀποδεχόμενος καὶ ὅσα περὶ τῶν προειρημένων ἐθεολόγησε συμφώνως τοῖς ἁγίοις καὶ θεοφόροις ἡμῶν πατράσι καὶ διδασκάλοις, ἤγουν ὅτι ἐστὶν ἐπὶ Θεοῦ θεοπρεπὴς διάκρισις θείας οὐσίας καὶ θείας ἐνεργείας, καὶ ὅτι ἄκτιστος ἡ θεία ἐνέργεια, καὶ ὅτι οὐδεμία σύνθεσις ἐπὶ Θεοῦ διὰ τὴν διάκρισιν τῆς θείας οὐσίας καὶ τῶν περὶ αὐτὴν φυσι-

κῶς τε καὶ ὑπερφυῶς θεωρουμένων, καὶ ὅτι τὸ λάμψαν ἀπὸ τοῦ κυρίου φῶς ἐν τῇ θειοτάτῃ μεταμορφώσει οὔτε κτίσμα ἐστὶ καὶ ἴνδαλμα καὶ φάσμα, οὔτε θεία οὐσία, ἀλλὰ φῶς ἀπρόσιτον καὶ χύσις ἀπερινόητος θείας αἴγλης καὶ δόξα θεότητος ἀπόῤῥητος καὶ Θεοῦ βασιλεία καὶ ὅσα τοῦτο ὑμνοῦντες οἱ τῆς ἐκκλησίας θεολόγοι φασί, τοὺς δὲ οὐσίας Θεοῦ τοῦτο δοξάζοντας ἢ κτίσμα καθυποβάλλω τῷ ἀναθέματι. ταύτῃ μου τῇ ἐγγράφῳ ὁμολογίᾳ ἐμμένω καὶ μενῶ εἰς τὸν ἅπαντά μου τῆς ζωῆς χρόνον, συνεργοῦντός μοι τοῦ Θεοῦ, καὶ μετὰ ταύτης εὔχομαι παραστῆναι τῷ κριτῇ ζώντων καὶ νεκρῶν ἐν τῇ κοινῇ τῆς ὁμολογίας ἡμέρᾳ· εἰ δέ, ὅπερ ἀπεύχομαι, φανείην ποτὲ ἄλλο παρὰ ταῦτα φρονῶν τε καὶ σεβαζόμενος καὶ ὁμολογῶν, ὡς ἀπατεὼν ἄνθρωπος καὶ πανοῦργος καὶ ἐν τῷ φανερῷ μὲν εὐσεβεῖν δοκῶν, λάθρα δὲ τὴν δυσσέβειαν ἀσπαζόμενος καὶ ὑποκρινόμενος τὸ ὀρθόδοξον, ἵνα μετὰ πολλῆς τιμωρίας τοῖς αἱρετικοῖς προσηκούσης καὶ ἀντιθέτοις τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὡς ἐναγής τε καὶ βέβηλος καὶ μηδεμίαν ἔκτοτε δυνάμενος δοῦναι πληροφορίαν εὐσεβοῦς πίστεως ἐξορίζωμαι. ταῦτα στέργων καὶ ὁμολογῶν οἰκείᾳ χειρὶ ὑπογράφω μηνὶ ἰουλίῳ ἰνδ. ε΄ +.

+ Εἶχε καὶ ὑπογραφὴν τήνδε· Ἰωάσαφ ἱερομόναχος τὰ ἄνωθεν γεγραμμένα στέργων καὶ ὁμολογῶν ὑπέγραψα +.

(Тамъ же, стр. 295—296).

6297=1389 г. января, инд. 12-го.

Исповѣданіе вѣры новоизбраннаго патріарха Антонія.

+ Ἀντώνιος, ἐλέῳ Θεοῦ ἱερομόναχος, ὑποψήφιος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, προέταξα +.

+ Πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα κ. τ. λ. πρὸς τούτοις ἀποδέχομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, αἵτινες ἐπὶ φυλακῇ τῶν ὀρθῶν δογμάτων συνηθροίσθησαν, καθομολογῶν τοὺς ὑπ' αὐτῶν διωρισμένους στέργειν καὶ φυλάττειν κανόνας καὶ τὰς ἁγίας διατάξεις, ὅσαι τοῖς ἱεροῖς ἡμῶν πατράσι κατὰ διαφόρους καιροὺς καὶ χρόνους διετυπώθησαν, πάντας, οὓς ἀποδέχονται, συναποδεχόμενος καὶ οὓς ἀποστρέφονται, συναποστρεφόμενος. ἔτι καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὁμολογῶ διαφυλάττειν καὶ κατ' οὐδένα τρόπον ἐναντία φρονεῖν αὐταῖς διὰ βίου παντός, προσεπαγγελόμενός τε ἐν φόβῳ Θεοῦ θεοφιλεῖ γνώμῃ τὴν ἐγχειρισθεῖσάν μοι ποίμνην ἰθύνειν, πάσης ὑπολήψεως πονηρᾶς καθαρὸν ἐμαυτὸν συντηρῶν, ὁπόση μοι περίεστι δύναμις· ἔτι ἀσφαλίζομαι, μηδέποτε τῶν δογματισθέντων παρὰ τοῦ γεγονότος Νικαίας, Εὐστρατίου καὶ ἀπο-

βληθέντων ἀντιποιήσασθαι, ὡς ἀλλοτρίων ὄντων τῆς ὀρθῆς πίστεως, καὶ παρὰ τῆς ἐκκλησίας ἀποπεμφθέντων καὶ ἀναθέματι καθυποβληθέντων· ἀναθεματίζω δὲ καὶ τὰ δογματισθέντα καὶ λαληθέντα παρὰ Μιχαὴλ τοῦ γενομένου πρωτεκδίκου καὶ μαίστορος τῶν ῥητόρων, τοῦ Βασιλάκη Νικηφόρου, καὶ Σωτηρίχου, τοῦ ὑποψηφίου θεουπόλεως μεγάλης Ἀντιοχείας, τοῦ ἐπονομαζομένου Παντευγένου, περὶ τῆς προσαγωγῆς καὶ θυσίας τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἔτι δὲ καὶ τῆς καθ' ἑκάστην παρὰ τῶν ἱερουργῶν τελουμένης, ὡς ἀποδοκιμασθέντα καὶ ἀποβληθέντα παρὰ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας. ἔτι ἀσπάζομαι καὶ ὁμολογῶ τὰ περὶ τῆς ἐν τοῖς ἁγίοις εὐαγγελίοις δεσποτικῆς φωνῆς τῆς· ὁ πατήρ μου μείζων μου ἐστί, παρὰ τῶν ἁγίων πατέρων παραδοθέντα καὶ διατρανωθέντα ὑπὸ τοῦ εὐσεβοῦς τόμου τοῦ ἐκτεθέντος παρὰ τοῦ τρισμάκαρος βασιλέως, κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, ἤγουν, ὅτι τὴν φωνὴν ταύτην εἴρηκεν ὁ κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστός, καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστὴν καὶ περιγραπτὴν φύσιν, καθ' ἣν πέπονθε, μὴ λαμβανομένην γυμνὴν καὶ κεχωρισμένην τῆς θεότητος κατὰ τὴν κατὰ ψιλὴν ἐπίνοιαν διαίρεσιν, μήτε πρὸς τὸ κοινὸν τῆς φύσεως ἀναγομένην ἢ νοουμένην, ἀλλὰ καὶ τοὺς κατὰ τὰ τῆς κενώσεως μέτρα μόνον εἰρηκέναι τὸν κύριον λέγοντας ταύτην τὴν φωνὴν καὶ τῇ κενώσει ταύτην μόνῃ προσαρμόζοντας, τοῦτ' ἔστι, διὰ μόνην τὴν κένωσιν, ἤγουν διὰ τὸ λαβεῖν σάρκα, καὶ οὐ κατὰ τὴν σάρκα, ἣν προσελάβετο, καθυποβάλλω τῷ ἀναθέματι· δέχομαι καὶ τὰς περὶ τούτου ἑρμηνείας τῶν ἁγίων πατέρων. πρὸς τούτοις στέργω καὶ ἀποδέχομαι καὶ τὰς κατὰ τὴν μεγαλόπολιν ταύτην συγκροτηθείσας ἱερὰς συνόδους, ἐν τε τῷ περιωνύμῳ τῆς ἁγίας τοῦ Θεοῦ Σοφίας καὶ ἐν τῷ θεοφρουρήτῳ παλατίῳ κατὰ τοῦ Καλαβροῦ Βαρλαὰμ καὶ τοῦ μετ' ἐκεῖνον τὰ ἐκείνου φρονοῦντος καὶ δόλῳ σπεύδοντος ἐπεκδικεῖν Ἀκινδύνου καὶ τῶν ὁμοφρόνων αὐτοῖς, οἳ τὴν κοινὴν καὶ θείαν χάριν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τὸ φῶς τοῦ μέλλοντος αἰῶνος, καθ' ὃ καὶ οἱ δίκαιοι λάμψουσιν, ὡς ὁ ἥλιος, ὡς καὶ ὁ Χριστὸς ἐπέδειξεν ἐπ' ὄρους λάμψας, καὶ ἁπλῶς πᾶσαν δύναμιν καὶ ἐνέργειαν τῆς τρισυποστάτου θεότητος καὶ πᾶν τὸ ὁπωσοῦν διαφέρον τῆς θείας φύσεως κτιστὸν εἶναι δογματίζουσι, καὶ κατατέμνουσι καὶ οὗτοι δυσσεβῶς εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν θεότητα, καὶ τοὺς εὐσεβῶς ἄκτιστον τὸ θειότατον ἐκεῖνο φῶς καὶ πᾶσαν δύναμιν καὶ ἐνέργειαν πρεσβεύοντας θείαν, ὡς μηδενὸς ὄντος προσφάτου τῶν τῷ Θεῷ προσόντων φυσικῶς, διθείτας φρενοβλαβῶς ὀνομάζουσι καὶ πολυθέους, ὡς καὶ Ἰουδαῖοι, Σαβελλιανοί τε καὶ Ἀρειανοὶ ὀνομάζουσιν ἡμᾶς· ἀλλ' ἡμεῖς τούτους τε κἀκείνους

ὡς ὄντας ἀθέους καὶ πολυθέους ἀποβαλλόμεθα καὶ τοῦ πληρώματος τῶν εὐσεβούντων, εἰ μὴ μεταμεληθεῖεν, ὡς καὶ ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία διὰ τῶν προβάντων ἱερῶν τόμων, τελέως ἐκκόπτομεν, πιστεύοντες εἰς μίαν θεότητα τρισυπόστατον καὶ παντοδύναμον, οὐδαμῶς τοῦ ἐνιαίου καὶ τῆς ἁπλότητος ἐκπίπτουσαν διὰ τὰς δυνάμεις ἢ τὰς ὑποστάσεις. ἔτι ἀσφαλίζομαι, ὅτι οὐ δέδωκα τὸ οἰονοῦν χάριν τοῦ ψηφισθῆναί με εἰς τήνδε τὴν ἁγιωτάτην τοῦ Θεοῦ μεγάλην ἐκκλησίαν, ἀλλ' οὐδὲ ὑπεσχέθην τι παρασχεῖν ἕνεκα τούτου πρός τινα, οὐδὲ δώσω, ἀλλ' ἀσπάζομαι καὶ τὰς περὶ τούτου ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις, ἀλλὰ δὴ καὶ τὴν γεγονυῖαν ἀκρίβειαν τῆς νεαρᾶς παρὰ τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου ἡμῶν βασιλέως τοῦ Παλαιολόγου, κυροῦ Ἀνδρονίκου, ἐπὶ τῇ τοιαύτῃ ἱερᾷ πράξει τὴν στερχθεῖσαν καὶ βεβαιωθεῖσαν παρὰ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ ὑπισχνοῦμαι φυλάττειν ταύτην ἀπαρεγχείρητον. ὑπεγράφη ταῦτα διὰ χειρὸς ἡμετέρας δι' ἀσφάλειαν μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος δωδεκάτης, ἔτους ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἐνενηκοστοῦ ἑβδόμου ἔτους +.

+ Ἀντώνιος ἱερομόναχος, ἐλέῳ Θεοῦ ὑποψήφιος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, ὑπέγραψα +.

(Тамъ же, стр. 112—114).

6897=1397 г., 9 февраля, инд. 12-го.

Георгій Мосхолеонъ излагаетъ исповѣданіе православной вѣры.

+ Μηνὶ φευρουαρίῳ, θ', ἰνδ. ιβ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἦλθε Γεώργιος ὁ Μοσχολέων, καὶ ὡμολόγησεν ἔμπροσθεν τῆς μεγίστης ἁγιωσύνης αὐτοῦ καὶ τοῦ ἱερωτάτου μητροπολίτου Δέρκω, τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος, τοῦ πρωτονοταρίου, τοῦ λογοθέτου, τοῦ ἄρχοντος τῶν ἐκκλησιῶν, τοῦ πνευματικοῦ, κυροῦ Μαξίμου τοῦ Συροπούλου, κυροῦ Ἰωάννου τοῦ Σανιάνου, ὅτι στέργει τὴν ἁγίαν τοῦ Χριστοῦ ἐκκλησίαν τῆς Κωνσταντινουπόλεως, καὶ πιστεύει εἰς πᾶν, ὅπερ πιστεύει ὁ παναγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης, κῦρ Ἀντώνιος +.

(Тамъ же, стр. 114).

Исповѣданіе вѣры Михаила, патріарха великаго града Антіохіи и всего востока, 1395 г., въ 7-й день мѣсяца февраля.

+ Ὁμολογία πατριάρχου θεουπόλεως Μεγάλης Ἀντιοχείας, κυροῦ Μιχαήλ, ἣν ἀπέστειλε μετὰ τοῦ μητροπολίτου Ἡλιουπόλεως καὶ τοῦ ἐπισκόπου Ζεβεδαίου +.

+ Μετὰ τὸ πιστεύω, καθὼς καὶ ἡμεῖς λέγομεν, ἀπαραλλάκτως φησὶν ἐπὶ τούτοις· ὁμολογῶ ἓν βάπτισμα δι' ὕδατός τε καὶ πνεύματος, ἀναγεννητικόν τε καὶ καθαρτικὸν μολυσμῶν σαρκός τε καὶ πνεύματος, προσέρχομαι τοῖς ἀχράντοις μυστηρίοις, πιστεύων αὐτὸ ἀληθῶς εἶναι σῶμα καὶ αἷμα τοῦ δι' ἡμᾶς σαρκωθέντος Θεοῦ λόγου καὶ δόντος αὐτὰ τοῖς πιστοῖς τοῖς εἰς βρῶσιν καὶ πόσιν ἄφεσιν ἁμαρτιῶν, δέχομαι πάσας τὰς ἐκκλησιαστικὰς παραδόσεις ἐγγράφους τε καὶ ἀγράφους, προσπτύσσομαι καὶ προσκυνῶ τὴν πάνσεπτον εἰκόνα τοῦ ἀνθρωπίνου σώματος τοῦ Θεοῦ λόγου τοῦ χρισθέντος θεότητι, προσκυνῶ τὸ ξύλον τοῦ τιμίου σταυροῦ διὰ τὸν ἐπ' αὐτῷ κρεμασθέντα σαρκὶ κύριον καὶ πάντα τύπον τοῦ ζωοποιοῦ σταυροῦ, τὰ ἱερά τε σκεύη καὶ τοὺς σεπτοὺς ναοὺς καὶ τόπους καὶ τὰς ἱερὰς βίβλους διὰ τὸν ἐν χειροποιήτοις δι' ἡμᾶς κατοικεῖν εὐδοκήσαντα καὶ τὰ ἑαυτοῦ λόγια τοῖς ὑλικοῖς γεγράφθαι φιλανθρώπως ἐπινεύσαντα· προσκυνῶ καὶ τιμῶ τὴν εἰκόνα τῆς ἁγίας θεοτόκου καὶ πάσας τὰς σεπτὰς τῶν τοῦ Χριστοῦ θεραπόντων εἰκόνας διὰ τὴν πρὸς τὸν μόνον φύσει προσκυνητὸν Θεὸν ἀγάπην, τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἀναπτερῶν πρὸς τὰς πρωτοτύπους μορφὰς καὶ οὐ μέχρις ὕλης καὶ χρωμάτων καὶ χαραγμάτων ἱστῶν τὴν διάνοιαν· προσκυνῶ καὶ τιμῶ τὰ τῶν ἁγίων πάντων λείψανα, ὡς ἁγιαστικὴν παρὰ Θεοῦ χάριν εἰληφότα· οὕτω πιστεύω, οὕτω φρονῶ, ἐπὶ τούτοις ἐβαπτίσθην, καὶ ἐν τούτοις διαρκῶ. καὶ πάντας τοὺς αἱρετικοὺς καὶ ὁμογνώμονας καὶ πάσας τὰς αἱρέσεις αὐτῶν φεύγω τε καὶ ἀναθεματίζω καὶ μυσάττομαι, δεχόμενος καὶ ἀσπαζόμενος τὰς ἁγίας καὶ οἰκουμενικὰς συνόδους πάντας, δέχομαι δὲ καὶ πάσας τὰς κατὰ Θεοῦ χάριν κατὰ καιρὸν ἢ τόπον πρὸς βεβαίωσιν εὐσεβείας καὶ εὐαγγελικῆς πολιτείας συναθροισθείσας ἁγίας συνόδους, ἃς καὶ ἡ καθολικὴ ἐκκλησία ἐδέξατο, καί ἅπερ ἀπηγόρευσεν, ἀπαγορεύω, καὶ οὓς ἀνεθεμάτισεν, ἀναθεματίζω, Βαρλαὰμ καὶ Ἀκινδύνῳ καὶ τοῖς ὁμόφροσιν αὐτῶν ἀνάθεμα, ὅλοις τοῖς αἱρετικοῖς ἀνάθεμα +.

+ Εἶχε δὲ καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς αὐτῆς τό· Μιχαὴλ, ἐλέῳ Θεοῦ πατριάρχης θεουπόλεως Μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς. +.

(Тамъ же, стр. 248—249).

6905 = 1397 г., май, инд. 5-й.

Исповѣданіе вѣры патріарха Каллиста Ксанѳопула.

+ Πιστεύω εἰς ἕνα Θεὸν κ. τ. λ. πρὸς τούτοις ἀποδέχομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, αἵτινες ἐπὶ φυλακῇ τῶν ὀρθῶν δογμάτων συνηθροίσθησαν, καθομολογῶν τοὺς ὑπ' αὐτῶν διωρισμένους στέργειν καὶ φυλάττειν

κανόνας καὶ τὰς ἁγίας διατάξεις, ὅσαι τοῖς ἱεροῖς ἡμῶν πατράσι κατὰ διαφόρους καιροὺς καὶ χρόνους διετυπώθησαν, πάντας, οὓς ἀποδέχονται, συναποδεχόμενος καὶ οὓς ἀποστρέφονται, συναποστρεφόμενος. ἔτι καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὁμολογῶ διαφυλάττειν καὶ κατ' οὐδένα τρόπον ἐναντία φρονεῖν αὐταῖς διὰ βίου παντός, προσεπαγγελλόμενός τε ἐν φόβῳ Θεοῦ καὶ θεοφιλεῖ γνώμῃ τὴν ἐγχειρισθεῖσάν μοι ποίμνην ἰθύνειν, πάσης ὑπολήψεως πονηρᾶς καθαρὸν ἐμαυτὸν συντηρῶν, ὁπόση μοι περίεστι δύναμις. ἔτι ἀσφαλίζομαι, μηδέποτε τῶν δογματισθέντων παρὰ τοῦ γεγονότος Νικαίας Εὐστρατίου καὶ ἀποβληθέντων ἀντιποιήσασθαι ὡς ἀλλοτρίων ὄντων τῆς ὀρθῆς πίστεως καὶ παρὰ τῆς ἐκκλησίας ἀποπεμφθέντων καὶ ἀναθέματι καθυποβληθέντων. ἀναθεματίζω δὲ καὶ τὰ δογματισθέντα καὶ λαληθέντα παρὰ Μιχαὴλ τοῦ γενομένου πρωτεκδίκου, καὶ μαίστορος τῶν ῥητόρων τοῦ Βασιλάκη Νικηφόρου, καὶ Σωτηρίχου, τοῦ ὑποψηφίου θεουπόλεως Μεγάλης Ἀντιοχείας, τοῦ ἐπονομαζομένου Παντευγένου, περὶ τῆς προσαγωγῆς καὶ θυσίας τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔτι δὲ καὶ τῆς καθ' ἑκάστην παρὰ τῶν ἱερουργῶν τελουμένης, ὡς ἀποδοκιμασθέντα καὶ ἀποβληθέντα παρὰ τὴς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας. ἔτι ἀσπάζομαι καὶ ὁμολογῶ τὰ περὶ τῆς ἐν τοῖς ἁγίοις εὐαγγελίοις δεσποτικῆς φωνῆς τῆς· ὁ πατήρ μου μείζων μου ἐστί, παρὰ τῶν ἁγίων πατέρων παραδοθέντα καὶ διατρανωθέντα ὑπὸ τοῦ εὐσεβοὺς τόμου τοῦ ἐκτεθέντος παρὰ τοῦ τρισμάκαρος βασιλέως κῦρ Μανουὴλ τοῦ Κομνηνοῦ, ἤγουν ὅτι τὴν φωνὴν ταύτην εἴρηκεν ὁ κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστὴν καὶ περιγραπτὴν φύσιν, καθ' ἣν πέπονθε, μὴ λαμβανομένην γυμνὴν καὶ κεχωρισμένην τῆς θεότητος κατὰ τὴν κατὰ ψιλὴν ἐπίνοιαν διαίρεσιν, μήτε πρὸς τὸ κοινὸν τῆς φύσεως ἀναγομένην ἢ νοουμένην, ἀλλὰ καὶ τοὺς κατὰ τὰ τῆς κενώσεως μέτρα μόνον εἰρηκέναι τὸν κύριον λέγοντας ταύτην τὴν φωνὴν καὶ τῇ κενώσει ταύτην μόνῃ προσαρμόζοντας, τοῦτ' ἔστι διὰ μόνην τὴν κένωσιν ἤγουν διὰ τὸ λαβεῖν σάρκα, καὶ οὐ κατὰ τὴν σάρκα, ἣν προσελάβετο, καθυποβάλλω τῷ ἀναθέματι· δέχομαι καὶ τὰς περὶ τοῦτου ἑρμηνείας τῶν ἁγίων πατέρων. πρὸς τούτοις στέργω καὶ ἀποδέχομαι καὶ τὰς κατὰ τὴν μεγαλόπολιν ταύτην συγκροτηθείσας ἱερὰς συνόδους ἔν τε τῷ περιωνύμῳ ναῷ τῆς ἁγίας τοῦ Θεοῦ Σοφίας καὶ ἐν τῷ θεοφρουρήτῳ παλατίῳ κατὰ τοῦ Καλαβροῦ Βαρλαὰμ καὶ τοῦ μετ' ἐκεῖνον τὰ ἐκείνου φρονοῦντος καὶ δόλῳ σπεύδοντος ἐπεκδικεῖν Ἀκινδύνου καὶ τῶν ὁμοφρόνων αὐτοῖς, οἳ τὴν κοινὴν καὶ θείαν χάριν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τὸ φῶς τοῦ μέλλοντος αἰῶνος, καθ' ὃ καὶ οἱ

δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, ὡς καὶ ὁ Χριστὸς ἐπέδειξεν ἐπ' ὄρους λάμψας, καὶ ἁπλῶς πᾶσαν δύναμιν καὶ ἐνέργειαν τῆς τρισυποστάτου θεότητος καὶ πᾶν τὸ ὁπωσοῦν διαφέρον τῆς θείας φύσεως κτιστὸν εἶναι δογματίζουσι καὶ κατατέμνουσι, καὶ οὗτοι δυσσεβῶς εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν θεότητα καὶ τοὺς εὐσεβῶς ἄκτιστον τὸ θειότατον ἐκεῖνο φῶς καὶ πᾶσαν δύναμιν καὶ ἐνέργειαν πρεσβεύοντας θείαν, ὡς μηδενὸς ὄντος προσφάτου τῶν τῷ Θεῷ προσόντων φυσικῶς, διθείτας φρενοβλαβῶς ὀνομάζουσιν ἡμᾶς καὶ πολυθέους ὡς καὶ Ἰουδαῖοι, Σαβελλιανοί τε καὶ Ἀρειανοὶ ὀνομάζουσιν ἡμᾶς· ἀλλ' ἡμεῖς τούτους τε κἀκείνους ὡς ὄντας ἀθέους καὶ πολυθέους ἀποβαλλόμεθα, καὶ τοῦ πληρώματος τῶν εὐσεβούντων, εἰ μὴ μεταμεληθεῖεν, ὡς καὶ ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία διὰ τῶν προβάντων ἱερῶν τόμων τελέως ἐκκόπτομεν, πιστεύοντες εἰς μίαν θεότητα τρισυπόστατον καὶ παντοδύναμον, οὐδαμῶς τοῦ ἐνιαίου καὶ τῆς ἁπλότητος ἐκπίπτουσαν διὰ τὰς δυνάμεις ἢ τὰς ὑποστάσεις. ἔτι ἀσφαλίζομαι, ὅτι οὐ δέδωκα τὸ οἰονοῦν χάριν τοῦ ψηφισθῆναί με εἰς τήνδε τὴν ἁγιωτάτην τοῦ Θεοῦ μεγάλην ἐκκλησίαν, ἀλλ' οὐδὲ ὑπεσχέθην τι παρασχεῖν ἕνεκα τούτου πρός τινα, οὐδὲ δώσω, ἀλλ' ἀσπάζομαι καὶ τὰς περὶ τούτου ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις, ἀλλὰ δὴ καὶ τὴν γεγονυῖαν ἀκρίβειαν τῆς νεαρᾶς παρὰ τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου ἡμῶν βασιλέως, τοῦ Παλαιολόγου κῦρ Ἀνδρονίκου, ἐπὶ τῇ τοιαύτῃ ἱερᾷ πράξει τὴν στερχθεῖσαν καὶ βεβαιωθεῖσαν παρὰ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ ὑπισχνοῦμαι φυλάττειν ταῦτην ἀπαρεγχείρητον. ὑπεγράφη ταῦτα διὰ χειρὸς ἡμετέρας δι' ἀσφάλειαν. μηνὶ μαΐῳ ἰνδικτιῶνος πέμπτης, ἔτους ἑξακισχιλιοστοῦ ἐνακοσιαστοῦ πέμπτου +.

+ Κάλλιστος ἱερομόναχος, ἐλέῳ Θεοῦ ὑποψήφιος Κωνσταντινούπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης +.

(Тамъ же, стр. 293—295).

№ 47.

Τοῦ μακαριωτάτου ἀρχιεπισκόπου τῆς Θεσσαλονίκης Γρηγορίου τοῦ Παλαμᾶ κεφάλαια φυσικὰ θεολογικὰ ἠθικὰ καὶ πρακτικά, καὶ καθαρτικὰ τῆς Βαρλααμίτιδος λύμης $\overline{ρν}$.

Извлечены изъ рукописи, содержащей отрывки богословскаго содержанія, въ библіотекѣ богоспасаемой лавры преподобнаго Аѳанасія на святой

горѣ Аѳонской. А рукопись эта на бумагѣ, переплетена вмѣстѣ съ печатною книгою, въ которой содержатся житія разныхъ святыхъ.

1. Міръ имѣетъ свое начало. Въ этомъ увѣряютъ насъ и исторія, и открытія наукъ и искуствъ, и разныя законодательства и проч.

2. Міръ кончится. Ибо что̀ перестаетъ жить по частямъ, то̀ перестанетъ существовать и все въ цѣлости. По пророчествамъ, будетъ конецъ міра.

3. Душа міра, движущая звѣзды, не существуетъ.

15. Ἐκ τῶν χρωμάτων καὶ τῶν σχημάτων πολυειδῶς διακειμένων μορφοῦται ἡ ὄψις, ἡ δὲ ὄσφρησις ἐκ τῶν ἀτμῶν, γεῦσις δὲ ἐκ τῶν χυμῶν, ἐκ δὲ τῶν ψόφων ἡ ἀκοή, ἡ δὲ ἁφὴ ἐκ τῶν τραχέων· αἱ δὲ κατὰ τὰς αἰσθήσεις ἐγγινόμεναι μορφώσεις εἶναι ἐκτυπώματα σωμάτων.

16. Τὰ κατὰ τὰς αἰσθήσεις ἐκμαγεῖα ταῦτα τὸ τῆς ψυχῆς φανταστικὸν ἐκ τῶν αἰσθήσεων οὗ προσοικειούμενόν ἐστι.

17. Τοῦτο δὴ φανταστικὸν ἐν τῷ λογικῷ ζώῳ νοῦ καὶ αἰσθήσεως μεθόριον γίνεται. τὰς γὰρ ἐν αὐτῷ παρὰ τῶν αἰσθήσεων προσειλημμένας εἰκόνας, ὡς κεχωρισμένας σωμάτων καὶ ἀσωμάτους ἤδη γεγενημένας, καθορῶν καὶ περιστρέφων ὁ νοῦς ποικίλως καὶ τοὺς λογισμοὺς ἀπεργάζεται διαλογιζόμενός τε καὶ ἀναλογιζόμενος καὶ συλλογιζόμενος πολυειδῶς, ἐκπαθῶς, ἀπαθῶς, μέσως, πεπλανημένως τε καὶ ἀπλανῶς, ἀφ' ὧν αἱ πλεῖσται ἀρεταὶ καὶ κακίαι εὐδοξίαι τε καὶ κακοδοξίαι τίκτονται.

21. Ученіе св. Духа есть источникъ истиннаго знанія о Богѣ, мірѣ и человѣкѣ.

26. Ἄνθρωπος ἐκτίσθη κατ' εἰκόνα τοῦ πλάσαντος, ὡς πρὸς ἐκεῖνον ὁρῴη καὶ αὐτὸν ἀγαπῴη κἀκείνου μόνου μύστης καὶ προσκυνητὴς εἴη καὶ τῇ πρὸς αὐτὸν πίστει καὶ νεύσει καὶ διαθέσει τὴν οἰκείαν καλλονὴν συντηροίη.

29. Οὐ τὸ εἰδέναι μόνον Θεὸν οὐδὲ τὸ γινώσκειν τὸν ἄνθρωπον ἑαυτὸν καὶ τὴν ἑαυτοῦ τάξιν, ἀλλὰ καὶ τὸ εἰδέναι τὸν καθ' ἡμᾶς νοῦν τὴν ἑαυτοῦ ἀσθένειαν καὶ ταύτην ἰάσασθαι ζητεῖν δεῖ· ὁ γὰρ γνοὺς τὴν ἑαυτοῦ ἀσθένειαν νοῦς εὗρεν ὅθεν ἂν εἰσέλθοι πρὸς σωτηρίαν καὶ ἐγγίσαι τῷ φωτὶ τῆς γνώσεως καὶ λάβοι σοφίαν ἀληθῆ.

30. Πᾶσα λογικὴ καὶ νοερὰ φύσις, εἴτε ἀγγελικὴν εἴποι τις εἴτε ἀνθρωπίνην, οὐσίαν ἔχει τὴν ζωήν, δι' ἣν καὶ διαμένει ἐπ' ἴσης καθ' ὕπαρξιν ἀθάνατος. Ἀλλ' ἡ μὲν ἐν ἡμῖν λογικὴ καὶ νοερὰ φύσις οὐ μόνον οὐσίαν ἔχει τὴν ζωήν,

ἀλλὰ καὶ ἐνέργειαν· ζωοποιεῖ γὰρ καὶ τὸ συνημμένον σῶμα· ἡ δὲ τῶν ἀγγέλων νοερὰ φύσις οὐχὶ καὶ ἐνέργειαν τοιαύτην ἔχει τὴν ζωήν· οὐ γὰρ συνημμένον ἔλαβεν ἐκ γῆς σῶμα παρὰ Θεοῦ.

33. Ἡ λογικὴ καὶ νοερὰ ψυχὴ οὐσίαν μὲν ἔχει ζωήν, ἀλλὰ δεκτικὴν τῶν ἐναντίων, κακίας δηλονότι καὶ ἀγαθότητος· ὅθεν δείκνυται μὴ οὐσίαν ἔχουσα τὴν ἀγαθότητα, ὥσπερ οὐδὲ τῆς κακίας, ἀλλ' οἱόν τινα ποιότητα, καθ' ἑκάτερον, ὁπότε παρείη, διατιθέμενη. πάρεστι δὲ οὐ τοπικῶς, ἀλλ' ἡνίκ'ἂν ἡ νοερὰ ψυχή, τὸ αὐτεξούσιον λαβοῦσα παρὰ τοῦ κτίσαντος, νεύσῃ πρὸς αὐτὴν καὶ ζῆν ἐθελήσῃ κατ' αὐτήν. διὸ καὶ σύνθετός ἐστί πως ἡ λογικὴ καὶ νοερὰ ψυχὴ οὐκ ἐκ τῆς ἐνεργείας· αὕτη γὰρ πρὸς ἕτερον οὖσα σύνθεσιν ἐκποιεῖν οὐ πέφυκεν· ἀλλ' ἐκ τῆς κατ' αὐτὴν οὐσίας καὶ μιᾶς ἡστινοσοῦν τῶν εἰρημένων ἐναντίων, ἀρετῆς, φημί, καὶ πονηρίας.

34. Ὁ ἀνωτάτω νοῦς τὸ ἄκρον ἀγαθόν.... οὐσίαν ἔχει τὴν ἀγαθότητα.. Πᾶν ἐν ἐκεῖνῳ ἀγαθόν ἐστι... Καὶ ἡ ζωὴ ἐν αὐτῷ ἐστί, μᾶλλον δὲ καὶ αὐτός ἐστιν ἡ ζωή· ἀγαθὸν γὰρ ἡ ζωή... Καὶ ἡ σοφία ἐν αὐτῷ ἐστι· ἀγαθὸν γὰρ ἡ σοφία .. κ. τ. λ.

35. Ἡ ἀγαθότης αὕτη καὶ πηγή ἐστιν ἀγαθότητος· καὶ τοῦτο γὰρ ἀγαθόν.. Ἐπεὶ δὲ νοῦς ἐστιν ἡ ὑπερτελὴς καὶ παντελὴς ἀγαθότης, τί ποτ' ἂν ἕτερον τὸ παρ' αὐτῆς, ὡς ἐκ πηγῆς, προιὸν ἢ Λόγος;

36. Ἡ ἀγαθότης, ἡ ὡς ἐκ πηγῆς τῆς νοερᾶς ἀγαθότητος προϊοῦσα γεννητῶς, ἐπεὶ Λόγος ἐστί, Λόγος δὲ πνεύματος χωρὶς οὐδ' ἄν τις νοῦν ἔχων ἐννοήσειε· διὰ τοῦτο καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁ ἐκ Θεοῦ Θεὸς Λόγος συμπροϊὸν ἐκ τοῦ Πατρὸς ἔχει.... Ἐκεῖνο δὲ Πνεῦμα ἔρως ἐστὶν ἀπόῤῥητος τοῦ γεννήτορος.

37. Σεφθῶμεν ἕνα Θεὸν ἀληθῆ τε καὶ τέλειον, οὐ τριπλοῦν, ἄπαγε, ἀλλ' ἁπλοῦν· οὐ γὰρ τριπλῆ τίς ἐστιν ἡ ἀγαθότης οὐδὲ τριὰς ἀγαθοτήτων, ἀλλὰ τριὰς ἁγία καὶ σεβασμία καὶ προσκυνητὴ ἡ ἀνωτάτω ἀγαθότης ἐστίν, ἐξ αὐτῆς εἰς ἑαυτὴν χεομένη ἀῤῥεύστως καὶ ἐφ' ἑαυτῆς ἑστῶσα πρὸ αἰώνων θεοπρεπῶς ἀόριστός τε οὖσα.. κ. τ. λ.

38. Ἡ τῶν ἀγγέλων νοερὰ καὶ λογικὴ φύσις ἔχει νοῦν τε καὶ λόγον ἐκ τοῦ νοῦ καὶ τὸν πρὸς τὸν Λόγον ἔρωτα τοῦ νοῦ.

44. Ὁ σατᾶν ἄρχειν ἐπεθύμησε· ὑπηρετεῖν δὲ ὁρισμένοι εἶναι ἄγγελοι τῷ κτίσαντι· ὑπερηφάνως παρὰ γνώμην τοῦ κτίσαντος καὶ τὴν ἑαυτοῦ τάξιν μετὰ τῶν συναποστάντων ἀγγέλων ἀπολιπὼν ἐγκαταλιμπάνεται δικαίως παρὰ τῆς ὄντως ζωτικῆς καὶ φωτιστικῆς πηγῆς καὶ θάνατον ἐνδύεται καὶ ζόφον αἰώνιον.

46. Ἐκστήσαντες ἑκόντες ἑαυτοὺς οἱ τοῦ γένους προπάτορες τῆς τοῦ Θεοῦ μνήμης καὶ θεωρίας καὶ τῆς ἐκεῖθεν ἐντολῆς ἀλογήσαντες καὶ τῷ νεκρῷ τοῦ σατᾶν ὁμονοήσαντες πνεύματι, γυμνωθέντες τῶν ἐκ τῆς ἄνωθεν αἴγλης φωτεινῶν καὶ ζωτικῶν ἐνδυμάτων, νεκροί, φεῦ, ὡς σατᾶν καὶ αὐτοὶ κατὰ πνεῦμα γεγόνασιν. — Ἐπεὶ δὲ ὁ σατᾶν οὐ νεκρόν ἐστι πνεῦμα μόνον, ἀλλὰ καὶ νεκροῦν τοὺς ἐγγίζοντας, τοῖς δὲ μετασχοῦσι τῆς ἐκείνου νεκρώσεως καὶ σῶμα παρῆν, δι' οὗ καὶ συνεπερανείη πρὸς ἔργον ἐλθοῦσα ἡ νεκροποιὸς συμβουλή, μεταδιδόασι, φεῦ, καὶ τοῖς οἰκείοις σώμασι τὰ νεκρὰ καὶ νεκροποιὰ ἐκεῖνα πνεύματα τῆς νεκρώσεως.

50. Ἵνα δὲ καὶ τὴν τῆς φιλανθρωπίας ὑπερβολὴν καὶ τὸ τῆς σοφίας βάθος μὴ παντάπασιν ἀγνοῶμεν, τίνος ἕνεκεν ὑπερθέμενος ὁ Θεὸς τοῦ θανάτου τὸ τέλος οὐκ ἐπ' ὀλίγον ἔτι παρέσχε τῷ ἀνθρώπῳ ζῆν; πρῶτον μὲν ἔδειξε μετ' ἐλέους παιδεύειν, μᾶλλον δὲ ἐφιεὶς τὴν σὺν δίκῃ παιδείαν, ἵνα μὴ ἀπογνῶμεν τελέως· ἔδωκε δὲ καὶ καιρὸν μετανοίας καὶ τῆς πρὸς αὐτὸν εὐαρεστήσεως, παρεμυθήσατο τῇ ὑπ' ἀλλήλων γενέσει τοῦ θανάτου τὴν λύπην, ηὔξησε τοῖς διαδόχοις τὸ γένος, ὡς καὶ περιεῖναι πολλῷ μέτρῳ τὴν ἀρχὴν τῶν γεννωμένων τὸ πλῆθος τοῦ ἀριθμοῦ τῶν θνησκόντων, ἀνθ' ἑνὸς τοῦ δι' αἰσθητοῦ φυτοῦ κάλλους ἐλεεινοῦ τε καὶ πενιχροῦ γεγωνότος Ἀδὰμ πολλοὺς ἐκ τῶν αἰσθητῶν ἔδειξε μακαρίως πεπλουτηκότας θεογνωσίαν καί ἀρετὴν καὶ γνῶσιν καὶ εὐμένειαν θείαν· μάρτυρες Σήθ, Ἐνῶς, Ἐνώχ . . κ. τ. λ.

56. (Περὶ ἐνανθρωπήσεως Υἱοῦ τοῦ Θεοῦ).

57. Ежели приблизилось къ намъ царствіе Божіе снисхожденіемъ къ намъ Слова; то да не удалимся мы отъ него: напротивъ пріобрѣтемъ дѣла покаянія, и проч.

58. Τὴν πρὸς τὸν Θεὸν ἀγάπην ἀπουσία παθῶν καὶ περιουσία συνίστησι τῶν ἀρετῶν. — Ἴδοι δ' ἄν τις μὴ μόνον ἐκ τῶν ἀρετῶν τὴν πρὸς Θεὸν ἀγάπην, ἀλλὰ καὶ ἐκ τῆς ἀγάπης τὰς ἀρετὰς τικτομένας. δι' ὃ καὶ ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ ποτὲ μὲν φησίν· «ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με» (Ιο. 14,21), ἄλλοτε· «ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει» (ст. 23).

64. Εἰ καὶ τὸ κατ' εἰκόνα μᾶλλον ἡμεῖς τῶν ἀγγέλων ἔχομεν καὶ μέχρι νῦν, πρὸς τὸ καθ' ὁμοίωσιν εἶναι τοῦ Θεοῦ πολλῷ ἐλαττούμεθα, καὶ μάλιστα νῦν, τῶν ἀγαθῶν ἀγγέλων· ἵνα γὰρ τἄλλα νῦν ἀφῷ, ἡ τελείωσις τοῦ καθ' ὁμοίωσιν εἶναι τοῦ Θεοῦ διὰ τῆς ἐκ Θεοῦ θείας ἐκλάμψεως τελεῖται, ἧς ἐστε-

ρῆσθαι μὲν τοὺς πονηροὺς ἀγγέλους, δι' ὁ καὶ ὑπὸ ζόφον γεγενῆσθαι, ἐκφορεῖσθαι δὲ τοὺς θείους νόας, δι' ὁ καὶ δεύτερον καλεῖσθαι φῶς καὶ τοῦ πρώτου φωτὸς ἀπορρροὴν οὐδένα ἂν οἶμαι ἀγνοεῖν... Ἔχουσι δὲ ἐντεῦθεν οἱ ἀγαθοὶ τῶν ἀγγέλων καὶ τὴν τῶν αἰσθητῶν γνῶσιν· οὐ γὰρ αἰσθητικῇ καὶ φυσικῇ δυνάμει τούτων ἀντιλαμβάνονται, ἀλλὰ θεοειδεῖ δυνάμει γινώσκουσιν αὐτά, ἧς μηδὲν τῶν ὁπωσδήποτε παρόντων ἢ παρ‹ῳχ›η‹κ›ότων ἢ μελλόντων ἀποκρύπτεσθαι δύναται.

65. Τοιαύτη ἔλλαμψις ἄκτιστός ἐστι, καὶ ὡς ἡ θεία οὐσία οὐκ ἔστι. Οἱ δὲ τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου φρονοῦντες βλασφημοῦσιν εἰς τὴν θείαν ταύτην ἔλλαμψιν ἢ κτίσμα ταύτην ἢ οὐσίαν εἶναι τοῦ Θεοῦ διατεινόμενοι.

66. Сіе-то божественное сіяніе, котораго лишились мы преступленіемъ Адама, проявлено на Θаворѣ, дабы мы знали, чѣмъ мы были и чѣмъ будемъ.

67. Сего осіянія причастенъ былъ и Адамъ до паденія.

68. Ἡ μὲν θεία ὑπερουσιότης οὐδέποτε πληθυντικῶς καλεῖται, ἡ δὲ τοῦ Θεοῦ θεία καὶ ἄκτιστος χάρις καὶ ἐνέργεια μεριζομένη ἀμερίστως κατ' εἰκόνα τῆς ἡλιακῆς ἀκτῖνος τοῖς τε λαμπομενοις τὴν οἰκείαν ἐνίησι λαμπρότητα... Далѣе Палама несозданность силъ и дѣйствій св. Духа подтверждаетъ словами св. Василія Великаго.

69. Ἡ θεία καὶ θεοποιὸς ἔλλαμψις καὶ χάρις οὐκ οὐσία, ἀλλ' ἐνέργειά ἐστι Θεοῦ.

70. Ταύτας τὰς θείας ἐνεργείας ἑπτὰ ὁ Ἡσαίας εἶπε ..... Ταῦτα τὰ ἑπτὰ πνεύματα κτιστὰ φρενοβλαβῶς οἱ τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου φρονοῦντες εἶναι διατείνονται.

73. Акиндинисты утверждаютъ, что одно естество несоздано, а все прочее создано, и такимъ образомъ дѣлаютъ созданіемъ и Отца, и Сына, и Св. Духа ..... Οὐχ ἡ τοῦ Θεοῦ ἐνέργεια, ἀλλὰ τὸ ἐνεργηθὲν καὶ ἀποτελεσθέν ἐστι τὸ κτίσμα.

74. Πανταχοῦ παρούσης ἀχωρίστως τῆς τε θείας οὐσίας καὶ τῆς θείας ἐνεργείας, χωρητή ἐστιν ἡ τοῦ Θεοῦ ἐνέργεια καὶ τοῖς κτιστοῖς ἡμῖν, ἐπεὶ καὶ μερίζεται ἀμερίστως, κατὰ τοὺς θεολόγους (κατὰ Ἰωάν. Χρυσόστομον)· «χωρητή ἐστιν ἡμῶν ἑκάστῳ ἡ θεία χάρις καὶ ἡ ἐνέργεια, ἡ δὲ τοῦ Θεοῦ οὐσία, παντάπασιν ἀμερίστως οὖσα καθ' ἑαυτήν, πῶς ἄν τινι χωρηθείη τῶν κτιστῶν;»

75. Праведники, удостоившіеся единенія съ Духомъ Божіимъ, соединяются не съ существомъ Его, а съ енергіею. Αἱ πνευματοφόροι ψυχαί, κατὰ

τὸν μέγαν Βασίλειον, ἐλλαμφθεῖσαι παρὰ τοῦ πνεύματος αὐταί ‹τ›ε ἀποτελοῦνται πνευματικαὶ καὶ εἰς ἑτέρους τὴν χάριν ἐξαποστέλλουσιν· ἐντεῦθεν μελλόντων πρόγνωσις, μυστηρίων σύνεσις, κεκρυμμένων κατάληψις, χαρισμάτων διανομαί, τὸ οὐράνιον πολίτευμα κ. τ. λ.

78. Ἔστι δὲ καὶ λέγεται φύσις τῶν ὄντων πάντων ὁ Θεός, ὡς αὐτοῦ πάντων μετεχόντων καὶ τῇ μεθέξει τούτου συνεστώτων, οὐ τῇ μεθέξει τῆς αὐτοῦ φύσεως· ἄπαγε· ἀλλὰ τῇ μεθέξει τῆς αὐτοῦ ἐνεργείας· οὕτω γὰρ καὶ ὀντότης ἐστὶ τῶν ὄντων.

81. Εἷς ἐστι Θεός, ὁ αὐτὸς ἀκατάληπτος μὲν ὢν κατ' οὐσίαν, καταληπτὸς δὲ ἀπὸ τῶν ποιημάτων κατὰ τὰς αὐτοῦ θείας ἐνεργείας, τὴν προαιώνιον αὐτοῦ δηλαδὴ περὶ ἡμᾶς θέλησιν, σοφίαν, ἄπειρον αὐτοῦ δύναμιν καὶ ἀγαθότητα. Βαρλαὰμ ‹δ›ὲ καὶ Ἀκίνδυνος, ἀκούσαντες ταῦτα, κατηγοροῦσιν ἡμᾶς, ὡς πολλοὺς θεοὺς καὶ πολλὰ λέγοντας ἄκτιστα καὶ σύνθετον ποιοῦντα‹ς› θεόν· ἀγνοοῦσι γὰρ ὡς ὁ Θεὸς ἀδιαιρέτως διαιρεῖται καὶ συνάπτεται διῃρημένος καὶ ‹οὔτε› πολυπλασιασμὸν παρὰ τοῦτο πάσχει οὔτε σύνθεσιν.

83. Σοφίας καὶ τέχνης καὶ δυνάμεως, ἀλλ' οὐχὶ τῆς οὐσίας ἐνδεικτικά ἐστι τὰ ποιήματα, φησὶν ὁ μέγας Βασίλειος τῷ Εὐνομίῳ ἀντιφθεγγόμενος. Καὶ οἱ Βαρλααμῖται καὶ Ἀκινδυνῖται, μηδὲν διαφέρειν λέγοντες τῆς θείας οὐσίας τὴν θείαν ἐνέργειαν, Εὐνομιανοί εἰσι σαφῶς.

90. (Μάξιμος) τὴν ποιητικὴν τῶν ὄντων πρόνοιαν τὰς προόδους εἶναι ταύτας τοῦ Θεοῦ γράφει ἐν σχολίοις. Κοιναί δέ εἰσι τῆς τρισυποστάτου διακεκριμένης ἑνάδος αἱ δημιουργικαὶ πρόνοιαί τε καὶ ἀγαθότητες, τουτέστιν αἱ οὐσιώσεις, αἱ ζωώσεις, αἱ σοφοποιήσεις, ἃς καὶ ἀσχέτους μεταδόσεις καὶ ἀμειώτους ὀνομάζουν.

92. Ὥσπερ ὁ ἥλιος ἀμειώτως τοῖς μετέχουσι μεταδιδοὺς θέρμης καὶ φωτός ἐκφύτους ταῦτ' ἔχει καὶ οὐσιώδεις ἐνεργείας· οὕτω καὶ αἱ θεῖαι μεταδόσεις, ἀμειώτως ἐνοῦσαι τῷ μεταδίδοντι, φυσικαὶ καὶ οὐσιώδεις ἐνέργειαί εἰσιν αὐτοῦ, τοιγαροῦν καὶ ἄκτισται.

93. Ὥσπερ αἱ τῶν προσώπων ἐκφάσεις οὐκ ἐν πάσαις ταῖς ὕλαις γίνονται, ἀλλ' ἐν ταῖς λειότητά τινα καὶ διαφάνειαν κεκτημέναις· οὕτως οὐκ ἐν πάσαις ταῖς ψυχαῖς ἡ τοῦ πνεύματος ἐνέργεια, ἀλλ' ἐν ταῖς μηδὲν σκολιὸν ἐχούσαις μηδὲ στραγγαλιῶδες. Καὶ πάλιν πᾶσι μὲν πάρεστι τὸ Πνεῦμα ἅγιον, ἀλλὰ τοῖς μὲν καθαρεύουσι τῶν παθῶν τὴν ἰδίαν ἐκφαίνει δύναμιν, τοῖς δὲ τὸ ἡγεμονικὸν συγκεχυμένον ἔχουσιν ἀπὸ τῶν τῆς ἁμαρτίας σπίλων οὐκέτι.

95. Ὁ τοῦ Χριστοῦ πρόδρομος λέγει οὐκ ἐκ μέτρου δίδοσθαι παρὰ Θεοῦ Πατρὸς τὸ πνεῦμα τῷ Χριστῷ. Ὁ δὲ Χρυσόστομος λέγει ὅτι «πνεῦμα ἐνταῦθα τὴν ἐνέργειαν λέγει· πάντες γὰρ ἡμεῖς μέτρῳ τὴν τοῦ πνεύματος ἐνέργειαν λαμβάνομεν, ἐκεῖνος δὲ ἀμέτρητον καὶ ὁλόκληρον ἔχει πᾶσαν τὴν ἐνέργειαν». Εἰ δὲ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία... καὶ τῷ ἀμέτρητον εἶναι ταύτην τὸ ἄκτιστον αὐτῆς παρέστησε ὁ βαπτιστής, τῷ δὲ μέτρῳ ἡμᾶς *αὐτὴν λαμβάνειν τὴν πρὸς τὴν ἄκτιστον οὐσίαν τῆς ἀκτίστου ἐνεργείας διαφοράν*...

96. (Слѣдуютъ краткія и рѣзкія опроверженія мудрованія Акиндинитовъ, будто существо и енергія Бога ни чѣмъ не отличаются одно отъ другаго. Вотъ образчики:

«Ежели енергіи Бога ни чѣмъ не отличаются отъ сущности Его, а енергій у Него много, то много въ Немъ и сущностей. А этого еще никто не воображалъ».

«Ежели енергія есть тоже, что и существо Бога, то она творитъ и Сына и св. Духа; ибо свойство ея — творить. А если существо и енергія въ Немъ отличны, то Отецъ, Сынъ и св. Духъ, имѣя одно существо, не творятся, а одинъ рождается, другой же исходитъ).

Εἰ ταὐτόν ἐστιν οὐσία καὶ ἐνέργεια, πάντη τε καὶ πάντως ἅμα τῷ εἶναι καὶ ἐνεργεῖν τὸν Θεὸν ἀνάγκη· συναίδιος τῷ Θεῷ ἄρα ἡ κτίσις, ἐξ ἀϊδίου ἐνεργοῦντι κατὰ τοὺς Ἕλληνας.

Εἰ ταὐτὸν οὐσία καὶ ἐνέργεια, ἕως ἄρτι ὁ Θεὸς ἐργαζόμενος, ἕως ἄρτι γεννᾷ καὶ ἐκπορεύει καὶ ἐργάζεται, ταῦτα καὶ γεννᾷ καὶ ἐκπορεύει..... κ. τ. λ.

105. (Θείας κοινωνοὶ φύσεως. β Петр. 1,4). Θεολόγοι τῆς θείας ἐνεργείας εἶναι ὄνομα τὴν θεότητα φασίν.

Βασίλειος· «Αἱ μὲν ἐνέργειαι τοῦ Θεοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος».

Ἰωάνν. Δαμασκηνός· «Ἡ ἐνέργειά ἐστιν ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις».

Κτίσματα τοῦ Θεοῦ καὶ εἰσὶ καὶ λέγονται παρὰ τῶν εὐσεβῶς φρονούντων οὐχ ἡ τοῦ Θεοῦ ἐνέργεια κατὰ τοὺς Ἀκινδυνολήρους, ἀλλὰ τῆς θείας ἐνεργείας ἀποτελέσματά ἐστι τὰ κτίσματα.

Εἰ γὰρ τὰ κτίσματα ἡ ἐνέργεια, ἦ ἄκτιστα ταῦτά ἐστιν ἢ πρὸ τῶν κτισμάτων οὐκ εἶχεν ὁ Θεὸς ἐνέργειαν.

141. Οὐκ ἐκ τῆς οὐσίας ἡ ἐνέργεια, ἀλλ' ἐκ τῆς ἐνεργείας ἡ οὐσία γνωρίζεται ὅτι ἔστιν, ἀλλ' οὐ τί ἐστι. Δι' ὃ καὶ ὁ Θεὸς. οὐκ ἐκ τῆς οὐσίας, ἀλλ' ἐκ τῆς προνοίας αὐτοῦ γινώσκεται κατὰ τοὺς θεολόγους ὅτι ἔστι. Διαφέρει δὴ κατὰ τοῦτο τῆς οὐσίας ἡ ἐνέργεια, ὅτι τὸ μὲν γνωρίζον ἐστὶν ἡ ἐνέργεια, τὸ δὲ δι' αὐτῆς γνωριζόμενον ὅτι ἔστιν ἡ οὐσία ἐστίν. Οἱ δὲ τῆς Ἀκινδύνου δυσσεβείας συνήγοροι, σπεύδοντες πείθειν μηδὲν διαφέρειν τῆς θείας οὐσίας τὴν ἐνέργειαν θείαν, τοῦτο σπεύδουσιν ἡμᾶς καταπεῖσαι, τὸ γνωριστικὸν ἀναιροῦντες, μὴ γινώσκειν ὅτι ἔστιν ὁ Θεός, ὡς μηδὲ ἐκεῖνοι πάντως γινώσκοντες· ὁ δὲ μὴ τοῦτο γινώσκων ἀθεώτατος εἶναι.

143. Ὁ θεῖος Κύριλλος περὶ Θεοῦ τὸν λόγον ποιούμενος λέγει· «τὸ μὲν ποιεῖν ἐνεργείας ἐστί, φύσεως δὲ γεννᾶν· φύσις δὲ καὶ ἐνέργεια οὐ ταὐτόν.»

146. Εἰπὼν ὁ Κύριος πρὸς τοὺς οἰκείους μαθητάς, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων οἱ οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει, μεθ' ἡμέρας ἓξ παραλαβὼν τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην κατὰ τὸ Θαβώριον ὄρος ἀνελθών ἔλαμψεν ὡς ὁ ἥλιος καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς· οὐ γὰρ ἠδύναντο πλέον ἐκεῖνοι βλέπειν, μᾶλλον δὲ καὶ πρὸς τὴν λάμψιν ταύτην οὐκ ἰσχύοντες ἀτενίζειν πρηνεῖς εἰς γῆν κατέπεσον, ὅμως εἶδον κατὰ τὴν ἐπαγγελίαν τοῦ σωτῆρος τὴν βασιλείαν τοῦ Θεοῦ. Τὸ θεϊκὸν ἐκεῖνο καὶ ἀπόῤῥητον φῶς ὁ Γρηγόριος μὲν καὶ Βασίλειος οἱ μεγάλοι θεότητα προσαγορεύουσι, φῶς λέγοντες ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς καὶ κάλλος τοῦ ὄντως δυνατοῦ ἡ νοητὴ αὐτοῦ καὶ θεωρητὴ θεότης. Ὁ γὰρ μέγας Βασίλειος καὶ κάλλος εἶναι τοῦ Θεοῦ φησὶ τὸ φῶς ἐκεῖνο, μόνοις τοῖς ἁγίοις θεωρητὸν ἐν τῇ δυνάμει τοῦ θείου πνεύματος, δι' ὃ καὶ φησὶ πάλιν· «εἶδον καὶ αὐτοῦ τὸ κάλλος Πέτρος καὶ οἱ υἱοὶ τῆς βροντῆς ἐν τῷ ὄρει, ὑπερλάμπον τὴν τοῦ ἡλίου λαμπρότητα, καὶ τὰ προοίμια τῆς αὐτοῦ παρουσίας ὀφθαλμοῖς λαβεῖν κατηξιώθησαν». Ὃ καὶ Δαμασκηνὸς θεολόγος μετὰ τοῦ χρυσοῦ τὴν γλῶτταν Ἰωάννου φυσικὴν ἀκτῖνα τῆς θεότητος τὸ φῶς ἐκεῖνο προσηγόρευσαν, ὃ μὲν γραφών· «ἀνάρχως ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς γεννηθεὶς τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος, καὶ ἡ τῆς θεότητος δόξα καὶ δόξα τοῦ σώματος γίνεται». Ὃ καὶ χρυσορῥήμων «λαμπρότερος» φησίν «ἑαυτοῦ ἐφαίνετο ὁ Κύριος ἐπὶ τοῦ ὄρους, τῆς θεότητος παραδειξάσης τὰς ἀκτῖνας αὐτῆς».

147. Τοῦτο τὸ θεϊκὸν ἀπόῤῥητον φῶς, τὴν τοῦ Θεοῦ θεότητα καὶ βασιλείαν, τὸ κάλλος καὶ τὴν λαμπρότητα τῆς θείας φύσεως, τὴν ἐν τῷ ἀκαταλήκτῳ αἰῶνι τῶν ἁγίων ὅρασιν καὶ ἀπόλαυσιν, τὴν φυσικὴν ἀκτῖνα καὶ δόξαν τῆς θεό-

τητος, φάσμα καὶ κτίσμα οἱ Ἀκινδυ⟨νι⟩ανοὶ λέγουσι καὶ τοὺς μὴ ἀνεχομένους κατ' αὐτοὺς εἰς τὸ θεῖον τοῦτο φῶς βλασφημεῖν, ἀλλ' ἄκτιστον εἶναι φρονοῦντας τὸν Θεὸν καὶ κατ' οὐσίαν καὶ κατ' ἐνέργειαν διθείτας εἶναι συκοφαντοῦντες περιαγγέλλουσιν. Ἀλλ' αἰσχυνέσθωσαν· ἀκτίστου γὰρ καὶ τοῦ θείου φωτὸς ὄντος, εἰς ἡμῖν Θεός ἐστιν ἐν μιᾷ θεότητι, ὡς ἑνὸς Θεοῦ, καθάπερ ἀνωτέρω πολλαχῶς δέδεικται, καὶ τῆς ἀκτίστου οὐσίας οὔσης καὶ τῆς ἀκτίστου ἐνεργείας, δηλαδὴ τῆς θείας χάριτος καὶ ἐλλάμψεως ταύτης.

148. Φάσμα τοιγαροῦν καὶ κτίσμα φρονεῖν [1]) ἐπὶ τῆς συνόδου τολμηρῶς εἰπόντες καὶ κατασκευάζειν πειραθέντες οἱ Ἀκινδυ[α]νιανοὶ τὸ λάμψαν ἀπὸ σωτῆρος ἐν Θαβὼρ θεικὸν ἐκεῖνο φῶς καὶ διὰ πολλῶν ἐξελεγχθέντες καὶ μὴ καταπεισθέντες [2]) ἀφορκισμῷ ἐγγράφῳ καὶ ἀναθέματι καθυπεβλήθησαν ....

149. Ἄλλοτε δὲ τὴν οἰκείαν κακοδοξίαν συσκιάζειν μηχανώμενοι καὶ ἄκτιστον λέγουσι τὸ ἐν Θαβωρίῳ λάμψαν φῶς καὶ οὐσίαν εἶναι τοῦ Θεοῦ, πολλαπλῶς κἀν τοῦτῳ βλασφημοῦντες· ἐπεὶ γὰρ ὑπὸ τῶν ἀποστόλων ἑώραται τὸ φῶς ἐκεῖνο, ὁρατὴν λοιπὸν εἶναι κακῶς φρονοῦσι τὴν οὐσίαν τοῦ Θεοῦ. Ἀλλ' ἀκουέτωσαν τοῦ λέγοντος· οὐδεὶς ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Θεοῦ καὶ θείαν φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν, καὶ μὴ μόνον οὐδεὶς ἀνθρώπων, ἀλλ' οὐδὲ τῶν ἀγγέλων, καὶ αὐτὰ δὲ τὰ ἑξαπτέρυγα χερουβὶμ καὶ πρὸς αὐτὴν τὴν ὑπερβολὴν τῆς ἐκεῖθεν ἐκπεμπομένης ἐλλάμψεως ταῖς πτέρυξι περικαλύπτει τὰς ὄψεις. Ἐπεὶ γοῦν οὐδέσιν οὐδέποτε ἡ ὑπερουσιότης ὤφθη τοῦ Θεοῦ, ὅταν ταύτην εἶναι οἱ Ἀκινδυνιανοὶ λέγουσι τὸ φῶς ἐκεῖνο, ἀθέατον εἶναι παντάπασι τὸ φῶς τοῦτο μαρτυροῦσι καὶ μηδὲ τοὺς τῶν ἀποστόλων ἐκκρίτους τυχεῖν ἐπ' ὄρους τῆς τούτου θέας μηδὲ τὸν Κύριον ἀληθῶς ταύτην ἐπαγγείλασθαι τούτοις μηδ' ἀληθῶς λέγειν τὸν λέγοντα· «εἴδομεν τὴν δοξαν αὐτοῦ». Σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ καὶ διαγρηγορήσαντες Πέτρος καὶ οἱ σὺν αὐτῷ εἶδον τὴν δόξαν αὐτοῦ, ἕτερος δὲ τὸν διαφερόντως ἠγαπημένον τῷ Χριστῷ Ἰωάννην φησὶν αὐτὴν τὴν τοῦ Λόγου θεότητα παραγυμνωθεῖσαν ἐπ' ὄρους ἰδεῖν· εἶδον οὖν καὶ ἀληθῶς εἶδον τὴν ἄκτιστον καὶ θείαν ἔλλαμψιν ἐκείνην ἀορᾶτου τοῦ Θεοῦ διαμένοντος καθ' ὑπερούσιον κρυφιότητα, κἂν Βαρλαὰμ καὶ Ἀκίνδυνος καὶ οἱ τούτων ὁμόφρονες διαῤῥαγῶσιν.

150. Ἠνίκα δέ τις ἔρηται τοὺς Ἀκινδυνιανοὺς οὐσίαν εἶναι τὸ φῶς ἐκεῖνο τῆς θεότητος εἰπόντας· καὶ ὁρᾶται λοιπὸν ἡ οὐσία τοῦ Θεοῦ; ἀναγκαζόμενοι τὸν

---

[1]) Въ спискѣ еписк. Порфирія надъ φρο написано φω. — Ред.

[2]) Тамъ же надъ χατα написано μετα. — Ред.

δόλον ἐκκαλύπτουσιν, οὐσίαν λέγοντες εἶναι τοῦτο φάναι, ἐπεὶ δι' αὐτοῦ ἡ οὐσία τοῦ Θεοῦ ἑώραται· διὰ γὰρ τῶν κτισμάτων ἡ οὐσία τοῦ Θεοῦ ὁρᾶται· πάλιν κτίσμα κατασκευάζοντες οἱ τάλανες εἶναι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως. Καθορᾶται δὲ διὰ τῶν κτισμάτων οὐχ ἡ οὐσία τοῦ Θεοῦ, ἀλλ' ἡ δημιουργικὴ αὐτοῦ ἐνέργεια, ὥστε δυσσεβῶς καὶ τοῦτο καὶ τῷ Εὐνομίῳ συμφωνοῦντες λέγουσιν, ὅτι διὰ τῶν κτισμάτων ἡ οὐσία τοῦ Θεοῦ ὁρᾶται· οὕτω πολύχουν αὐτοῖς ἐστι τὸ τῆς δυσσεβείας λήιον. Φευκτέον οὖν αὐτοὺς καὶ τὴν αὐτῶν κοινωνίαν, ὡς ψυχοφθόρον καὶ πολυκέφαλον ὕδραν, ὡς πολυειδῆ τῆς δυσσεβείας λύμ[ν]ην.

№ 48.

Γρηγορίου τοῦ Ἀκινδύνου κατὰ τῶν αἱρέσεων Γρηγορίου τοῦ Παλαμᾶ, ἀρχιεπισκόπου Θεσσαλονίκης ἴαμβοι·

Σπουδῇ Παλαμᾶν εὐσεβὴς πᾶς φευγέτω.
Οὐδὲν γὰρ ὀκνεῖ δυσσεβὲς παρεισάγειν,
Τοὺς τοῦ φρονεῖν εὖ ἀσφαλεστάτους ὅρους
Ὥσπερ χαλινοὺς ἐξαποπτύσας ἅπαξ
Καὶ τῶν πατρῴων ἐκτραπεὶς διδαγμάτων·
Κίνδυνος οὐδείς· ἀλλὰ καὶ φῶς νοῦ μόνον
Τὸ κοινὸν ἀγλάισμα τῆς ἐκκλησίας.
Οἱ πᾶσιν ἁπλῶς ἐμφανεῖς πιστοῖς ὅροι
Τῆς εὐσεβείας τῶν φεραυγῶν δογμάτων,
Ὧν ἀσφαλῶς μένωμεν ἐντὸς μηδόλως,
Οὓς ἐνδιδόντες τοῖς Παλαμναίοις ὕθλοις,
Οὓς οὐ σιωπῇ δεῖ κεκρυμμένους μένειν
Καὶ λανθανόντως τοὺς ἁπλουστέρους δάκνειν
Καὶ φαρμακεύειν καὶ διαφθείρειν ἄφνω
Ψυχὰς ἀραιὰς συμπαγεῖ πανουργίᾳ,
Ἀλλ' ἐκκαλύπτειν τὸν τῆς ἐχίδνης γόνον,
Ὡς ἐμφανὴς ὢν ἡ φθαρῇ πᾶς ὁ φθόρος,
Ἡ γοῦν φυλάξηταί τις ἐκ τῶν δογμάτων.
Δεῖ δὲ προθέσθαι καὶ τὸ τῶν ὅλων σέβας

Ὃ πᾶσιν ἴσμεν καὶ φρονοῦσαν καὶ λόγοις
Ὑμνοῦσαν ὡς ἄληκτα τὴν ἐκκλησίαν
Τίκτουσαν, ἐκτρέφουσαν εἰς ὕψος μέγα,
Τοὺς παῖδας ἐξαίρουσαν ἁγνὴν μητέρα.
Τοῦτο προτεῖναι τῶν ἐχιδναίων ἔδει,
Ὡς ἂν πρὸς αὐτὸ τῷ συχνὰ βλέπειν ἔχειν
Τὸ τῆς ἐχίδνης μὴ φοβούμεθα βλάβος.
Ἀναιρεθὲν γὰρ οὐκ ἀναιρησει πάλιν,
Ἀναίρεσις δὲ τοῦ νόθου τὸ γνήσιον,
Καὶ τὸ σταθηρὸν ἐκ μακροῦ τοῦ προσφάτου,
Καὶ μυρίαν πρὶν ἐκτεμὸν ψεύδους πλάνην
Τοῦ πολλάκις φύντος τε καὶ τετμημένου.
Τί τοίνυν ἐστὶ τὸ κρατοῦν πάλαι σέβας;
Καὶ τί φρονεῖν ἔγνωμεν ἐκ πρώτου λόγου,
Ἐκ τῶν φεραυγῶν πατρικῶν μαθημάτων;
Τί δ' ἢ μόνον τρίφωτον εὐσεβεῖν κράτος;
Δίδου δέ μοι νόησιν ἠκριβωμένην
Καὶ γλῶτταν εἰς ἔκφανσιν ἠσφαλισμένην,
Παντουργὲ Χριστέ, τῶν θεηγόρων λόγων,
Πρὸς οὕσπερ οὐκ εὔτολμος οὐδ' ἀττειν ἔφυν
Πλὴν τῆς παρούσης, ὡς ὁρᾷς, Λόγε, βλάβης,
Ὑφ'ἧς καθειρχθεὶς εἰς ἀνάγκην τοῦ λέγειν
Οὐ καρτερῶς ἤνεγκα μὴ ταῦτα γράφειν,
Εἰ γ' εὐσεβεῖν μοι καὶ γραφῇ λόγων λόγος.
Λόγος δέ μοι πᾶς εὐσεβεῖν πάντα τρόπον.
Σέβας Θεοῦ γὰρ καὶ Θεοῦ βλασφημίαν
Οὐ δεῖ σιωπᾶν ἐντολῇ τοῦ Δεσπότου·
Τὸ μὲν γὰρ ὑμνεῖν, τὴν δ' ἀνατρέπειν λόγοις.
Ἀπανταχοῦ δὲ τῶν ἐμῶν λέγω λόγων,
Ὡς ὅστις εὐσεβής τε καὶ νείκους ξένος
Εἰς ἐξετασμὸν τῶν ἐμῶν ἔλθοι λόγων,
Καί που δοκῶ τι μὴ καλῶς εἰρηκέναι
Καὶ τῶν πατρῴων εὐσεβῶν ξένως ὅρων,
Εὐεργετείτω τοὺς ἐλέγχοντας λόγους.

Οὐκ ἀγνοῶ γὰρ ὅστις εἰμὶ τὴν φύσιν·
Βροτός, πενιχρός, πλημμελής, κατηγμένος.
Ἐξίσταμαι δὴ γνωμικῶς τῶν σφαλμάτων
Καὶ προγινώσκω τοῖς ἐλέγχουσιν χάριν·
Αὕτη γὰρ ὀρθότητος ἡμῖν αἰτία,
Ὥσπερ πονηρῶν κἀσεβῶν φρονημάτων
Οἱ μισέλεγχοι τῶν ὑπερφρόνων τρόποι.
Καὶ δὴ λέγοιμ' ἂν ὧνπερ ἠρξάμην χάριν.
Τὸ μὲν γὰρ ἡμῖν εὐσεβούμενον κράτος
Τριλαμπές ἐστι καὶ μονὰς πάλιν ξένη,
Παντουργόν, ἁπλοῦν, πανσθενές, πᾶσιν πέλας·
Μᾶλλον δὲ πᾶσιν ἐγκατοικοῦν ἐξ ἴσου,
Κἂν ἄλλος ἄλλου μᾶλλον οἰκείως ἔχῃ
Σχέσει πρὸς αὐτὸ καὶ μιμήσει καὶ τάσει,
Ἑλλαμψιν ὡς ἕκαστος αὐτοῦ λαμβάνει,
Οὐ γὰρ τὰ βάθρα τῆς θεώσεως ἴσα,
Βαθμοὶ δὲ πολλοὶ πρὸς τὰ τῶν ἄθλων μέτρα
Ἀληπτον, ἀπρόσαπτον αὐτοῖς ἀγγέλοις,
Ἄρρητον. Οὐ γάρ ἐστιν οὐδὲν τῶν ὅλων·
Οὐκ εἶδος οὐδὲν οὐδὲ μορφὴ καὶ φύσις,
Ἧς ἂν βροτός τις ἢ βροτῶν ὑπὲρ φύσιν
Λάβοιτο καὶ γένοιτο τῆς ἄγρας πέρας.
Εἰ φῶς γὰρ ἔσθ', ὡς φασίν, ἀλλὰ καὶ σκότος,
Ὡς οὔτε φῶς ὤν, οὔτε δ' αὖ πάλιν σκότος,
Ἀλλ' ὡς μὲν ἀγνόν, ὡς δὲ καὶ φωτεργάτην
Φωτιστικόν τε τῶν ἐν ἀγνοίας σκότῳ,
Φέγγος προσεῖπον, ὡς δ' ἀμόρφωτον σκότος,
Ἀποκρυφὴν δ' αὖ τῆς θεαρχίας σκότος·
Ὁρᾷ γὰρ οὐδείς, κἂν δοκῇ πάνυ βλέπειν.
Ὁρώμενος γὰρ οὐδαμῶς τοῖς ἐνθέοις
Πάντων ὁρᾶται παμφαέστατος πάλιν,
Αὐτῷ γε τούτῳ θαῦμα θαυμάτων ἄνω,
Τῷ μηδ' ὅλως ἔκφανσιν εἰς ὄψιν φέρειν.
Ὡς συμφυᾶ μόρφωσιν ἀφράστῳ φύσει,

Ὡς ταὐτὸ μορφὴν φασί, ταὐτὸ καὶ φύσιν
Τὴν οὐ θεατὴν καὶ θεουργὸν οὐσίαν
Οἱ τῶν ἀληθῶν μυσταγωγοὶ δογμάτων,
Μὴ σύνθετον λέγωσι τὴν ἁπλουστάτην.
Καὶ δὴ σοφῶς ἔδοξε τοῖς ἄκροις ὅτι
Αὐγὴν Θεοῦ δέδορκεν ἀκραιφνεστάτην
Ὁ μήδ' ὅλως μόρφωσιν ἢ σχῆμα βλέπων
Ἐν τῇ προσευχῇ καὶ Θεοῦ θεωρίᾳ,
Σκότος ὁρῶν ἀκτῖνα, φωτίζον σκότος,
Γνόφον πόδας κρύπτοντα τοῦ πρώτου γνόφου
Κἂν ποικίλαις πέφηνε μορφαῖς πολλάκις
Ἐν συμβόλοις ἄνωθεν εἰς ὁμιλίαν,
Αἰνιγματωδῶς ἐντυχὼν τοῖς πατράσιν,
Ἢ καὶ προδήλῳ σαρκικῇ παρουσίᾳ
Φανεὶς ἀληθῶς ὁ κρατῶν πάντων λόγος
Καθ' ἣν θεουργεῖ τὴν κακωθεῖσαν φύσιν,
Λαβὼν παρ' ἡμῶν, ἀλλ' ὑπὲρ πᾶσαν φύσιν.
Ἀλλ' αὖθις αὖ μέτειμι κἀκείνῳ γράφω
Ἐφ' ᾧ προσελθεῖν τοῖσδε τοῖς λόγοις ἔγνων.
Τὸ δ' ἦν ἀνειπεῖν, τίς μὲν ἡμῶν ἡ βάσις,
Τίς δ' ἡ ΠΑΛΑΜΑ τοῦ σοφοῦ τῶν δογμάτων
Αὐτοῦ πρὸ πάντων τἀγαθοῦ μόνου πέρι.
Κινητικόν γοῦν, οὐ κινητόν, ὡς λόγος.
Κινήσεως γὰρ οὐδαμῶς ἔχει φύσιν
Ἐν τῷ κινεῖσθαι μηδαμῶς ὑπὲρ φύσιν·
Καὶ γὰρ μένων πέπηγε καὶ πάντα φθάνει,
Κινεῖ δὲ πάντα μὴ κινούμενος μόνος.
Ὅλως παρ' ἡμῖν, καὶ παρ' ἡμῖν οὐδ' ὅλως.
Καὶ πανταχοῦ πᾶς, καὶ κατ' οὐδὲν οὐδέπῃ.
Δοκεῖ κρατεῖσθαι, καὶ κρατεῖται μηδ' ὅλως.
Σύγκρατος ἀγνοῖς, κἀναφὴς αὐτοῖς πάλιν·
Οὐδὲν γὰρ αὐτῷ τῶν ἁλωτῶν συντρέχει
Οὐδ' ἐμποδὼν οἱ πρὸς τὸ χωρεῖν εἰσάπαξ
Ἕστηκεν οὐδὲν εἰς ὅλας ὅλον φύσεις.

Πέφευγε ποιόν, συμβεβηκὸς οὐκ ἔχει.
Ἄπειρός ἐστι, πᾶν ὑπὲρ πλῆθος μένει.
Ἕν ἐστιν ὄμμα παντεποπτικώτατον,
Ἓν φῶς, ἓν ὕψος, ἓν παναίτιον σθένος.
Μερίζεται γὰρ οὐδαμῶς πλὴν ὡς θέμις,
Θέμις δὲ τριττῶς εἰς ἁγνὰς ὑποστάσεις·
Οὐ γὰρ μέρος πέφυκεν, εἴπερ οὐδ' ὅλον.
Ὅλου δὲ παντός ἐστι καὶ μέρους ἄνω.
Καὶ τοῦτο δ' αὖ κἀκεῖνο καὶ πάνθ' ὡς κτίστωρ.
Οὐ γὰρ φύσει πρόσεστιν αὐτῷ τῶνδέ τι
Οὐδ' ὧν φύσει πρόσεστιν οὐδέν οἷς φύσις,
Πᾶσαν γὰρ αὐτός ἐστιν ὁ κτίσας φύσιν·
Εἰ γὰρ φύσις λέγοιτο τοῖς θεηγόροις,
Οὐχ ὡς φύσις δήπουθεν, ἀλλ' ὡς ἐργάτης,
Ὡς ἴσμεν αὐτὸν καὶ τὰ λοιπὰ χρησίμως
Κατωνομάσθαι τοῖς σοφοῖς θεηγόροις.
Μᾶλλον δὲ πάντ' ἔχει μέν, ἀλλ' ἡνωμένως
Πάντων τε παντάπασιν ἐξῃρημένως,
Καὶ μηδὲν ὡς ἔνεστι τοῖς ἐκτισμένοις.
Μονὰς δέ τις πέφυκεν ἐν τοῖς γνωρίμοις,
Ἣν οὐχ ὑπερβέβηκεν ὡς παντουργετης.
Εἰ γὰρ μονὰς πέφυκεν, ἀλλ' ὑπὲρ φύσιν·
Καὶ γὰρ τριὰς πέφυκεν, ἀλλ' ὑπὲρ φύσιν.
Ζωή τε καὶ νοῦς καὶ τρισόλβιον σθένος
Καὶ γνῶσις αὐτὴ καὶ παναλκὴς ἀξία,
Φῶς, κάλλος, αὐτὸ τἀγαθόν, δοξα, κράτος
Καὶ πᾶν ὅ τι φράζουσιν αὐτὸν οἱ λόγοι,
Πλὴν ἀλλ' ἀνεξάλλακτον, ὡς ἓν καὶ μόνον·
Παραλλαγῆς γὰρ οὐδαμοῦ δήπου τόπος
Ἐν τῷ τριφεγγεῖ τῆς ἐναρχίας κράτει.
Τριὰς μονάς, σῶσόν με, σοῦ μόνης λάτριν,
Ἧς τἄλλα πάντα δημιουργία μόνης,
Καὶ κτίσμα πᾶν ὂν τῆς ὑφειμένης ἕδρας.
Οὐχ ἧττονος γὰρ δυσσεβείας ἐστί που

Τοῦ κτίσμα φάσκειν τὴν ἀνωτάτω φύσιν
Τὸ τί φρονεῖν ἄκτιστον ἠλαττωμένον
Ἢ τὶ φρονεῖν ἔλαττον οὐκ ἐκτισμένον.
Αὕτη μὲν οὖν ἄῤῥηκτος ἡ πάντων βάσις
Καθ' ἣν τὸ θεῖον εὐσεβοῦμεν ἐμφρόνως
Τοὺς πατρικοὺς στέγοντες εὐπήκτους ὅρους.
Ἔχεις τὸ κοινὸν ἐξ ΑΚΙΝΔΥΝΟΥ δόγμα
Καὶ καινὸν οὐδὲν οὐδ' ὑπὲρ τὰ ⟨ἐ⟩σκαμμένα.
Ὅρα τὸ καινὸν τοῦ ΠΑΛΑΜΝΑΙΟΥ βόθρου
Καὶ κοινὸν οὐδὲν οὐδὲ τῶν ἐσκαμμένων·
Ἁπλῷ μὲν εἰπεῖν καὶ συνημμένῳ λόγῳ,
Τοὐναντίον πᾶν τοῖς λελεγμένοις λέγει,
Ἀντιστρατεύων τῷ καθεστῶτι κράτει
Κινῶν τε πάντα καὶ κυκῶν κἀναστρέφων,
Ἀφῆκεν οὐδὲν εὐσταθὲς τῶν δογμάτων.
Τὸ δὲ φρόνημα τοῦ πολυστρόφου πλάνου
Ἑλληνικὸν μάλιστα καὶ τούτου πέρα·
Μερίζεται γὰρ ἡ μονὰς μετρουμένη
Οὐχὶ προσώποις, ἀλλὰ βαθμοῖς πραγμάτων,
Καὶ τέμνεται δὴ τἀμερὲς πολυτρόπως
Οὐκ εἰς μέρη μόνον δέ, ἀλλὰ καὶ μέρη,
Ὡς ἐξ ἀπείρων συντεθειμένων ξένων.
Δημοκρίτου τὸ πλῆθος ἐνταῦθα βλέπω
Καὶ νεῖκος ἐξάγιστον Ἐμπεδοκλέους,
Πλάτωνος εἴδη καὶ θεοὺς τῆς Ἑλλάδος,
Ἄρειον ἀβρόν, τὴν Σαβελλίου πλάνην,
Ἅμφω Παλαμᾶν ἕν τι σύνθετον τέρας
Ἐξ ἀντιφώνων καὶ κακίστων δογμάτων,
Πῇ μὲν Θεοῦ τέμνοντα τὴν ἀπειρίαν
Εἰς οὐκ ἴσας πλάστιγγας, εἰς ἄκραν μάχην,
Πῇ δ' εἰς ἀνουσίωσιν, οὐδ' ὑποστάσεις
Ἄγοντα καὶ φέροντα τὰς ὑποστάσεις,
Αἷς πᾶν ὑπέστη δημιουργίας γένος.
Ἔπειτα τὴν ἄναρχον ἡγεῖται χάριν,

Ἣν εἶδεν οὐδεὶς οὐδ' ἰδεῖν ἔχει φύσιν,
Κἂν ἀγγέλου χάρισμα προσλάβῃ φύσιν,
Ὁρᾶν ἀληθῶς σαρκικαῖς ἀγναῖς κόραις,
Μασσαλιανοῖς ἐμμανῶς αὖ συντρέχων.
Εἰ δ' ἀγγέλων πέφευγεν αἰσθήσεις φύσις,
Πῶς οὐ πλάνης δείκνυσιν ἐσχάτης γέμων,
Ἄκτιστον ὃς φῶς φησὶν αἰσθήσει βλέπειν,
Τὸ δημιουργόν, τὰς ἀσωμάτους φύσεις,
Ὃ μὴ βλέπειν πέφυκεν ἀνθρώπων φύσις,
Εἰ μὴ θεατῇ τῇ βροτῶν αὖθις φύσει;
Καὶ δογματίζει τοῖς πολυστίχοις λόγοις
Καὶ δυσσεβεῖν κέκραγε τοὺς σεβασμίως
Ὡς εὐσεβῆ ταῦτ' ἐστὶν οὐ κεκραγότας.
Πῶς οὗτος εἶδεν, οὐ Θεοῦ δόξαν λέγω,
Ἀλλ' αὐτὸς αὐτοῦ τὴν ἀσώματον φύσιν;
Οὐδεὶς γὰρ οὐδεὶς οἶδεν ἀγγέλου φύσιν,
Οὐ ψυχικὴν ἔβλεψε γυμνὴν οὐσίαν,
Σαφῶς δεδορκὼς ταῖς βολαῖς τῶν ὀμμάτων,
Κἂν εἰς τὸ μεῖζον ἢ κατ' ἄνθρωπον φθάσῃ.
Καὶ γὰρ τυποῦται σχηματισμοῖς καὶ τάδε
Καὶ συμβόλων εἴωθε λαμβάνειν πλάσεις·
Ὅταν γὰρ ἡμῖν ἐμφανῶς ὦφθαι δέῃ,
Ἐπείπερ ἔσχεν οὐδὲ ταῦτα σχημάτων
Κατ' οὐσίαν ὕπαρξιν, οὐ γὰρ σωμάτων
Ὡς οὔ γε σῶμα τῇδε καὶ σχῆμα πρέπει.
Ἀλλ' οὗτος, ὡς ἔοικεν, ἄλλην οὐκ ἔγνω
Πλὴν ἣν βλέπειν δύναιτο σωμάτων φύσιν·
Ἀσώματον γὰρ οὐδαμῶς ἔστι βλέπειν,
Γυμνὸν καθ' αὑτὸ σαρκικῇ θεωρίᾳ·
Οὐκ ἤσθετ', οὐκ ἤκουσε τῶν θεοφρόνων
Ἀνδρῶν θεωρῶν ἁπλανῶν θεαμάτων,
Ἐρωτικῶν μὲν τῆς ἀμορφώτου θέας,
Προτρεπτικόν τε πρὸς τὸ μὴ κεχρωσμένον,
Τοὐναντίον δὲ τῆς τούτοις ἐναντίας

Ἀποτρεπόντων ἐκφανοῦς θεωρίας,
Κἂν Παῦλος ᾖδη, κἂν Ἰωάννης χάρις,
Κἂν Μωυσῆς ἄνωθεν ἐκκεκραγότες,
Ἢ μᾶλλον αὐτὸ κἂν τὸ τῶν ὅλων κράτος
Βοᾷ παρ' αὐτοῖς, ὡς ἰδεῖν οὐδεὶς ἔχει
Οὐκ εἶδος, οὐ πρόσωπον, οὐ μόρφωμά μου,
Οὐ ζήσεται γὰρ ὃς με τολμήσει βλέπειν,
Ἐπηρμένος πένητι νῷ τε καὶ τρόπῳ.
Ἀλλ' οὐ πρὸς ἡμᾶς ταῦτα φησὶ τοὺς πάνυ,
Τοὺς ἀγγέλων ὕπερθεν ἐξῃρημένους,
Τοὺς φῶς ἀκραιφνὲς καὶ θεοὺς οὐκ ἠργμένους,
Τοὺς πνεῦμα, τοὺς πῦρ, τοὺς ὑπὲρ πᾶσαν κτίσιν,
Τοὺς ἀμφιγράπτους, οὐδαμοῦ τοὺς ἀκλίτους,
Ὡς ἀκλίτως ἔχοντας, ἀλλὰ τῆς πλάνης,
Ἀλλὰ πρὸς ἡμᾶς τοὺς χαμερπεῖς ὡς κτίσιν,
Τοὺς ἀγγέλων μένοντας ὑστάτους κάτω,
Τοὺς λαμπρὸν οὐδὲν ἐκ Θεοῦ δεδεγμένους,
Τοὺς τοῖς πατρῴοις ἐμπεριγράπτους ὅροις.
Εἰ δ' οὐ προχωρεῖν ταῦτα κομπάζων ἔχει,
Χωρεῖ πρὸς ἄλλους δυσσεβεστέρους λόγους
Καὶ πάντα χωρῶν πλὴν ἀληθῶν δογμάτων
Τέμνει τὸ θεῖον εἰδοποιῶν ἐκτόπως,
Τὴν εἰδοποιόν, ἀλλ' ἀμόρφωτον φύσιν.
Τουτὶ μὲν εἶδος, τοῦτο δ' οὐσίαν λέγων,
Ζωὴν δὲ τοῦτο, τοῦτο δ' ἰσχὺν οὐσίας,
Καὶ γνῶσιν ἄλλο καὶ σοφὸν Θεοῦ κράτος
Καὶ πᾶσαν ἄλλην τοῦ Θεοῦ κλῆσιν φέρων,
Τίθησι θειότητας οὐκ ἴσων βάθρων,
Θεῶν ἀτεχνῶς ὄχλον, ὡς ἔφην ἄνω,
Μεθεκτόν, οὐ μεθεκτόν, ἔργον, ἐργάτην,
Θεατόν, οὐ θεατόν, εἶτα συνδρόμους,
Καὶ δημιουργούς, τῶν μὲν ἠλαττωμένων
Θεοῦ μεγίστου τὴν ὑπερτάτην φύσιν,
Τούτους δὲ τοῦ σύμπαντος ἐν μέρει κόσμου

Ἔργων ἔτ' ἔργα τοῦ Θεοῦ. Φεῦ τῆς πλάνης,
Εἰς οὕσπερ ἐξώκειλε κρημνοὺς καὶ βόθρους
Ἀνὴρ δοκῶν εἶναί τις, οὐ φαύλη φύσις,
Ἐπείπερ ἐξήνεγκεν αὐτὸν τοῦ μέτρου,
Μείζω φρονήσας ἢ καθ' αὑτὸν εἰδέναι
Καὶ μὴ μένων εὖρίζον ἐντὸς τῶν ὁρων,
Οἷς πάντας ἐγκλείουσιν αἱ θεῖαι φρένες.
Οὕτω φθορὰ νοῦ τὸ φρονεῖν ὑπὲρ μέτρον
Καὶ γνῶθι σαυτὸν οὐ λαλεῖν ἐγκαρδίως,
Ὅθεν προβαίνων εἰς κακῶν ἀπειρίαν
Ἄκτιστος εἶναι φησίν, ἀρχὴν οὐκ ἔχων,
Ὁ τῆς ὑπὲρ νοῦν ἴσμεν ἀξιας μόνης,
Αὐτὸς Παλαμᾶς ὁ βροτὸς, κἂν μὴ θέλῃ,
Ἁδρᾶς μετασχὼν τῆς ἀνουσίου πλάνης
Καὶ τῆς ταπεινῆς ἐσπακῶς ἄγαν Ῥέας·
Καὶ γὰρ καταῤῥεῖν τὰς ὑφειμένας λέγει
Ἐκ τῆς ῥεούσης οὐδαμῶς ἐξουσίας,
Ἃς οὐσιώδης τοῦ Θεοῦ μοίρας λέγει,
Ἐπείπερ οὐκ ἄποιον οὐσίαν ἄγει,
Οὐδ' αὖτ' ἐνεργῆ τὴν ὑπερτάτην φύσιν.
Ὁ δ' αὐτὸς αὐτὸν ἐκφανῶς οὕτω γράφων,
Ἄκτιστον ὡς δ' ἄναρχον ἀνθρώπου σπόρον,
Καὶ σπέρμα νυκτὸς καὶ φθορᾶς ἔργον φύσει
Καὶ βρῶσιν οἰκτρὰν τῶν ὀδόντων τοῦ χρόνου,
Εἰ κἀκ μέρους ἔσχηκε μὴ τεθνηκέναι
Κἂν ἐξαναστῇ καὶ τὸ νῦν διαῤῥέον,
Τῆς ἐσχάτης σάλπιγγος ἐκκαλουμένης.
Τοῦτον τίς εἰπὼν εὐσεβῆ φρένας φέρει;
Οὐκ ἔστι τοῦτο, πῶς γὰρ οὐκ ἔστιν; πόθεν;
Οὕτω κατῆλθεν εἰς τὸ πᾶν κακοῦ βάθος.
Εἶθ' ὁ φρονήσας οὐχ ἁμαρτεῖν καὶ φράσας
Θεὸν παρ' αὐτῷ προσκυνητὸν οὐκ ἔχει,
Ὡς ἂν τὸ βροντῆς ἐκραγὲν ῥῆμα φράσαι,
Καίτοι καταῤῥεῖν φησὶ τὰς ὑφειμένας

Ἀνδρῶν θεαυγῶν οἱ θεηγόροι λόγοι,
Ὡς καὶ μεθεκτὰς οὐ τὸν αὐτόν γε τρόπον,
Ὅνπερ μεθεκτὴν φασὶ τὴν πρώτην φύσιν,
Τὴν οὐ μεθεκτήν, τοὺς ὑφειμένους τρόπους.
Ἀλλ' οὖν γενητὰς φασὶ τῶν δώρων δοσεις,
Ἀλλ' οὐχὶ θειότητας ἀκτίστους. Πόθεν;
Οὐ γὰρ κινητὸν μὴ γενητὴ θειότης·
Ποῦ γὰρ κινηθῇ; ποῦ γὰρ οὐκ ἔστι; Φρᾶσον.
Οὐδ' εἰς ἴσην ἄνθρωπος ἀξίαν φθάνει
Τῷ δημιουργῷ καὶ παναιτίῳ κράτει,
Κἂν ἡ Παλαμᾶ δυσσεβεστάτη πλάνη
Μανεῖσα δεινῶς οὐδὲ τοῦθ' ὑπεστάλη,
Ἄκτιστον ἢ φῶς φησὶν οὐ βλέπειν μόνον,
Ἀλλ' αὐτὸν εἶναι καὶ Θεὸν παρὰ κτίσιν.
Εἰ δ' αὖ καταῤῥεῖν φασὶ καὶ χεῖσθαι κάτω
Θεοῦ λόγον πάνταρχον ἢ πνεῦμα κράτους,
Οὐ προσφυῶς λέγουσιν οὐδὲ κυρίως,
Ἀλλ' ὡς ἔθος ἔχουσιν, ἡμῖν πανσόφως
Ἐκ τῶν παρ' ἡμῖν καὶ γενητῶν πραγμάτων
Τῶν οὐ γενητῶν ἐξομιλοῦσι πέρι,
Ἐπείπερ οὐκ ἦν οὐδαμῶς ἄλλως λέγειν
Αὐτῆς ἐκείνης τῆς θεαρχίας πέρι.
Ὅλως γὰρ φασὶν αὐτὴν ἐξῃρημένην
Εἴδους, ἀφῆς, νοῦ, μυσταγωγοῦντος λόγου,
Τὸ γοῦν καθ' αὐτὴν οἱ σοφοὶ μυστοπόλοι,
Καίτοι παρεῖναι πανταχοῦ ταύτην λόγος
Οὐκ ἐκ μέρους δήπουθεν, ἀλλ' ὁλην ὅλοις.
Οὕτως ὑπερθαύμαστον ἡ θεία φύσις
Καὶ πάνθ' ὑπὲρ νοῦν καὶ λογισμὸν καὶ λόγον
Μᾶλλον σιωπῇ τοῦ λόγου τιμωμένη,
Εἰ δ' αὖ δοκεῖ νοεῖν τις, οὐ νοουμένη.
Γνῶσις γὰρ αὐτῆς ἐστιν ἀγνοίας βάθος,
Ἢν ἀκριβοῦν τις τὴν θεοπτίαν θέλῃ.
Οὐ γὰρ δίδωσιν οὐδαμῶς οὕτως ἴχνος

Ἐν τῷ νοεῖσθαι τῷ νοεῖν πειρωμένῳ.
Ὁ νῦν δὲ καινὸς καὶ κενὸς θεηγόρος
Ἐκ τῶν κατ' αὐτὴν φησὶν αὐτὴν εἰδέναι
Τῶν οὐσιωδῶν, ὡς ὑπερκόμπως λέγει,
Τὰ γὰρ κατ' αὐτήν, εἴ γε ταυτί μοι λέγῃς,
Τί ταῦτ' ἐρεῖς τε καὶ προσείποις, γεννάδα,
Ταύτας δ' ὑφεῖσθαι καὶ καταῤῥεῖν κυρίως
Καὶ πάντ' ἐνεργεῖν, ὡς μεθεκτὰς τοῖς κάτω
Ἔθηκε θειότητας ἐν πλήθει λέγων,
Ἴσας κατ' οὐδὲν τῇ παναιτίῳ φύσει,
Ἀπειράκις δ' ἄπειρον ἠλαττωμένας,
Τοῖς κτίσμασι δὲ συντεταγμένας κάτω.
Οὕτω γὰρ οὖν ὕπεστιν ἔργον ἐργάτῃ
Καὶ ῥεῖ παρ' ἡμᾶς οὐ ῥυτῆς ἐξουσίας.
Οὐ γὰρ παρεῖναι πανταχοῦ τὸν ἠρμένον,
Ὃς πάντα πληροῦν μαρτυρεῖ κατ' οὐσίαν,
Οὐδ' ἐγκατοικεῖν τοῖς θεουμένοις ὅλον
Θεὸν θεοῖς ἄκτιστον, ἀλλ' ἐκτισμένοις,
Ἀλλ' ἀντ' ἐκείνου τοὺς ὑφειμένους ὄχλους
Θεοῖς ἀνάρχοις ἔργα τοῦ πρωτεργάτου.
Οὕτω δὲ παμπόνηρόν ἐστιν ἡ πλάνη,
Ὡς ταῦτα κηρύττουσα λαμπρῶς ἐν λόγοις
Καὶ πᾶσιν ἐξάγιστος ἐκφωνουμένη
Δίκας τε δὴ τίσασα λαμπράς οἷς ἔδει,
Τομὴν ἀπ' αὐτῆς τῆς ἁγνῆς ἐκκλησίας,
Εἰς ἥνπερ ἠσέβησε δογμάτων ὕβρει,
Σπουδαστικῶς ἔσχηκε τοῦ λεληθέναι,
Ὑπουλον ὡς νόσημα καὶ χαμαιλέων.
Οὐκοῦν ὅταν μὲν τὰς ἁλωσίμους ἴδῃ,
Ἧττον καλύπτει τὴν πολύπλοκον πλάνην·
Ὅταν δὲ τοὺς εἴδησιν ἠκριβωμένους
Οὐδ' εὐαλώτους τοῖς προκειμένοις βρόχοις,
Μάλιστα κρύπτειν μηχανᾶται τὴν πλάνην,
Ἀρνούμενος μὲν τὰς προδήλους αἱρέσεις

Ὧν θ' οἱ λόγοι γέμουσιν αὐτῶν ῥημάτων,
Κύκλους δὲ πάντας καὶ περιδρόμους ὅλους
Στρέφων, ἐλαύνων πρὸς τὸν αὐτόν γε βρόχον.
Καὶ γὰρ τελευτᾷ πρὸς θεῶν δῆμον πάλιν
Καὶ πάντα τὰ πρίν, ὡς ἔφην, εἰρημένα.
Μᾶλλον δὲ τῷ πρὶν δυσσεβεῖ τῶν δογμάτων,
Ἀεὶ κακῷ πέφηνε χεῖρον συμπλέκων.
Ἅπαξ γὰρ εἴ τις ἐμπεσεῖταί που πλάνης,
Οὓς φαῦλος νοῦς ἔφυσεν ἐξ οἰδημάτων,
Ὥσπερ βαράθροις οὐκ ἐπισκοπουμένοις
Τῷ τῶν ἁπάντων ἀκριβῶς ἐπισκόπῳ,
Οὐκ ἔστιν αὐτῷ τἀσφαλοῦς ἧφθαι πάλιν.
Οὐκ οὐσίας γάρ, ἀλλ' ἐνεργείας λέγων
Τὸ πλῆθος αὐτοῦ τῶν ὑφειμένων θεῶν
Ἢ θειοτήτων· οὐ γὰρ ἧττον ἡ πλάνη·
Χάριν τε καὶ φῶς καὶ χαρισμάτων γένη,
Γνῶσιν Θεοῦ, μόρφωσιν, ἰσχύν, ὡς ἔφην,
Ἧττον νομίζει δυσσεβεῖν ὁ γεννάδας,
Πάλιν συνιστὰς πλῆθος, ὡς προύφην ἄνω,
Ἑλληνικῶν τοι δεισιδαιμονημάτων.
Δέον γὰρ εἰς ἓν τἀγαθὸν μόνον βλέπειν
Τριλαμπές, ἁπλοῦν, οὐ μεριστόν, οὐ μίγμα,
Οὐδὲ σταθμητόν, οὐ μετρητὸν βαθμίσιν,
Οὔτ' ἔνδον οὔτ' ἔξωθεν ἐξηρτημένον,
Ἀνωμάλων ἄθροισμα τμημάτων πέριξ,
Οὐ θειοτήτων, οὐ θεῶν, οὐ συνδρόμων,
Οὐκ οὐσιωδῶν, οὐκ ἀνουσίων ὄχλον,
Οὐδ' ὠντινωνοῦν, ὡς ἅπαν εἰπεῖν ἔπος,
Ὥσπερ πεπαιδεύκασιν ἡμᾶς οἱ πάλαι
Ἄνδρες θεωροὶ τῶν ἀληθῶν δογμάτων,
Ὁ δ' εἰς ἐναντίωσιν ἐξηνεγμένος
Τούτων ὁρᾶται καὶ σαφεστάτην μάχην,
Μερισμὸν εἰς ἄτμητον εἰσάγων φύσιν
Καὶ συντιθεὶς πρόδηλα τὴν ἁπλουστάτην

Ἢ κτισμάτων ἔξωθεν ἀντιλημμένος
Ἢ μᾶλλον ἄμφω ῥᾳδιουργῶν εἰσάπαξ,
Τὸ πλῆθος εἰσήνεγκε τῶν σεβασμάτων,
Ὑψιστικῶς Ἕλληνας ἐξαίρων πάλιν,
Ἄνω τὰ τῇδε καὶ τὸ πᾶν ὕψος κάτω,
Ἄκτιστα ταῦτα, καὶ τὸ μὴ κτίσμα κτίσμα.
Καὶ δυσσεβεῖ πᾶς, φησίν, ὃς ταῦτ᾽ οὐ σέβει,
Οὐ δυσσεβεῖν μόνῳ δὲ τῷ λόγῳ λέγων
Ἀρκεῖν νομίζει πρὸς τὸ τῆς μάχης κράτος·
Ἀλλ᾽ ὥσπερ ὅπλοις καὶ ξιφῶν ἀκμαῖς ὅλαις
Δέον τελεῖσθαι τὰς ὑπὲρ τούτων κρίσεις.
Ὀκνῶ δ᾽ ἀριθμεῖν τὰς ἀμυθήτους ὕβρεις.
Οὕτω συνεκρότησε δεινῶς τὴν μάχην
Πρὸς τοὺς ἀπειθεῖς τοῖς θεοῖς τῆς Ἑλλάδος.
Οὕτως ἄναρχός ἐστι καὶ πάντων ἄνω
Καὶ τὴν ἀνεικόνιστον ἀξίαν βλέπει
Αὐταῖς ἀληθῶς ταῖς ἀφαῖς τῶν ὀμμάτων.
Ὅθεν τὸν ὄχλον εἶδε τῶν σεβασμάτων
Ἐν τῇ ταπεινῇ τῶν ὑφειμένων βάσει.
Ὧν εἰς τὸ πλῆθος, ὡς δοκεῖ, βλέψας ὅδε,
Ἑνὸς κατεφρόνησε τοῦ πάντων κράτους.
Ἀλλ᾽ οὐ γὰρ αὐτὸν ὠφελήσει τὸ στέφος,
Ὅταν περ οἰκτρῶς ἐκ μιᾶς θεαρχίας
Τρισὶ μοναπλῶς συγκαταθλᾶται λίθοις,
Πρὸς κέντρα δὲ γνῷ τραυματουργὰ λακτίσας
Καὶ κτιστὸν οὐκ ἄκτιστον αὐτὸν μανθάνῃ,
Λαμπρὰν καθ᾽ αὑτοῦ ψῆφον αὐτὸς ἐκφέρων,
Εἰς τὴν ἁπάντων ἐξα[ρ]νηζρ)μένην φύσιν,
Ἧς πάντα δοῦλα, καὶ τὰ κρείττω βλεμμάτων,
Καὶ νοῦ πρὸς ἀκρίβειαν ἐπτερωμένου,
Ἀφεὶς κάτω πέπτωκεν ἐκ φαντασμάτων,
Εἰς νοῦ ματαιότητας, εἰς ἔργων σέβας,
Ἢ μᾶλλον εἰπεῖν εἰς ἀνουσίων σέβας,
Τουτέστιν ἁπλῶς οὐδαμῶς Θεοῦ σέβας.

Οὐδὲν γάρ, οὐδὲν τῶν ἀνουσίων σέβας,
Ὅπουπερ οὐδὲ τῶν ὑφειμένων ὅλως
Τῆς παντανάσσης καὶ τριπλῆς ἐναρχίας
Τελοῦμεν οὐδὲν δουλικόν τινι τρόπον,
Πλήν γ' ὡς ἐλάττους τὰς ὑπερτέρας φύσεις
Ἡ τάξεις, ἃς ἔδωκεν ἀνδράσιν πόνος,
Καὶ τῶν ἐς ἡμᾶς σωστικῶν συνεργάτας
Τιμῶμεν ὡς ἔνθεσμον ἐν συμμετρίαις,
Ἀλλ' οὐκ ἀνάρχους ὡς θεούς καὶ δεσπότας.
Ὦ πῶς τοσαύτην εἰσιὼν τόλμαν μόνος
Ἧκιστα νοῦν εἴληφας ἃ πράττειν θέλεις;
Κατὰ θρόνου σὺ τοῦ θεοδμήτου στόμα,
Ἐφ' οὗπερ αὐτὸς ἐγκαθήμενος θρόνου,
Κρινεῖν ἀπειλεῖ τοὺς βεβλασφημηκότας,
Πασῶν ἀπαιτῶν τὴν ὑπερτάτην δίκην,
Σὺ τοὺς ὅρους, ἄνθρωπε, τοὺς αἰωνίους
Κινεῖν ἐπήρθης, οὓς Θεὸς πήξας ἔχει;
Σὺ τοῦ θεμέθλου τὴν βαθύρριζον πέτραν
Ὡς ἐκμοχλεύσων συγκινεῖς πάντας λίθους;
Σὺ τοῦ φυτουργοῦ τὸν φραγμὸν τῆς ἀμπέλου,
Τίνος φυτουργοῦ καὶ τίνος τῆς ἀμπέλου
Τίνα φραγμὸν δὲ καὶ τίς αὐτὸς ὢν φράσον,
Ἀνεπτερώθης ὡς διασπάσων ὅλως;
Ὀκνηρὸν οὐδὲν ἐμποδὼν πρὸς τὸ θράσος.
Εἰ καὶ γὰρ ἡμεῖς ἐκ γένους κτηνοτρόφου
Καὶ χωρικῶς ἔχοντος, ὡς κτηνοτρόφου,
Ὡς λοιδορῶν σὺ καὶ καθυβρίζων λέγεις
Ἡμῶν ὁ λαμπρὸς τὰς ἀφορμὰς τοῦ γένους,
Ὦι καὶ τὸν εἰς Αἴγυπτον ἐκ Παλαιστίνης
Ἐλθόντα τιμῶν εὐπρεπῶς κτηνοτρόφον,
Οὐκ ἀλλὰ καὶ πρὶν Ἀβραὰμ καὶ τὸν γόνον.
Ἀλλ' οὐδὲ Μωσῆς εὐκλεὴς κτήνη τρέφων,
Βόσκων, ἀμέλγων, ἐξάγων, καθειργνύων,
Καὶ πάνθ' ὁ ποιμὴν ἐκτελῶν τοῖς θρέμμασι

Δαυίδ, Ἀμώς τε σοὶ βδελυκτοὶ ποιμένες,
Ὡς οὐδὲ τοῖς Αἴγυπτον οἰκοῦσι πάλαι,
Οἱ ζῶντες ὡς ἦν χωρικῶς ἐκ θρεμμάτων.
Ταῦθ' ἡσυχαστὴς καὶ παθῶν αὐτοκράτωρ,
Ὁ τῶν μεγίστων τοῦ Θεοῦ χαρισμάτων.
Τί ταῦτα φάσκων ἀγνοεῖν ἔοικά σε,
Ὁ τὴν ὑπὲρ νοῦν ἐμφανῶς δοξαν βλέπων;
Τί δρῶ δὲ καὶ νῦν, ἀλλὰ μὴ λέγω τὸ πᾶν,
Ὡς ἂν φθονῶν σοι τοῦ Θεοῦ τῆς ἀξίας;
Ὁ μὴ γενητός, ὁ σπαρεὶς ὑπὲρ φύσιν,
Ἐξ οὗ φυγὼν γέννησιν εὑρέθης μόνος,
Ἢ μηδ' ὀπωσοῦν ἐκ σποράς ὁλως ἔφυς;
Ἢ πωσποτοῦν ἄκτιστος εὑρέθης μόνος;
Τοῦ γὰρ γενέσθαι μηδαμῶς) φάσις τόδε.
Πλὴν οὐδὲ τῶν σῶν εὐγενῶν οἶμαι σπόρων
Ἢ μηδὲ τῆς σῆς δυστυχοῦς ἀκτισίας
Κινεῖν, διασπᾶν, εὐχερῶς ἀνατρέπειν
Τὸν θριγγόν, ὃν χεὶρ ἡ παναλκὴς ἐν κύκλῳ
Ἔστησεν ἐξείργουσα θηρίων βλάβας
Ἐκ τῶν ἐκλεκτῶν τοῦ Θεοῦ φυτευμάτων.
Ὃς ἃ προσάπτεις τῇ Θεοῦ φύσει μονος,
Καὶ πάντας ἁπλῶς τοῦ Θεοῦ κινεῖς νόμους,
Ἐβουλομην μὲν ἐμβαλεῖν εἰς εὐθύνας,
Ὡς ἄν με μηδεὶς τῶν κακῶν φύγῃ τόκων.
Ἀλλ' οὐ γὰρ εὐχέρεια τοῦ πάντα γράφειν.
Καὶ γὰρ τὸ δεινὸν εἰς ἀπειρίαν τρέχει.
Φύσις γὰρ αὕτη τῷ κακῷ πάντως ἔφυ,
Ὅτι μὴ φύσις πάρεστιν οὐσίας ἴχνος
Συνεκτικόν γε τῆς κακῆς ἀπειρίας
Καὶ τμητικῆς μάλιστα τῶν ἡνωμένων.
Πρὸς ἓν τὸ τριττὸν τῆς θεαρχίας κράτος,
Εἰ γὰρ συνῆκτο, κἂν τέτακτο πρὸς λόγον,
Τεταγμένον δὲ πᾶν πεφυκὸς τυγχάνει.
Οὐκ ἔστι δ' οὐδὲν οὐ καλὸν φύσιν φέρον,

Ἄλλως τε καὶ πέφυκεν ἡ συνουσία
Ἰσχύς τις εἶναι τῶν ὅλων συνημμένων·
Ἀλλ' ἀδρανὲς πέφυκεν ἡ πονηρία,
Ἐπείπερ ἐστὶν οὐδαμῶς ἡνωμένον.
Οὕτω γὰρ οὕτως ἐστὶν ἐστερημένον
Τῆς τοῦ καλοῦ τε κἀγαθοῦ μετουσίας.
Ἰσχὺς γὰρ εἴ τις τῷ κακῷ προσῆν ὅλως,
Αὐτ⟨ῷ⟩ πρὸ παντὸς ἂν βοηθὸν εὑρέθη.
Καὶ ταῦτα μὲν δὴ τῶν ἀναγκαίων πέρα.
Σὺ δ' ἐξελοῦ με τῆς Παλαμναίας πλάνης,
Κἀκεῖνον αὐτοῦ τῆς μεθ' αὐτοῦ, Χριστέ μου,
Τριὰς μονὰς πρόσου με σοῦ μόνης λάτρ⟨ι⟩ν,
Ἥτι πᾶσα προσκύνησις ἐκ πάντων μόνῃ
Καὶ δόξα καὶ λάτρευσις εἰς ἅπαν πρέπει.

(Allatius, Graeciae Orthodoxae t. I, pp. 756—769; Migne, Patr. gr. t. 150, coll. 843—862).

№ 49.

Ὅσα νοσοῦσιν οἱ κατὰ Βαρλαὰμ καὶ Ἀκίνδυνον:

Ὁ Βαρλαὰμ ἑλληνικοῖς προσκείμενος δόγμασι ἐνόμιζε μηδὲν ἄλλο φῶς εἶναι θεῖον, εἰ μὴ τὴν γνῶσιν καὶ τὴν ματαίαν φιλοσοφίαν τῶν ἑλληνικῶν μαθημάτων· διὸ οὐδὲ ἐπίστευε φῶς εἶναι θεῖον καὶ ἔλ⟨λ⟩αμψιν ἀίδιον, μόνοις μεθεκτὴν καὶ θεωρητὴν τοῖς διὰ τῶν ἐντολῶν τοῦ Θεοῦ κεκαθαρμένοις τὰς καρδίας. ἀκούσας οὖν παρὰ τῶν μοναχῶν περὶ τοῦ θείου φωτισμοῦ καὶ περὶ θεοφανειῶν ἄλλων τε πολλῶν καὶ μάλιστα περὶ τῆς γενομένης ἐλ⟨λ⟩άμψεως ἐπὶ τοῦ ὄρους Θαβώρ, κατὰ γὰρ τὴν θείαν ἐκείνην τοῦ Κυρίου μεταμόρφωσιν ἀκούσας ὅτι ἔλεγον θεῖον καὶ ἀίδιον τὸ φῶς ἐκεῖνο, καθ' ὃ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς, ἀπελθὼν πρὸς ἀνατροπὴν τῶν μοναχῶν ἔγραψε λόγους κατὰ τοῦ τοιούτου θείου φωτός, θέλων δεῖξαι αὐτὸ ὑλικὸν καὶ φθαρτὸν καὶ αἰσθητὸν καὶ κτιστόν, λέγων ὅτι οὐκ ἦν ἐκεῖνο τὸ φῶς ἀεί, ἀλλὰ τότε ἐγένετο, ἵνα ἴδωσιν οἱ μαθηταὶ ἰδιῶται ὄντες καὶ θαυμάσωσι, καὶ πάλιν διελύθη καὶ ἐφθάρη καὶ ἐχώρησεν εἰς τὸ μὴ ὄν. τούτους τοὺς λόγους ἰδόντες οἱ μοναχοὶ ἠξίωσαν τὸν Παλαμᾶν ἵνα ὁμιλήσῃ αὐτῷ καὶ συμβουλεύσῃ καὶ ἀποστήσῃ αὐτὸν ἀπὸ τοῦ τοιαῦτα λέγειν καὶ γράφειν, ἵνα μὴ βλασφημῇ μὲν

εἰς τὸ τοιοῦτον θεῖον φῶς, ὑβρίζῃ δὲ τοὺς ἁγίους τοὺς ὑμνοῦντας αὐτό. ἔγραφε γὰρ ὁ Βαρλαὰμ ἐν τοῖς λόγοις αὐτοῦ ὅτι πᾶς, ὅστις δοξάζει περὶ τοῦ φωτὸς ἐκείνου ἄλλο τι παρ'ὸ γράφει αὐτός, αἱρετικός ἐστιν καὶ δυσσεβὴς καὶ ἄθεος. εἶδε τοῦτον καὶ ὠμίλισεν πολλάκις ὁ Παλαμᾶς καὶ παρεκάλεσε καὶ ἤλεγξε καὶ ἀνέτρεψεν ἀπὸ στόματος, οὐκ ἠδυνήθη δὲ πεῖσαι οὐδ' ὅλως, ἀλλ' ἔτι πλέον ἐκινεῖτο πρὸς τὴν τοιαύτην βλασφημίαν καὶ τὰς κατὰ τῶν ἁγίων ὕβρ<ε>ις. ἀναγκασθεὶς λοιπὸν ἀντέγραψεν ὁ Παλαμᾶς, συναγαγὼν ἐκ τῶν ἁγίων ὅσα γράφουσιν περὶ τοῦ θείου φωτὸς τῆς μεταμορφώσεως, καὶ ἔδειξεν αὐτὸ ἐκ τῶν λόγων τῶν ἁγίων θεῖον καὶ ἀπρόσιτον, ἄχρονον, ἄκτιστον καὶ ἀίδιον ἔλλαμψιν καὶ χάριν καὶ λαμπρότητα Θεοῦ καὶ θεότητα παρὰ τῶν ἁγίων καλούμενον, καθὼς λέγει καὶ ὁ μέγος Γρηγόριος ὁ θεολόγος, ὅτι φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς μικροῦ στερροτέρα καὶ ὄψεως. ταῦτα ἰδὼν ὁ Βαρλαὰμ ἀντέγραψεν ὅτι, εἴπερ ἦν τοιοῦτον τὸ φῶς ἐκεῖνο, ἡ οὐσία τοῦ Θεοῦ λοιπὸν ἦν, καὶ ποιεῖτε [1]) λοιπὸν τὴν οὐσίαν τοῦ Θεοῦ μεθεκτὴν καὶ ὁρατήν· τοῦτο δὲ ἓνι βλάσφημον καὶ ἀσεβές καὶ δόγμα τῶν Μα<σ>σαλιανῶν. ἀντέγραψεν πρὸς ταῦτα ὁ Παλαμᾶς ὅτι θεῖον μέν ἐστι καὶ ἄκτιστον τὸ φῶς ἐκεῖνο καὶ θεότης παρὰ τῶν ἁγίων ὀνομάζεται, οὐκ ἔστι δὲ οὐσία τοῦ Θεοῦ, ἀλλ' ἐνέργεια καὶ χάρις καὶ δόξα καὶ λαμπρότης ἐκ τῆς θείας οὐσίας εἰς τοὺς ἁγίους πεμπομένη· οἱ γὰρ ἅγιοι πάντες καὶ ἄγγελοι καὶ ἄνθρωποι δόξαν μὲν ἄχρονον ὁρῶσι τοῦ Θεοῦ καὶ χάριν ἀίδιον δέχονται καὶ δωρεάν, οὐσίαν δὲ Θεοῦ οὐδείς ποτε οὔτε ἄνθρωπος οὔτε ἄγγελος εἶδεν οὐδὲ ἰδεῖν δύναται. ταῦτα ἀκούσας ὁ Βαρλαὰμ ἀντέγραψεν ὅτι ἐπειδὴ λέγεται ὡς ἡ μὲν οὐσία τοῦ Θεοῦ ἐστιν ἀμέθεκτος καὶ ἀόρατος, ἡ δὲ ἐνέργεια αὐτοῦ καὶ ἡ χάρις μεθεκτὴ καὶ χορηγουμένη πρὸς τοὺς ἁγίους, λοιπὸν δύο θεοὺς λέγετε, ὑπερκείμενον καὶ ὑφειμένον, ὑπερκείμενον μὲν τὴν οὐσίαν, ἥτις ἐστὶν ἀόρατος, ὑφειμένον δὲ τὴν ἐνέργειαν καὶ τὴν χάριν, ἥντινα δέχονται οἱ ἅγιοι παρὰ τοῦ Θεοῦ· καὶ οὕτως ἔπλασε τὸ ἔγκλημα τῆς διθείας καὶ ἐγέμισε τοῦτο τὰς τῶν πολλῶν ἀκοάς. ἐγραψεν οὖν πρὸς ταῦτα ὁ Παλαμᾶς, ὅτι ἀμέθεκτος μέν ἐστιν ἡ οὐσία τοῦ Θεοῦ πάσῃ τῇ κτίσ<ει> καὶ αὐτοῖς τοῖς ἀγγέλοις, μεθεκτὴ δὲ ἡ ἐνέργεια καὶ ἡ χάρις αὐτοῦ ἡ θεοποιός, ἧς μετέχουσι καὶ οἱ ἄγγελοι καὶ οἱ ἄνθρωποι [2]), μετεχομένη δὲ ὑπὸ τούτων ἀχώριστός ἐστι πάλιν τῆς θείας οὐσίας καὶ ἀδιαίρετος. διὰ τοῦτο οὐκ εἰσι δύο θεοὶ ἢ δύο θεότητες. ὥσπερ γὰρ ἐπὶ τοῦ αἰσθητοῦ ἡλίου ὁ μὲν δίσκος αὐτοῦ ἄψαυστός ἐστι παντελῶς καθ' ἑαυτὸν καὶ ἀχώρητος τοῖς ὀφθαλμοῖς· ἂν γάρ τις ἐπλησίασεν αὐτῷ, ἔμελλεν ἀφαι-

[1]) Въ рукописи: ποιεῖτε еп. Порфиріемъ измѣнено въ ποιεῖται — Ред.

[2]) Тамъ же: ἄγγελοι, измѣненное еп. Порфиріемъ въ ἄνθρωποι. — Ред.

ρεθῆναί τε τὴν ὁρατικὴν αὐτοῦ δύναμιν ὑπὸ τοῦ ἀπείρου φωτὸς καὶ παντελῶς κατακαυθῆναι· αἱ δὲ ἀκτῖνες αὐτοῦ πρὸς ἡμᾶς ἔρχονται καὶ καταλάμπουσι πάντα τὰ ἐν κόσμῳ, λέγομεν δὲ ἡμεῖς ἥλιον καὶ τὸν δίσκον ἐκεῖνον καὶ τὰς ἐκείνου ἀκτῖνας [1])· οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ, ὃς ἐστι νοητὸς ἥλιος, κἂν λέγωμεν ἀμέθεκτον τὴν οὐσίαν αὐτοῦ καὶ ἀθέατον, μεθεκτὴν δὲ τὴν ἐνέργειαν αὐτοῦ καὶ τὴν χάριν, ἣν δέχονται πάντες οἱ ἅγιοι, ἀλλὰ εἷς ἐστι Θεὸς ὁ καὶ τὴν οὐσίαν ἔχων καὶ τὴν ἐνέργειαν. καὶ ὥσπερ ἐάν τις εἴπῃ ὅτι πολλοί εἰσιν ἥλιοι, πάντως οὐκ ἀληθῶς μέλλει λέγειν, οὕτω καὶ ἐάν τις εἴπῃ ὅτι πολλοί εἰσιν θεοὶ διὰ τὰς ἐνεργείας καὶ χάριτας τοῦ Θεοῦ, μέλλει καὶ αὐτὸς ὁμοίως εἶναι ἄδεκτος. ὥσπερ γὰρ λέγομεν, καθὼς διδάσκει ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία, ὅτι ἔχει ὁ Πατὴρ Υἱόν, ἔχει καὶ Πνεῦμα ἅγιον, καὶ λέγομεν Θεὸν καὶ τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐ λέγομεν ὅτι τρεῖς εἰσι θεοί, ἀλλ' εἷς Θεὸς τὰ τρία· οὕτως ὁμοίως κἂν λέγωμεν ὅτι ἔχει ἡ οὐσία τοῦ Θεοῦ φυσικὰς ἐνεργείας καὶ χάριτας καὶ καλεῖται θεότης καὶ ἡ οὐσία, καλεῖται δὲ καὶ ἡ θεοποιὸς ἐνέργεια καὶ χάρις αὐτῆς, ἀλλὰ μία ἐστὶ θεότης μετὰ τῆς ἐνεργείας ἀχώριστος οὖσα ταύτης καὶ ἀδιαίρετος. οὐ γὰρ χωρίζεται ἡ ἐνέργεια ἐκ τῆς οὐσίας, ὡς οὐδὲ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς ἢ τὸ Πνεῦμα τὸ ἅγιον, ἢ καὶ ἐκ τῶν αἰσθητῶν εἰπεῖν παραδείγματα, ὡς οὐδὲ ἡ ἀκτὶς ἀπὸ τοῦ ἡλίου ἢ ἡ θέρμη ἀπὸ τοῦ πυρός. καὶ ὃν τρόπον λέγομεν ὅτι ἡ οὐσία τοῦ ἡλίου ἤγουν ὁ δίσκος αὐτοῦ ὑπερέχει καὶ ὑπέρκειται ὡς ἀμέθεκτος τῶν ἀκτίνων καὶ τῆς ἐλλάμψεως τῆς πεμπομένης εἰς τοὺς ἡμετέρους ὀφθαλμούς· ἐκεῖνος γάρ ἐστιν ἡ πηγὴ καὶ ἡ ἀρχὴ καὶ ἡ ῥίζα καὶ ὁ χορηγὸς τῆς ἐλλάμψεως· οὕτω λέγομεν, καθὼς διδάσκουσιν οἱ ἅγιοι, ὅτι καὶ ἡ θεία οὐσία ὡς ἀμέθεκτος καὶ ἀόρατος ὑπέρκειται τῶν ἐξ αὐτῆς πεμπομένων ἐλλάμψεων καὶ ἐνεργειῶν καὶ χαρισμάτων, ἃ χορηγεῖ καὶ δωρεῖται τοῖς ἁγίοις ἡ ἁγία Τριάς, ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον· αἱ γὰρ θεῖαι ἐνέργειαι πᾶσαι καὶ δωρεαὶ κοιναί εἰσι τῶν τριῶν προσκυνητῶν ὑποστάσεων. καὶ ὃν τρόπον λέγει ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις ὅτι ὁ Πατήρ μου μείζων μού ἐστι, καὶ λέγει τοῦτο κατὰ τὸ ἀνθρώπινον, λέγει δὲ μάλιστα κατὰ τὸ αἴτιον, ὡς διδάσκουσιν οἱ ἅγιοι· αἴτιος γάρ ἐστιν ὁ Πατὴρ τοῦ Υἱοῦ, οὐχ ὁ Υἱὸς τοῦ Πατρός· οὕτω καὶ ἐπὶ τῆς θείας οὐσίας καὶ τῶν θείων δωρεῶν, φασὶν οἱ θεολόγοι, ὑπέρκειται ἡ θεία οὐσία τῶν παρ' αὐτῆς χορηγουμένων ἐνεργειῶν καὶ δωρεῶν, ὡς αἰτία τούτων καὶ πηγή· ἐκείνη γάρ ἐστιν αἰτία, καὶ αὗται ἐξ ἐκείνης, διότι ἐκείνη χορηγεῖ καὶ δίδωσι ταύτας [2]), οὐκ αὗται ἐκείνην.

[1]) Въ рукописи послѣднія пятнадцать словъ еп. Порфиріемъ зачеркнуты. — Ред.

[2]) Въ рукописи: ταῦταις, которое измѣнено еп. Порфиріемъ въ ταῦτας. — Ред.

ταῦτα τοίνυν, ὡς διεξῆλθον, ὅ τε Βαρλαὰμ φρονεῖ [1]) καὶ ὁ Ἀκίνδυνος, ἤγουν ὅτι κτιστὸν τὸ ἐν τῷ Θαβωρίῳ λάμψαν ἐπὶ τῆς θείας μεταμορφώσεως φῶς, ὅτι πᾶσαι αἱ θεῖαι ἐνέργειαι καὶ ἐλλάμψεις καὶ τὰ χαρίσματα τοῦ Πνεύματος πάντα κτιστά· μόνην δὲ τὴν οὐσίαν τοῦ Θεοῦ λέγουσιν ἄκτιστον, ὅπερ καὶ τοῦτο ἀδύνατον. ὥσπερ γὰρ ἐάν τις εἴπῃ ὅτι αἱ ἀκτῖνες τοῦ ἡλίου σκοτειναί εἰσιν, ἐξ ἀνάγκης ὁ τοιοῦτος καὶ τὸν πέμποντα αὐτὰς ἡλιακὸν δίσκον ποιεῖ σκοτεινόν· οἷος γὰρ ὁ δίσκος, τοιαῦται καὶ αἱ ἀκτῖνες· εἰ μὲν φωτεινός, φωτειναί, εἰ δὲ σκοτεινός, σκοτειναί· οὕτω καὶ ἐπὶ τῆς θείας οὐσίας νόμιζε καὶ τῶν θείων ἐνεργειῶν· ὁποίας ἂν εἴπῃ τις τὰς ἐνεργείας, τοιαύτην ποιεῖ καὶ τὴν οὐσίαν· εἰ μὲν ἄκτιστοι αἱ ἐνέργειαι, ἄκτιστος καὶ ἡ οὐσία, εἰ δὲ κτισταί, καὶ ἡ οὐσία κτιστή· ἀχώριστοι γάρ εἰσιν αἱ ἐνέργειαι τῆς οὐσίας. καὶ ὥσπερ ἐπὶ τοῦ ἡλίου ἂν εἴπῃ τις ὅτι τὰς μὲν ἀκτῖνας λέγω σκοτεινάς, τὴν δὲ οὐσίαν καὶ τὸν δίσκον τοῦ ἡλίου φωτεινόν, οὐκ ὀρθῶς ἂν εἴπῃ· πρὸς γὰρ τὸν δίσκον εἰσὶ καὶ αἱ ἀκτῖνες· οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ· ὁ λέγων ὅτι τὰς ἐνεργείας λέγω κτιστάς, τὴν δὲ οὐσίαν ἄκτιστον, οὐκ οἶδε τί λέγει· ὁποῖαι γὰρ ἂν ὦσιν αἱ ἐνέργειαι, τοιαύτη ἐστὶν ἡ ταύτας πηγάζουσα οὐσία· εἰ μὲν ἄκτισταί, ἄκτιστος, εἰ δὲ κτισταί, κτιστή. ὥσπερ γὰρ καὶ ἐπὶ τῆς πηγῆς· ὁποῖά ποτέ ἐστιν ἐκείνη, τοιοῦτον καὶ τὸ ἐξ αὐτῆς πηγαζόμενόν ἐστιν ὕδωρ· εἰ μὲν γλυκεῖα, γλυκύ, εἰ δὲ πικρά, πικρόν· ὁμοίως καὶ ἐπὶ τοῦ πυρός· ἐάν τις εἴπῃ ὅτι τὸ μὲν πῦρ ἐστι θερμόν, ἡ δὲ ἐξ αὐτοῦ πεμπομένη φυσικῶς ἐνέργεια ψυχρά, ψεύδεται φανερῶς· θερμὴ γὰρ οὐσία οὐ δύναται προβάλλειν ψυχρὰν ἐνέργειαν, οὐδὲ πάλιν ψυχρὰ οὐσία θερμὴν ἐνέργειαν· οὐ γὰρ θερμαίνει τὸ ὕδωρ οὐδὲ ψύχει τό πῦρ, ἀλλ' ἕκαστον προσήκουσαν ἔχει καὶ κατάλληλον τῇ οὐσίᾳ τὴν ἐνέργειαν· οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ· ὁμοία ἐστι καὶ κατάλληλος τῇ οὐσίᾳ ἡ ἐνέργεια· ἀκτίστου οὔσης τῆς οὐσίας ἄκτιστος καὶ ἡ ἐνέργεια· ὁ δὲ λέγων τὴν ἐνέργειαν κτιστὴν ἐξ ἀνάγκης ποεῖ καὶ τὴν οὐσίαν κτιστήν. ὅπερ, ὡς ἔφην, ὁ Βαρλαὰμ φρονεῖ καὶ ὁ Ἀκίνδυνος· μὴ γὰρ δέξηταί τις ὅλως παρά τινος, ὅτι ἔχει τινὰ παραλλαγὴν ἐν τοῖς δόγμασιν πρὸς τὸν Βαρλαὰμ ὁ Ἀκίνδυνος. ἀλλ' ἐπειδὴ καταδικασθεὶς ὁ Βαρλαὰμ ἠνέγκατο κακὴν φήμην, διὰ τοῦτο ἀρνεῖται ὁ Ἀκίνδυνος διὰ λόγου τὴν πρὸς ἐκεῖνον ὁμοδοξίαν, φοβούμενος μὴ φονευθῇ παρὰ τοῦ λαοῦ ὡς τὰ ἐκείνου ἐπεκδικῶν, διὰ τοῦτο πολλάκις καὶ ἀναθέματι καθυποβάλλει ἐκεῖνον, ὡς ἀναίτιος· αὐτὸς ὢν ἐκεῖνος κατὰ τοῦτο· καὶ τοιαύτην ἔχει τὴν συνείδησιν ἐκ τῆς τοιαύτης αἰτίας· ἢ ὡς διὰ τὸ βούλεσθαι λανθάνειν, καὶ εἰς ἄλλην χείρονα παρὰ τὴν τοῦ Βαρλαὰμ ἐνέπεσε δυσσέβειαν ὁ Ἀκίνδυνος· φρονεῖ μὲν γὰρ καὶ αὐτὸς τὴν θεοποιὸν χάριν

[1]) Тамъ же φρονοῦσι, которое еп. Порфирій исправилъ въ φρονεῖ.—Ред.

κτιστὴν ὁμοίως ἐκείνῳ· ἐλεγχόμενος γὰρ ὑπὸ τῶν ἁγίων ἅμα καὶ φοβούμενος μὴ τὰ αὐτὰ πάθῃ τῷ Βαρλαάμ, λέγει μὲν ἄκτιστον τὴν χάριν, λέγει δὲ ταύτην οὐσίαν εἶναι τοῦ Θεοῦ καὶ μεθεκτὴν ταύτην πᾶσι ποιεῖ τοῖς κτίσμασι λογικοῖς τε καὶ ἀλόγοις, ἐμψύχοις τε καὶ ἀψύχοις, ὅπερ πάσης ἀσεβείας ἐστὶ ἐπέκεινα. ταῦτα ὡς ἐν συντόμῳ εἰπεῖν τὰ τοῦ Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου εἰσὶν ἀσεβήματα:

αἱ μαρτυρίαι:

Ὅτι θεότης λέγεται τὸ περιλάμψαν φῶς τοῖς μαθηταῖς κατὰ τὴν τοῦ Κυρίου μεταμόρφωσιν:

τοῦ Θεολόγου: Φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς μικροῦ στερροτέρα καὶ ὄψεως:

τοῦ αὐτοῦ: Ἦξει πάλιν ὁ Χριστὸς μετὰ σώματος ὡς ὁ ἐμὸς λόγος· τοιοῦτος δὲ οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει ἢ παρεδείχθη ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος:

τοῦ Δαμασκηνοῦ: Παρῆλθε μὲν ἡ σκιὰ τοῦ νόμου ὑποχωρήσαντος, ἐλήλυθε δὲ σαφῶς Χριστὸς ἡ ἀλήθεια· Μωσῆς ἀνεβόησεν ἐν τῷ Θαβωρίῳ κατιδών σου τὴν θεότητα:

Τὸ ἄσχετον τῆς σῆς φωτοχυσίας καὶ ἀπρόσιτον τῆς θεότητος θεασάμενοι τῶν ἀποστόλων οἱ πρόκριτοι:

Τῆς θεότητός σου Σωτὴρ ἀμυδρὰν αὐγήν:

Ἐκ σαρκός σου βολίδες θεότητος ἐξεπορεύοντο προφητῶν:

τοῦ Μεταφραστοῦ ἐκ τοῦ εἰς τὸν Θεολόγον: Πρὸς τὸ ὄρος ἀνιόντι τῷ Ἰησοῦ συνάνεισι καὶ θέας ἀξιοῦται ὡς ὑπὲρ λόγον καὶ θαυμαστῆς, αὐτὴν τὴν τοῦ λόγου θεότητα παραγυμνωθεῖσαν ἰδών:

Τοῦ μεγάλου Βασιλείου ἐκ τῶν ἠθικῶν: Κάλλος τοῦ ὄντος δυνατοῦ ἡ νοητὴ καὶ θεωρητὴ αὐτοῦ θεότης· εἶδον δὲ αὐτοῦ τὸ κάλλος Πέτρος καὶ οἱ τῆς βροντῆς υἱοὶ ἐν τῷ ὄρει ὑπερβάλλον τὴν τοῦ ἡλίου λαμπρότητα καὶ τὰ προοίμια τῆς ἐνδόξου παρουσίας ὀφθαλμοῖς ἰδεῖν κατηξιώθησαν:

τοῦ Δαμασκηνοῦ: Σήμερον φωτὸς ἀπροσίτου ἄβυσσος, σήμερον αἴγλης θείας χύσις ἀπεριόριστος ἐν Θαβὼρ τῷ ὄρει αὐγάζεται τοῖς ἀποστόλοις· νῦν ὡράθη τὰ τοῖς ἀνθρώποις ἀθέατα ὄμμασι, σῶμα γήινον θείαν ἀπαυγάζει λαμπρότητα, σῶμα θνητὸν δόξαν πηγάζει θεότητος· ὁ γὰρ λόγος σάρξ, ἡ σάρξ τε λόγος ἐγένετο, εἰ καὶ μὴ τῆς οἰκείας ἐξέστη ἑκάτερον φύσεως· ὢ τοῦ θαύματος· οὐκ ἔξωθεν ἡ δόξα τῷ σώματι προσεγένετο, ἀλλ' ἔνδοθεν ἐκ τῆς ἀῤῥήτῳ λόγῳ ἡνωμένης αὐτῷ καθ' ὑπόστασιν τοῦ Θεοῦ λόγου ὑπερθέου θεότητος:

καὶ ὁ Κρήτης Ἀνδρέας: Τοῦτο θαυμάζουσιν ἄγγελοι, τοῦτο δοξολογοῦσιν ἀρχάγγελοι· ἀπόδειξις δὲ τῶν λεγομένων αὐτὸ ἂν εἴη τὸ μακάριον πάθος ἐκεῖνο καὶ πολυύμνητον, ὅπερ ἐπὶ τοῦ ὄρους πεπόνθασιν οἱ ἀπόστολοι, ἡνίκα τὸ ἀπρόσιτον καὶ ἄχρονον φῶς τὴν οἰκείαν σάρκα μεταμορφῶσαν τῷ ὑπερβάλλοντι τῆς οἰκείας φωτοβλυσίας ὑπερουσίως ἐλάμπρυνεν· ὧ τοῦ θαύματος, κατ' ἔκστασιν τελεωτάτην τῆς φύσεως πίπτουσιν ὕπνῳ βαρὺ καὶ φόβῳ κρατούμενοι:

καὶ ὁ χρυσοῦς Ἰωάννης: Λαμπρότερος ἑαυτῷ ἐφαίνετο ὁ Κύριος τῆς θεότητος παραδειξάσης τὰς ἀκτῖνας αὐτῆς:

καὶ ὁ μέγας Βασίλειος: Ὁ Θεὸς φῶς οἰκῶν ἀπρόσιτον· τὸ γὰρ ἀπρόσιτον πάντως καὶ ἀληθινόν, καὶ τὸ ἀληθινὸν ἀπρόσιτον, ὁπότε καὶ πεπτώκασιν οἱ ἀπόστολοι τῇ δόξῃ τοῦ φωτὸς τοῦ Υἱοῦ ἀτενίσαι μὴ δυνηθέντες διὰ τὸ εἶναι αὐτὸν ἀπρόσιτον φῶς:

Ἐν τῷ φανέντι φωτί σου σήμερον ἐν Θαβωρίῳ φῶς εἴδομεν τὸν Πατέρα, φῶς καὶ τὸ Πνεῦμα φωταγωγοῦν πᾶσαν κτίσιν: +

Τοῦ ὁσιωτάτου Ματθαίου ἀπόδειξις σύντομος εἰς πόσας καὶ ποίας αἱρέσεις ἀθλίως ἐμπίπτουσιν οἱ τοῦ Καλαβροῦ Βαρλαὰμ φοιτηταί:

Οἷς μὲν τὸν Θεὸν ἐνέργειαν μηδαμῶς ἔχειν λέγουσιν οἱ μύσται τοῦ Βαρλαὰμ ἀναιροῦσι καὶ τὸ ὅλως εἶναι Θεὸν καὶ πρόνοιαν· τὸ γὰρ ἀνενέργητον ἀνύπαρκτον, ὃ τῆς Ἐπικούρου ἀθείας ἐφάμιλ<λ>ον.

Οἷς δὲ δῆθεν ὁμολογοῦσι κτιστὰς ἐνεργείας ἔχοντα κτίσμα ποιοῦσι καὶ τὸν Θεόν· ἡ γὰρ κτιστὴ ἐνέργεια κτιστὴν δηλοῖ φύσιν [1]), ἄκτιστον δὲ ἡ ἄκτιστος· ἐπὶ γὰρ τῆς ἁπλῆς καὶ ἀσυνθέτου φύσεως τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον ἐπιδέχεται ἡ ἐνέργεια, φησὶν ὁ μέγας Βασίλειος, εἴτε τῆς ἀκτίστου δηλονότι, εἴτε μὴν τὸν τῆς κτιστῆς. τούτοις οὖν οὐ δύο μόνον ὑποστάσεις τῆς προσκυνητῆς τριάδος, ὡς [2]) ὁ Ἄρειος, ἀλλὰ καὶ τὸν Πατέρα εἰς κτίσιν καταβιβάζουσιν. καὶ οἱ μὲν μονοθελῆται ἐκεῖνοι μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἀμφίβολον φρονοῦντες ἐπὶ Χριστοῦ μίαν αὐτὸν καὶ φύσιν εἰσῆγον ἔχειν, ὥστε καὶ τὴν θεότητα παθεῖν ἐντεῦθεν εἶναι ἀκόλουθον· οὗτοι δὲ κτιστὴν αὐτὴν τὴν θείαν ἐνέργειαν φανερῶς λέγοντες κτιστὴν ἀναμφιβόλως καὶ τὴν αὐτὴν φύσιν συνάγουσιν, ὡς μηδὲ εἶναι λοιπὸν προσιστάμενον τὸ μὴ καὶ ταύτην τοῦ πάθους μεταλαχεῖν καθὰ καὶ τὴν ἀνθρωπίνην, παρ' ὃ καὶ ταῖς δυσσεβείαις ἁλίσκονται περιπίπτοντες, αἷς οἵ τε μονοθελῆται καὶ μονοφυσῖται καὶ θεοπασχῖται, πρὸς δὲ καὶ τὰ Ἀρείου πρεσβεύοντες.

[1]) Въ рукописи: φησίν, которое еп. Порфирій исправилъ въ φύσιν.—Ред.

[2]) Это слово прибавлено еп. Порфиріемъ. — Ред.

καὶ ἡ μὲν τὴν θείαν παντάπασιν ἀναιροῦσι χάριν, τὴν τῆς προγονικῆς ἡμᾶς ἀποκαθαίρουσαν ἁμαρτίας διὰ τοῦ θείου βαπτίσματος καὶ τοὺς τῆς ἱερωσύνης διατιθεῖσαν θεσμούς, τὸ θεῖον ἐξόμνυνται βάπτισμα καὶ τῆς ἐκκλησίας ἀνάστατον τὴν οἰκονομίαν τιθέασι καὶ οὐδὲν παρὰ τοῦτο διενηνόχασι τῶν ἀβαπτίστων Ἰουδαίων ἢ Ἀγαρηνῶν, οἷς δὲ χάριν ἄκτιστον φασὶ τοῦ Πατρὸς τόν τε Υἱὸν καὶ τὸ Πνεῦμα ἅγιον, ὡς μὴ α<ὐ>θυποστάτους [1]) εἶναι οὐσίας, ἀλλ' ἐνεργείας μόνον, ἐπεὶ μηδὲ κοινὴν ἐνέργειαν τῇ Τριάδι διδόασιν, εἰς μίαν ὑπόστασιν, ὡς ὁ Σαβέλλιος καὶ τὸ τῶν Ἰουδαίων γένος, τὴν θείαν συστέλλουσι φύσιν. καὶ τ<ῷ> μὲν φρονεῖν χάριν εἶναι τοῦ Πνεύματος τὸν Υἱὸν ψιλὸν ἄνθρωπον κατὰ τὸν Νεστόριον εἰσάγουσι τὸν Χριστόν, μόνης τῆς Θεοῦ ἀκτίστου κατ' αὐτοὺς χάριτος μετέχοντα, ἐξίσης τοῖς παρ' ἡμῖν θεοφόροις ἀνδράσι· τ<ῷ> μέντοι λέγειν κτίσματα τὰς δωρεὰς καὶ ἐνεργείας τοῦ Πνεύματος τῇ κτίσει κατὰ τὸν πνευματομάχον Εὐνόμιον τὸ Πνεῦμα συναριθμοῦσι· τῇ γὰρ φύσει, ὡς δέδεικται, κατάλληλος ἡ ἐνέργεια. ἔκ γε μὴν το<ῦ> τὴν οὐσίαν αὐτὴν τοῦ Πνεύματος προχεῖσθαι λέγειν καὶ δίδοσθαι παρὰ τοῦ Χριστοῦ πῇ μὲν τοῖς τῶν Λατίνων ἁλίσκονται δόγμασι καὶ ἐκ τοῦ Υἱοῦ τὴν τοῦ Πνεύματος φρονούντων ὕπαρξιν ἐκπορεύεσθαι, πῇ δὲ τ<ῷ> τῶν Μα<σ>σαλιανῶν συνάδοντες καὶ συντρέχοντες τὴν οὐσίαν αὐτὴν οἰομένων λαμβάνειν παρὰ τοῦ Πνεύματος τοὺς ἀρετῇ διενεγκόντας καὶ θεοὺς φύσει γίνεσθαι· οἷς δ' αὖθις πᾶσαν τὴν κτίσιν οὐ τῆς προνοίας ἀξιοῦσι καὶ χάριτος μετέχειν τοῦ Θεοῦ, ἀλλ' αὐτῆς τῆς οὐσίας τὴν κτίσιν θεοποιοῦσι καὶ τῶν εἰδωλολατρῶν οὐδὲν ἔλαττον ἀσέβειαν ἔχειν δείκνυνται. τὸ δὲ τὰς θείας διαφθείρειν γραφὰς καὶ πρὸς τὴν οἰκ<ε>ίαν κακόνοιαν μεταβαίνειν τῆς Μαρκίωνος κακουργίας ἀκριβὲς μίμημα. ταῦτα σύνοψίς εἰσι τοῦ παρόντος λόγου: +

Βαρλαὰμ καὶ Ἀκινδύνῳ καὶ τοῖς ὀπαδοῖς καὶ διαδόχοις αὐτῶν ἀνάθεμα: +

Τοῖς αὐτῶν φρονοῦσι καὶ λέγουσι τὸ λάμψαν ἀπὸ τοῦ Κυρίου ἐπὶ τῆς θείας αὐτοῦ μεταμορφώσεως φῶς ποτὲ μὲν εἶναι ἔνδαλμα καὶ κτίσμα καὶ φάσμα ἐπὶ βραχὺ φανὲν καὶ διαλυθὲν παραχρῆμα, ποτὲ αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ, ὡς εἰς αὐτὰ τὰ ἐναντιώτατα φρενοβλαβῶς καὶ ἀδύνατα παντελῶς ἑαυτοὺς ἐπιῤῥ<ί>πτουσι καὶ τοῦτο μὲν τὴν Ἀρείου μαινομένοις μανίαν, εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν θεότητα καὶ τὸν ἕνα Θεὸν κατατέμνοντος, τοῦτο δὲ τὴν τῶν Μασσαλιανῶν δυσσεβείᾳ συμφερομέν<οι>ς, τὴν θείαν οὐσίαν ὁρατὴν εἶναι λεγόντων, μὴ ὁμολογοῦσι δὲ κατὰ τὰς τῶν ἁγίων θεοπνεύστους θεολογίας καὶ τὸ τῆς ἐκκλησίας εὐσεβῶς φρόνημα μήτε κτίσμα εἶναι τὸ θειότατον ἐκεῖνο φῶς μήτε οὐσίαν Θεοῦ, ἀλλὰ

[1]) Въ рукописи: ἀνθυποστάτους.

ἄκτιστον καὶ φυσικὴν χάριν καὶ ἔλλαμψιν καὶ ἐνέργειαν, ἐξ αὐτῆς τῆς θείας οὐσίας ἀχωρίστως ἀεὶ προϊοῦσαν, ἀνάθεμα: —

Τέλος ⟨καὶ⟩ τῷ Θεῷ ἡμῶν δόξα καὶ τιμή:

По рукописи библіотеки Метеоро-Варлаамскаго монастыря въ Θессаліи.

№ 50.

1360—1374 года.

Τοῦ ἁγιωτάτου καὶ σοφοῦ πατριάρχου Φιλοθέου πρὸς τὸν φιλόσοφον Γρηγορᾶν λόγος ἀντιῤῥητικὸς ιβ ὑπὲρ τῶν ἐν τῷ ἁγίῳ ὄρει τῷ Ἄθῳ μοναστῶν καὶ τῶν ἱερῶς ἡσυχαζόντων ἐκεῖ, καὶ δὴ καὶ τῶν ἐνταῦθα ὑπέρ τε τῶν κατὰ τῶν θειοτάτων βασιλέων κακῶς εἰρημένων αὐτῷ ἀπολογία, ἀλλὰ δὴ καὶ τῶν κατὰ τοῦ θείου Γρηγορίου καὶ τῶν ἱερῶν αὐτοῦ θαυμάτων, πρός γε μὴν τοῦ λόγου τέλει καὶ ἀνακεφαλαίωσις τῶν προειρημένων: +

I. Ἐνταῦθά με βουλόμενον στῆσαι τὸν λόγον, ὃ δὴ κἀν τοῖς φθάσασι προύφην, ἡ κατὰ τῶν ἐμῶν τουτωνὶ φιλοσόφων καὶ θεοφόρων ἄτοπος μανία καὶ λαμπρὰ τοῦ ψευδοσόφου τουτουὶ μάχη, θεομαχία δ' εἰπεῖν οἰκειότερον μᾶλλον, ἐπέσχε, τῶν Ναζιραίων Θεῷ, κατὰ τὴν θείαν φάναι γραφήν, τῶν ἐσταυρωκότων τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τῶν συνεσταυρωμένων Χριστῷ μετὰ Παύλου δηλαδὴ τοῦ σκεύους τῆς ἐκλογῆς, ὡς καὶ σὺν ἐκείνῳ δύνασθαι δήπου λέγειν ἕκαστον τούτων· «Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκ-«έτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ «Υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ»· καὶ ὅτι «εὐχαριστοῦμεν τῷ Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν «ἁγίων ἐν τῷ φωτί, ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετ-«έστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ».

II. Δι' ὃ δὴ καὶ μᾶλλον ὁ τοῦ θείου φωτὸς καὶ τῆς βασιλείας τοῦ Θεοῦ πολέμιος οὑτοσὶ τὸν ἀκήρυκτον τουτονὶ κατὰ τῶν φωτοειδῶν καὶ θεοειδῶν ἐκείνων ὡς ἐξ ἄλλης ἀρχῆς ἐκραγῆναι πεποίηκε πόλεμον, Βαρλαὰμ ἐκμιμούμενος ἐκεῖνον τὸν πρῶτον πολέμιον τοῦ θείου τούτου φωτὸς καὶ ἀρχηγὸν τῆς ποικίλης καὶ παντοδαπῆς ταύτης αἱρέσεως. μᾶλλον δ' ὁ μὲν Καλαβρὸς Βαρλαὰμ παρὰ τῇ τῶν Λατίνων ἐκκλησίᾳ καὶ φὺς καὶ τραφεὶς ἀπερῤῥωγυίᾳ πάλαι κακῶς τῆς ὄντως Χριστοῦ ἐκκλησίας, ἐξ ὅτου δηλαδὴ περὶ τὴν ἀποστολικήν τε καὶ πατρικὴν

νεωτερίσασα πίστιν ὑπεροψίᾳ καὶ τύφῳ καὶ τῷ τῆς γνώμης αὐθεκάστῳ τε καὶ θρασεῖ τὰς οὐ καλὰς ἐκείνας καινοφωνίας τῇ θείᾳ θεολογίᾳ τολμηρῶς ἐπεισήγαγε· παρ' ἐκείνοις τοιγαροῦν Βαρλαάμ, ὅπερ ἔφην, καὶ ἀγωγῆς καὶ παιδείας τυχών, οὐ μὴν ἀλλὰ καὶ λόγους ἐκμελετήσας τοὺς ἔξωθεν οὐ παρέργως, ὡς καὶ τούτοις ἐνευδοκιμεῖν ἢ τοῖς ἱεροῖς ἔχειν μᾶλλον, οὓς οὐδὲ τὴν ἀρχὴν ὀρθῶς ἤσκησε, καινὸν οὐδὲν οὐδ' ἔξω τοῦ κατ' αὐτόν, ὡς ἐγὼ φημί, λόγου τε καὶ τοῦ πράγματος, εἴγε τοῖς ἡμῶν ἱεροῖς δολερῶς τε καὶ κακομηχάνως ἐμπαῖξαι βουληθεὶς μετὰ τοῦ προσωπείου τε καὶ τοῦ σχήματος, τῶν μὲν παρὰ τῶν ⟨η⟩μῶν ἀληθινῶ⟨ς⟩ σοφῶν τε καὶ φιλοσόφων καὶ λόγοις καὶ γράμμασι καὶ συνόδοις ἱεραῖς ὅλαις ἀπογεγύμνωται, πρὸς δὲ ταῖς Λατινικαῖς καὶ πατρίοις δόξαις ἔτι καὶ τὰ τῶν Ἑλλήνων πονηρά τε καὶ ἄθεα δογματα μετὰ Σωκράτους καὶ Πλάτωνος καὶ τῶν ἀπὸ τῆς Στοᾶς κάκιστα νοσῶν ἐλεγχθείς, αἰσχρῶς ἐπανῆλθε πρὸς τοὺς ἰδίους, παθὼν ἅπερ ἤλπισε δράσειν ἑτέρους καὶ τὴν ἧτταν καὶ τὴν αἰσχύνην καὶ τὸν πάνδημον ἐκεῖνον οὐκ ἐνεγκὼν θρίαμβον.

III. Γρηγορᾶς δ' οὐτοσὶν ἐκ βαρβάρων παρὰ τὴν τῶν πόλεων βασιλίδα ταυτηνὶ καὶ τὴν μεγάλην ἐλθὼν τῶν ἐκκλησιῶν τοῦ Χριστοῦ μητέρα· τῆς γὰρ Παφλαγόνων ὥρμητο γῆς· καὶ ἀγωγῆς καὶ παιδείας ἐνταῦθα καὶ μούσης Ἑλληνικῆς μετασχών, ὡς καὶ τῶν μετεώρων ἀσκῆσαί τινα δόξαι καὶ ὀνόματος εὐμοιρῆσαί τινος, μᾶλλον δὲ καὶ πολλῷ τοῦ κατ' αὐτὸν πράγματος ὑψηλοτέρου καὶ μείζονος, τὸ μὲν βάρβαρον ἦθος ἀμηγέπη καὶ τὴν φωνὴν ἀποβαλεῖν ἔσχε, τῶν δὲ τρόπων τε καὶ τῆς γνώμης τὸ βάρβαρον οὐ μόνον οὐκ ἔσχεν ἀποβαλεῖν, ἀλλὰ καὶ προσεξειργάσατο καὶ προσέθηκεν ἐκ πάνυ τοι πολλοῦ τοῦ περιόντος τῶν ὁμοφύλων χείρων τὰ τοιαῦτα φανείς, ὡς μηδὲ παραβάλλειν ἐξεῖναι. μᾶλλον δ' ἐκεῖνοι μέν, εἰ καὶ βάρβαροι τὴν γλῶτταν ἄλλως καὶ τὸ ἦθος ⟨ὄντες⟩ τυγχάνουσι, τῆς ἀγωγῆς τε καὶ τῶν πατρίων οὕτω ταυτὶ χορηγούντων, ἀλλὰ καὶ τρόπων εἰσὶ χρηστῶν καὶ καλοκαγαθίας καὶ ἀρετῆς φροντισταί, καθ' ὅσον οἷόν τε, εὐσεβείας τε πρὸ τῶν ἄλλων καὶ τῶν ἀποστολικῶν τε καὶ πατρικῶν δογμάτων σπουδασταί τε καὶ φύλακες, ὡς καὶ αὐτῆς ὑπὲρ τούτων μετὰ πλείστης γε τῆς φιλοτιμίας ἐν τῷ τοῦ καιροῦ παρασχόντι πῶς ἂν εἴποις ἡδέως ἀφίστασθαι τῆς ψυχῆς· ὃ δὲ καὶ κατεξανέστη τῆς καὶ θρεψαμένης καὶ παιδαγωγησάσης καὶ λόγων καὶ ὀνόματος μεταδούσης, ὡς μὴ ὤφελεν, ἐκκλησίας, καὶ τὰ δεινότατα καὶ ἀπευκ⟨τ⟩ότατα καὶ πόρρω παντὸς παραδείγματος ἀκολάστῳ καὶ τολμηρᾷ γλώττῃ κατὰ τῆς Χριστοῦ νύμφης ὑβρίζει, καὶ Βαρλαὰμ κατ' αὐτό, φημί, τοῦτο τὸν μυσταγωγὸν τῶν τοιούτων παρενεγκών, ὅσον ἐκεῖνος μὲν εἰς τὴν ἱερὰν ἡσυχίαν καὶ τοὺς

σπουδαστὰς ταύτης ἐκ φαύλων τινῶν ἀρχῶν ὑβρίζειν ἀρξάμενος, ἐπεὶ τὴν θεολόγον τοῦ Γρηγορίου γλῶτταν ἀντικρούουσαν ἰσχυρῶς ἔσχε, πρὸς τὰς ἀτόπους ἐκείνας δόξας καὶ αἱρέσεις ἐξεκυλίσθη ἐν τῷ πορίζειν ἀπολογίας τῶν προημαρτημένων ἑαυτῷ δῆθεν, ἁμαρτάνων ὑπὲρ πᾶσαν συγγνώμην καὶ πάσης ἀπολογίας ὁμοῦ καὶ παραιτήσεως καθάπαξ ἀποστερούμενος, πλὴν ὅσον οὐ πρὸς τὴν ἱερωσύνην καὶ τοὺς σεπτοὺς ἱεράρχας τε καὶ μυσταγωγοὺς τῶν ἱερῶν ἀπαναισχυντήσας ὤπται μυστηρίων ἐκεῖνος, ἀλλὰ καὶ κυρίους τῆς κατ' αὐτὸν αὐτοὺς ἐποιεῖτο δίκης καὶ τῶν δογματικῶν καὶ θεολογικῶν δοκιμαστὰς λόγων καὶ τῶν ἀντιλεγόντων καὶ κριτὰς ἅμα καὶ κολαστάς, εἰ καὶ τρόπον ἕτερον οὐ καλῶς οὐδὲ δικαίως ᾧετο ταῦτα· ὁ δὲ μύστης οὑτοσὶν ἐκείνου καὶ τῆς πλάνης διάδοχος ὑβρίζει μὲν ἐς ἱερέας Θεοῦ καὶ ποιμένας ὁμοῦ πάντας καὶ διδασκάλους καὶ δὴ καὶ Θεὸν τὸν ὑπ' αὐτῶν τούτων εὐσεβῶς ὁμοῦ καὶ θεοπρεπῶς θεολογούμενόν τε καὶ κηρυττόμενον, ὅσα καὶ ὁ λόγος ἡμῖν ἔφθη δείξας ἐκ μέρους, ὑβρίζει δ' ἀκρατῶς εἰς τὴν ἱερὰν ἡσυχίαν διὰ τῶν αὐτῆς ἀθλητῶν τε καὶ ἀσκητῶν, μᾶλλον δ' οὐκ εἰς τὴν ἡσυχίαν μόνην, ἀλλὰ καὶ τὴν ἀρετὴν ὁμοῦ πᾶσαν, ὅση τε τῆς θεωρίας καὶ ὅση τῆς πράξεως, τὸν ἱερὸν Ἄθω τῷ λόγῳ προθείς, «τὸ μόνον ὡς ἀληθῶς «ἁπάσης τῆς ἀρετῆς κοινὸν ἐργαστήριον», τῶν καθ' ἡμᾶς τις ἔφη σοφῶν, «τὸν τῶν «ἐκασταχοῦ τῆς οἰκουμένης πῶς ἂν εἴποιμι ὁμολογουμένως ἐξειλεγμένον μάλιστα «χῶρον, τὸν ἱερὸν χηραμόν, τὸ μέγα καὶ θαυμαστὸν ὄντως τῆς ἀρετῆς πανκρά«τιον, τῶν Ὀλύμπου πραγμάτων τὸν διαφερόντως νομέα· μᾶλλον δ' οὐκ οἶδ' ὅ τί τις ἂν εἰρηκὼς ἔπειτ' ἀρκέσαι· ἡ γὰρ τῶν ἐποικούντων ἀρετὴ πᾶσαν ὑπερβολὴν ἀμβλύνει». Ὃν δήπου καὶ βασιλεὺς ὁ σοφός [1]), οὕπω τότε τοῦ σκήπτρου καὶ τοῦ κράτους ἐπειλημμένος, ἄρτι πρῶτος ἐπιδεδημηκὼς τοῖς ἐκεῖ καὶ τὴν ἀρετὴν μεθ' ὑπερβολῆς ἀποθαυμάζων τῶν ἐνοικούντων, «Ἕλληνες μέν» ἔλεγεν, «ἐν μύ«θοις φασὶν Ἄτλαντά τινα τῶν μετὰ Κρόνου θεῶν καθηρημένων ταύτην ὑπὸ «τῶν ἀρξάντων τὴν δίκην κατεψηφίσθαι, τοὺς τῆς γῆς ἀνέχειν κίονας, ὡς ἂν «πιέζοιτο τῷ τοσούτῳ βάρει· ἐγὼ δὲ τούτους φαίην ἄν, καὶ τῆς ἀληθείας ἐμοὶ «συμμαρτυρούσης, ταύτην τὴν τιμὴν λαχεῖν τοῦ βίου τῆς πολλῆς φιλοσοφίας «ἕνεκα παρὰ Θεοῦ, τὸ τὴν γῆν ἀνέχειν, εὐχαῖς ἱλεουμένους αὐτῇ τὸ θεῖον». Τὸν γοῦν οὕτως ὑπὸ μεγάλων τε καὶ σοφῶν ἀνδρῶν καὶ θαυμαστῶν ὁμοῦ βασιλέων μεθ' ὑπερβολῆς θαυμαζόμενον θαυμαστὸν Ἄθω διὰ τὸ περιὸν τῆς ἀρετῆς, φημί, καὶ τῆς ἁγιότητος τῶν προσοίκων· ἐῶ γὰρ νῦν τοὺς πρὸ ἡμῶν συγγραφέας τε

[1]) На полѣ листа, противъ этого мѣста, написано еп. Порфиріемъ: «Это — Кантакузинъ».— Ред.

καὶ σοφοὺς λέγειν οὐδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον τῶν νῦν τοῦτον τεθαυμακότας· ὁ Γρηγορᾶς εἰς μέσους παρηχώς, ὅπερ ἔφην, οὐδὲν φησὶν ἀρετῆς ἴχνος διὰ τοῦ οἰκείου Ἀγαθαγγέλλου οὐδὲ μόριον γοῦν ἀγαθοῦ τι καὶ λείψανον παρὰ τοῖς ὁσίοις ἐκείνοις καὶ ὁπῃοῦν εὑρεῖν, εἰ μὴ καὶ πᾶν, φησί, τοὐναντίον. Εἰκότως· οὐδὲ γὰρ οὐδὲ τοῖς ὀφθαλμιῶσιν ἔξεστι βλέπειν πρὸς τὰς ἀκτῖνας, μᾶλλον δὲ καὶ πειρωμένοις ἐνατενίζειν, εἰς σκότος αὐτοῖς ἀντιπερίσταται τὰ τῆς αἴγλης. Καὶ νυκτερίσιν ὡσαύτως ἀθέατον τὸ λαμπρὸν τουτοὶ τοῦ φωσφόρου, ὡς δὲ καὶ Γρηγορᾷ καὶ τοῖς ὁμιληταῖς ἐκείνου καὶ τῆς αἱρέσεως κοινωνοῖς ἀθεάτον τὸ παράπαν τὸ λαμπρότατον καὶ ὑπερφυὲς φῶς τῆς παντοδαπῆς ἀρετῆς, φημί, τῶν ὁσίων ἐκείνων, πυρσοῦ τινος περιφανοῦς δίκην οὐ τοῖς ἐκεῖ νοητῶς διὰ παντὸς μόνον φαῖνον, ἀλλὰ καὶ γῇ καὶ θαλάττῃ καὶ νήσοις καὶ πόλεσι καί Ἕλλησι καὶ βαρβάροις καὶ εἰς τὰς τῆς οἰκουμένης ἐσχατιὰς ὑπερφυῶς διαβαῖνον καὶ πᾶσιν ὁμοῦ περιλαλούμενόν τε καὶ θαυμαζόμενον, οὐ τοῖς τῆς ἡμετέρας αὐλῆς, φημί, μόνον καὶ τοῦ κατὰ Χριστὸν ἐκασταχοῦ γῆς ἱεροῦ καταλόγου, ἀλλὰ καὶ τοῖς ἀπίστοις αὐτοῖς.

IV. Τί γὰρ ἐν ἐκείνοις τῶν καλλίστων καὶ θεοφίλων οὐ μεθ' ὑπερβολῆς κατορθοῦται; Ἵν' ἐκ τῶν ἔξω τέως καὶ φαινομένων καὶ τοῦ πρακτικοῦ τῆς ἀρετῆς ἄρξωμαι, οὐ νηστεία καινή τις καὶ ὑπερφυής, ὡς καί τινας τῶν θεοφόρων ἐκείνων τοὺς μὲν πρὸς Ἠλίαν τε καὶ Μωσῆν καὶ δὴ καὶ τὸν ἐμὸν Ἰησοῦν ὕστερον τῷ μήκει τῶν ἡμερῶν ἁμιλλᾶσθαι, τοὺς δὲ καὶ παρελαύνειν ἀνδρείας ὑπερβολῇ σπεύδειν αὐτῷ τε τούτῳ, φημί, καὶ τῷ μὴ μόνον ἅπαξ καὶ δίς, ἀλλὰ καὶ πολλάκις ἑκάστης ἐνιαυτοῦ περιτροπῆς καὶ παρὰ πάντα ταυτὶ διαθλεῖν ἔχειν τὸν βίον, ὥσπερ οὐκ ἐκ γῆς καὶ πηλοῦ, ἀλλ' ἄσαρκοί τινες καὶ ἀναίμονες ὄντες καὶ τὸν ἄνθρωπον ὑπερφυῶς ὑπερβαίνοντες; Οὐκ ἀγρυπνία, οὐ στάσις πάννυχος, οὐ ψαλμῳδία καὶ μέλη καὶ γραφῶν θείων καὶ λόγων ἱερῶν ἀναγνώσεις νύκτωρ καὶ μεθ' ἡμέραν; Μέλη μυστικὰ καινῶς τε καὶ σχεδὸν ὑπὲρ λόγον ᾀδόμενα μετὰ τῆς θαυμαστῆς συμφωνίας τε καὶ τοῦ ῥυθμοῦ καὶ τοῦ σχήματος καὶ τῆς καινῆς ἑορτῆς τῶν ἠθῶν ἐκείνων ποίας οὐ παριόντα σειρῆνας; τίνας Ὀρφέας, τίνας τῶν ὑφ' ἡλίῳ μελῳδούς τε καὶ μουσικοὺς οὐ λῆρον ὁμοῦ πάντας ἀποδεικνύντα τῷ τῆς πνευματικῆς περιόντι χάριτος καὶ τῆς μούσης; Τίς τῶν τοῦ Πνεύματος καρπῶν οὐ μετὰ πολλῆς τῆς δαψιλείας ἐν ἐκείνοις βρύει τοῖς μακαρίοις; «ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια», καθ' ὧν οὐδὲ νόμος ἐστίν, ὡς ὑπὲρ νόμον δηλαδὴ ζῶσι, κατὰ τὸν μακάριον Παῦλον εἰπεῖν. Ἐῶ γὰρ νῦν χαμε‹υ›νίας λέγειν καὶ ἁλουσίας καὶ κλίσεις γονάτων

συνεχεῖς καὶ χειρῶν ἔργα καὶ πόνους πανημερίους καὶ τὸ ἐν ἐνδύμασι καὶ ὑποδήμασι καὶ τροφαῖς ὡσαύτως εὐτελές τε καὶ ἄτυφον καὶ τὴν σκληρὰν ἀγωγὴν ὁμοῦ πᾶσαν, οἷς ἐντρυφῶσιν οἱ γενναῖοι, παρὰ πάντα τὸν βίον φιλοσοφοῦντες.

V. Ἐπεὶ δὲ τῶν καρπῶν τοῦ Πνεύματος μετὰ τοῦ ἀποστόλου πρὸ βραχέος μνημονεύων ὁ λόγος καὶ ἀγάπης ἐμνήσθη, τῆς ἄκρας κορυφῆς τῶν ἀρετῶν δηλαδή, τὸ δὲ κατ' αὐτήν, κατὰ θείους φάναι χρησμούς, εἰς Θεόν τε καὶ τὸν πλησίον διήρηται, τῆς μὲν πρὸς Θεὸν ἀγάπης αὐτῶν μάρτυρες καὶ αὐτὰ φημὶ ταῦτα τὰ προρρηθέντα, τῆς δὲ πρὸς τὸν πλησίον θαυμασαίμ' ἂν ἔγωγε εἴ τινες τῶν ὑπὲρ γῆς νῦν ὄντων ἀνθρώπων εἰς ἅμιλλάν ποτε ἐλθεῖν ἂν ἐκείνοις φιλοτιμήσαιντο. Ὥστ' εἰ καὶ μηδέν τι τῶν εἰρημένων τούτοις προσῆν, ἐκ ταύτης ἂν πανταχοῦ βεβοῆσθαι· νῦν δὲ πρόσεστιν ἐκείνοις ἐκ πολλοῦ τοῦ περιόντος καὶ αὕτη, οὕτω δή τοι λαμπρὰ καὶ μανική τις καὶ ἄτοπος χρῆσθαι, ὡς μηδὲ λέγειν εὐχερῶς ἔχειν ἐν ὅτοις μᾶλλον εὐδοκιμοῦσιν οἱ περιφανεῖς οὗτοι τῶν τοιούτων ἐργάται. πότερον ἐν ἐκείνοις ὁμοῦ πᾶσιν ἢ τοῖς τῆς μακαρίας ταύτης ἀγάπης. Μᾶλλον δ' ἐπεὶ φθάσαντες ἐκεῖνα καλῶς τε καὶ ὡς ἐχρῆν ᾔσκησαν κατὰ μέρος, ὡς μηδέν τι καὶ ὁπηοῦν τοῦ προσήκοντος ἐλλελεῖφθαι, διὰ ταῦτ' ἄρα καὶ τοῦ κορυφαίου τουτουί, τῆς ἀγάπης, ῥᾷστα καὶ μετὰ παντὸς τοῦ προσήκοντος ἔσχον ἐπιλαβέσθαι, μηδὲ γὰρ ἐξεῖναι τῆς ἄκρας ἐπιβῆναι τῆς κλίμακος, μὴ διὰ τῶν βαθμίδων καθ' εἱρμόν τινα καὶ τάξιν πρότερον ἀνιόντα, μηδὲ τὴν ὀροφὴν ἐπιτεθῆναι τῷ οἴκῳ, τῶν στύλων τε καὶ τῶν τοίχων ἀνενδεῶς οὐχ ὑποβληθέντων. Καὶ ὅρα μοι πᾶς τις ὁ τὰ τῶν θαυμασίων ἐκείνων ἀνδρῶν περιεργαζόμενος καὶ φιλοκρινῶν τὸ καινωνικὸν αὐτῶν ἐν ἅπασι καὶ φιλάλληλον, τὴν φιλοξενίαν, τὴν φιλαδελφίαν, τὴν ἐπιμέλειαν τῶν νοσούντων, τὴν περὶ τοὺς πτωχούς τε καὶ ἀπόρους σπουδὴν καὶ παντοδαπὴν προμήθειαν, τὴν τῶν ξένων μετὰ τῆς ἄκρας φιλοτιμίας ὑποδοχὴν καὶ φιλοφροσύνην, ὅσοι τε διὰ ξηρᾶς καὶ ὅσοι διὰ θαλάττης παρ' ἐκείνοις κατάγονται, παρὰ πάντα καιρόν τε καὶ χρόνον, ὅπως οὐ καινὰ μόνον παιοῦνται τὰ ὄντα, ἀλλ' ἔστιν οὗ καὶ τῶν ἀναγκαίων ἐκείνοις ἐξίστανται θαυμαστῶς ἐν τῷ τῆς χρείας καλοῦντι, οὐχ Ἕλλησι μόνον ἀνδράσι καὶ ὁμοφύλοις, ἀλλὰ καὶ βαρβάροις ἀκριβῶς καὶ τῶν καθ' ἡμᾶς ἱερῶν ἀπερρωγόσι πάλαι καὶ ἔργοις καὶ λόγοις, καὶ οὐ τούτοις γε μόνοις, ἀλλὰ καὶ τοῖς ἀπίστοις αὐτοῖς, φημί, καὶ Χριστὸν ἀγνοοῦσιν, οὐ διὰ φόβαν, ὡς ἂν εἴποι τις, καὶ τὸ ἐπικείμενον ξίφος καὶ τὴν μανίαν τὴν καθ' ἡμῶν. Πῶς γάρ; οἳ καὶ καταγνύντας ἐκείνους τὰ σκάφη πολλάκις δεχομένοι τοῖς κύμασι καὶ τῶν πετρῶν ταῖς ὑφάλοις ἢ καὶ τὰς ναῦς ὁμοῦ φεύγοντας καὶ τὸ ξίφος τῶν ἐπιόντων οὐ μόνον οὐκ ἐχθρόν τι καὶ πολέμιον ἐνεδείξαντο

πώποτε, ἀλλὰ καὶ τροφὰς καὶ ὑποδήματα καὶ οἰκήσεις ὥρᾳ χειμῶνος παρέσχον ἐπὶ μακρόν, εἶτα καὶ τὰ πεπονηκότα τῶν πλοίων ἐκείνοις καὶ ἀναλώμασιν ἀκούμενοι καὶ χερσὶ καὶ πόνοις ἰδίοις, ἔστι δ' ὅτε καὶ μὴ ἔχουσι τῶν νεῶν τῶν οἰκείων διδόντες, εἶτ' ἐπὶ πᾶσι καὶ τῶν ἐφοδίων ὡσανεί τινες πατέρες καὶ φροντισταὶ δαψιλῶς ἐκ τῶν ἐνόντων μεταδιδόντες, οὕτω παιανίζοντάς τε καὶ κροτοῦντας ἐκπέμπουσιν οἴκαδε· ὡς ἐκείνους εἶναι τοὺς μακαρίους καὶ μόνους τῆς δεσποτικῆς ἐντολῆς ἄκρους ἐργάτας ἐξ ἄρα τῶν νῦν ὄντων πάντων ἀνθρώπων, «παντὶ τῷ αἰτοῦντί σε δίδου» διαρρήδην οὐτωσὶ παντὶ κελευούσης, καὶ μόνους τοὺς θεοφιλεῖς τούτους κατὰ μίμησιν ἐλεεῖν θείαν καὶ οἰκτίρμονας μόνους πεφηνέναι κατ' ἐκεῖνον, καθ' ὅσον οἷόν τε, ὃς «ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πο«νηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Καὶ ταῦτα μὲν ὅσοι κατὰ συστήματα καὶ συλλόγους καὶ συνοικίας ἱερὰς τῶν μακαρίων διαζῶσιν ἐκείνων.

VI. Εἰ δὲ καὶ πρὸς τοὺς πάντῃ μεμονωμένους τε καὶ ἐρημικοὺς ἀπίδοις, ὅσοι τε παρὰ τοῖς εἰρημένοις φροντιστηρίοις καὶ ὅσοι κατὰ τὴν ἔρημον ἐπήξαντο τὰς καλύβας, ἐν ὄρεσι πλανώμενοι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ὀρεσίτροφοί τινες καὶ θηρσί τε καὶ πτηνοῖς τὴν δίαιταν ὄντως ἐφάμιλλοι, θαυμάσεις μὲν καὶ τὴν μόνωσιν καὶ τὴν ἐρημίαν καὶ ἀκτησίαν καὶ ἀτροφίαν καὶ τὴν πρὸς Ἠλί‹αν› τε καὶ Ἰωάννην καὶ δὴ καὶ τοὺς ἀσωμάτους σχεδὸν ἅμιλλαν τῶν γενναίων, ἐκπλαγήσῃ δὲ μᾶλλον τὴν τῆς σαρκὸς τῆξιν καὶ τὴν νέκρωσιν τῶν μελῶν τάς τε τῶν δακρύων ἀεννάους, φημί, πηγὰς καὶ τὸ τῆς θεουργοῦ ταπεινώσεως ὁμοῦ καὶ ἀγάπης ἄκρον, δι' ὧν ἐκεῖνοι, μετὰ τῆς σωματικῆς καὶ τὴν ψυχικὴν ἡσυχίαν καὶ τὴν εἰρήνην τῶν λογισμῶν καὶ πᾶν ὅτι θεῖον καὶ ὑψηλὸν κατωρθωκότες ὁμοῦ, πρὸς τὸ ἀρχαῖον ὑπερφυῶς ἐπανῆλθον κάλλος, κάλλιστα καὶ μετὰ τοῦ γιγνομένου παντὸς διὰ προσευχῆς νοερᾶς καὶ ἀδιαλείπτου γε ἀποδόντες τῇ εἰκόνι τὸ κατ' εἰκόνα καὶ τῷ ἀκροτάτῳ τῶν ἐφετῶν τῷ ἀληθινῷ τῆς μακαρίας Τριάδος φωτὶ μακαρίως τε καὶ ὑπερφυῶς συναφθέντες ἅμα καὶ θεωθέντες.

VII. Ἀλλὰ τούτων ἁπάντων ἕν τι μηδὲν ἧπερ ἔδει συνιδὼν Γρηγορᾶς μηδ' ὑπὸ τῶν κακῶς ἀγόντων παθῶν, τοῦ τε φθόνου φημὶ καὶ τῆς κενοδοξίας, ὑφ' ὧν δηλαδὴ καὶ πρὸς τὴν ἄτοπον καὶ πονηρὰν ἐξεκυλίσθη δυσσέβειαν, ἄνω βλέπειν δυνάμενος, ἀδδηφαγίας τινὰς καὶ γαστριμαργίας κατὰ τῶν θεοφόρων ἐκείνων συνείρει καὶ κόρον καὶ μέθην καὶ ἀμετρίαν ὕπνου καὶ ἃ μηδ' ἄν τις μηδὲ τῶν κατὰ κόσμον γυναιξί τε καὶ παισὶ συζῆν ἠρημένων καὶ σμικρὰ γοῦν τινα καὶ

ὀπωσοῦν εὐλαβείας ἀντιποιουμένων κατειπεῖν ποτε προαχθείη, καὶ οὕτως ἀνακεκαλυμμένῃ τῇ κεφαλῇ καὶ δίχα προσωπείου τινός. Ὁ δὲ καὶ τὰ χείρω καὶ ἀτοπωτατα τούτοις προστίθησιν, ὀνείρους τε καὶ προφοιβασμοὺς καὶ πυρῶν τινων αἰσθητῶν θεωρίας καὶ προῤῥήσεις ψευδεῖς καὶ πλάνας, ὁ πεπλανημένος καὶ παράφορος ὀντως καὶ λογισμοὺς καὶ γνώμην, ἐπικαλῶν τοῖς ἁγίοις καὶ οἷς αὐτὸς μᾶλλόν ἐστιν ὑπεύθυνος, ὡς μετὰ μικρὸν ἐκ τῶν αὐτοῦ λόγων καὶ τοῦτο διαδειχθήσεται, τί ταῦτα συγκλώθων τε καὶ συῤῥάπτων καὶ τοῖς γράμμασι ξυντιθείς; Ἵν' ἐκ τῶν ἑκατέρων ἄκρων τὴν ἀποστολικὴν πολιτείαν καὶ τὸ κήρυγμα καὶ τὴν πίστιν καὶ τὸ Χριστοῦ εὐαγγέλιον μετὰ Ἰουλιανοῦ <τε> καὶ Κέλσου καὶ δὴ καὶ Ἐλύμα καὶ Σίμωνος τῶν ἀρχαίων καὶ αὐτὸς ἐξορχησάμενος καὶ ὑβρίσας, ὀνόματος εὐμοιρήσῃ καὶ λόγου προσηκόντων τῷ τοιούτῳ γε καταλόγῳ. Δυοῖν καὶ γὰρ ὀντοιν ἡμῖν ἃ τὴν ὑγιᾶ πίστιν καὶ τὸ Χριστοῦ ξυνίστησιν εὐαγγέλιον καὶ τὸ κήρυγμα, δογμάτων ὀρθῶν τε φημὶ καὶ τῶν ἀπταίστων περὶ Θεοῦ λόγων, ὅσοι τε περὶ τῆς μακαρίας καὶ ἀρχικῆς καὶ ὁμοουσίου Τριάδος καὶ ὅσοι τῆς διὰ σαρκὸς περὶ ἡμᾶς οἰκονομίας τοῦ ἐνυποστάτου Θεοῦ Λόγου τοῦ ἑνὸς τῆς μακαρίας ταύτης Τριάδος, καὶ δὴ καὶ πολιτείας θεοπρεποῦς καὶ ἱερῶν ἔργων· ἐπειδὴ πίστις νεκρά τις καὶ ἀκίνητός ἐστι, κατά γε τὸ εἰρημένον, ἔργων ὑστεροῦσα τῶν καταλλήλων· ἐπειδὴ τούτων ἑκατέρων ἄκροι τεχνῖται καὶ μύσται καὶ μυσταγωγοὶ τοῖς ἀπὸ Χριστοῦ καλουμένοις ἡμῖν ἱερωσύνη τε φημὶ καὶ μοναδικὴ καθεστήκασι πολιτεία ταῖς ἀγγελικαῖς καὶ ἀύλοις τάξεσιν ἑκατέρα μετὰ τῆς ὕλης ὑπὲρ φύσιν ἀμιλλωμένη, καθαίρουσαί τε καὶ φωτίζουσαι καὶ ξυνιστᾶσαι τὸ πλάσμα τῷ πλάσαντι καὶ τῇ εἰκόνι γε καλῶς ἀποδιδοῦσαι τὸ κατ' εἰκονα, τοὺς ἐν ἑκατέροις κορυφαίους ἀπολαβὼν Γρηγορᾶς οὑτοσίν, ἱεράρχας τε, φημί, καὶ ποιμένας λαῶν καὶ δὴ καὶ τοὺς τῆς νοερᾶς ἡσυχίας καὶ προσευχῆς σπουδαστὰς καὶ Θεοῦ θεωρίαν καὶ ἕνωσιν ἀγάπῃ τελείᾳ καὶ νήψει διὰ βίου γε παντὸς ἀμελητὶ πραγματευομένους, τούτους τοιγαροῦν Γρηγορᾶς ἔργον ἑαυτοῦ καὶ τῶν οἰκείων λόγων πεποιημένος, ψεύδει καὶ συκοφαντίᾳ καὶ τῇ κατὰ Χριστοῦ περιφανεῖ μανίᾳ πῶς ἂν εἴποις ἐστομωμένων καὶ τεθηγμένων [1]), οὕτω σαφῶς τε καὶ συντόμως εἷς τε τὸ Χριστοῦ εὐαγγέλιον καὶ τὴν πίστιν καὶ πᾶσαν ὁμοῦ τὴν ἐκκλησίαν διαῤῥήδην τὰ πάντων αἴσχιστά τε καὶ ἀτοπώτατα καθυβρίζει, διὰ μὲν τῶν προυχόντων ἱερέων καὶ διδασκάλων καὶ τῆς ἱερᾶς ἐπιστήμης αὐτῶν καὶ θεολογίας εἰς τὴν εὐσέβειαν [ἀν]εξυβρίσας ἀτόπως, διὰ δ' αὖ τῶν θεοφόρων τε καὶ θεοειδῶν ἐκεινων, οσοι δηλαδὴ

[1]) Въ спискѣ еп. Порфирія написано: ἐστομωμένος καὶ τεθηγμένος, а ων въ обоихъ словахъ стоитъ надъ ος. — Ред.

νήψει καὶ προσευχῇ καὶ τῇ τοῦ Θεοῦ προσέχουσι θεωρίᾳ, τὴν ἀποστολικὴν καὶ πατρικὴν καὶ θεοπρεπῆ πολιτείαν κατὰ ταὐτὰ μυκτηρίσας καὶ καθυβρίσας, μᾶλλον δὲ καὶ δι' ἑκατέρων ἑκάτερα. Ἐπειδὴ καὶ ξυμπεφυκότα πως ἀλλήλοις ταυτὶ καὶ ἀχωρίστως γε ξυνημμένα, ὡς μήτε πίστιν εἰλικρινῆ καὶ δογμάτων ἀκρίβειαν καὶ θεολογίαν ἄπταιστον συνεστάναι πολιτείας ἱερᾶς ἄνευ μήτε πολιτείαν εὐαγγελικὴν αὖθις καὶ σῶμα καὶ νοῦν καὶ πρᾶξιν καὶ λόγον κεκαθαρμένα καὶ τὸ διὰ πάντων τουτωνὶ κατηρτίσθαι καὶ σώζοντα λόγον ἴσχειν, δογμάτων ὑγιῶν δίχα καὶ τῶν προσηκόντων, ἥπερ ἔφην, περὶ Θεοῦ διανοημάτων καὶ λόγων ἐν τῷ παρασχόντι τῆς χρείας· ψυχῆς γάρ πως καὶ σώματος οἱονεὶ καὶ ταῦτα πρὸς ἄλληλα λόγον ἴσχει, εἰ μή τι καὶ πλέον ἔχομεν λέγειν, ὡς καὶ ἀμφοτέρων τῶν μερῶν νεκρουμένων τῇ ἀπ' ἀλλήλων γε διαιρέσει καὶ τῇ τομῇ. Οὕτω Γρηγορᾶς, καὶ Βαρλαὰμ τὸν καθηγητὴν ἐν τοῖς τοιούτοις ὑπερσχὼν πολλῷ τινι τῷ μέσῳ, οὐδὲ τοῖς ἀρχαίοις αἱρετικοῖς τε καὶ κακοδόξοις παραβάλλεσθαι δίκαιος ἂν εἴη τῇ κατὰ τοῦ εὐαγγελίου καὶ τοῦ Χριστοῦ παντοδαπῇ ταύτῃ μάχῃ, τοὺς μὲν παρευδοκιμηκὼς ἅπαντας ἐκ πολλοῦ πάνυ τοῦ περιόντος, Ἰουδαίοις δὲ καὶ Ἕλλησι μόνοις ἐν ἐκείνοις ἀμιλληθείς. Οὐδὲ γὰρ οὐδ' οἱ κτίσμα γε τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα μετ' Ἀρείου τε καὶ Μακεδονίου τολμηρῶς τε καὶ ἀθέως εἰπόντες καὶ τῆς εὐαγγελικῆς κατὰ Γρηγορᾶν κατεξανέστησαν πολιτείας καὶ τοῦ παντὸς οὐτωσὶ κατωρχήσαντο, πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἐδοκουν καὶ σχῆμα καὶ προσωπεῖον γοῦν εὐσεβείας τι περιφέρειν καὶ ἱερέας αἰδεῖσθαι καὶ πολιτείαν ἀρίστην καὶ τοὺς αὐτῆς ἐπαινεῖν χορευτάς, ὡς καὶ Γρηγόριον, τὴν θεολόγον φημὶ γλῶτταν, ἐν τοῖς περὶ τοῦ Πνεύματος τοιάδε πρὸς ἐκείνους εἰπεῖν· «τοσοῦτον ὑμῶν περίεχομαι καὶ τοσ- «οῦτον ὑμῶν αἰδοῦμαι τὴν εὔκοσμον ταύτην στολὴν καὶ τὸ χρῶμα τῆς ἐγκρα- «τείας καὶ τὰ ἱερὰ ταῦτα συστήματα καὶ τὴν σεμνὴν παρθενίαν καὶ κάθαρσιν «καὶ τὴν πάννυχον ψαλμῳδίαν καὶ τὸ φιλόπτωχον καὶ φιλάδελφον καὶ φιλόξενον, «ὥστε καὶ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ καὶ παθεῖν τι ὡς κατάκριτος δέχομαι, μόνον «εἰ σταίητε μεθ' ἡμῶν καὶ κοινῇ τὴν Τριάδα δοξάσαιμεν». Ὥστ' οὐδὲν ἀπεικὸς οὐδ' ὁ λόγος ἡμῖν οὐτοσὶν ἔσχεν, Ἕλλησί τε καὶ Ἰουδαίοις τοὺς ὑβριστὰς καὶ τῆς πολιτείας ὁμοῦ καὶ τῶν δογμάτων συντεταχόσι τῶν ἱερῶν, ὧν τοῖς μὲν σκάνδαλον, τοῖς δὲ μωρία[ν], κατὰ τούτους γε αὐτούς, ὁ τοῦ Χριστοῦ σταυρὸς ἐνομίσθη.

VIII. Ἐπεὶ δὲ καὶ τὸ τῆς ἱερᾶς προσευχῆς θεῖον μυστήριον καὶ τὴν τοῦ θείου Πνεύματος μυστικὴν ἐνέργειάν τε καὶ ἐποψίαν εἰς τὸν Βεελζεβοὺλ ἀνάγων, ἢ κατάγων οἰκειότερον εἰπεῖν μᾶλλον, ὁ μάταιος οὐτοσίν, ἰουδαικῶς τε καὶ φαρισαικῶς καὶ αὐτό, φημί, τοῦτο, Μασαλιανοὺς καὶ Εὐχίτας τινὰς ἀποκαλεῖ τοὺς

θεοειδεῖς ἐκείνους, ἐρωτητέον αὐτὸν καὶ πάλιν· τίνες ἂν εἶεν οἱ τὰ Μασαλιανῶν τε καὶ ὧν φησὶν Εὐχιτῶν φρονοῦντες; οἱ πνεύματι καὶ νῷ προσευχόμενοι καὶ ψάλλοντες οὗτοι, κατὰ τὸν σοφὸν Παῦλον, καὶ τὸ τοῦ νοῦ ὀπτικὸν ἀποκαθαίροντες πράξει καὶ λόγῳ πρὸς τὴν ὑποδοχὴν τῆς τοῦ Πνεύματος ἐνεργείας τε καὶ ἐλλάμψεως κατὰ τοὺς θεοειδεῖς καὶ φωτοειδεῖς πατέρας ἐκείνους, «νοῦ κατάστασίς «ἐστι» λέγοντας «ὕψος νοητὸν οὐρανίῳ χρώματι παρεμφερές, ᾧ καὶ τὸ τῆς ἁγίας «Τριάδος κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἐπιγίνεται φῶς»[1]) καὶ ὡς «κατὰ τὸν καιρὸν τῆς προσευχῆς ὁ κεχαριτωμένος νοῦς ὁρᾷ τὴν ἑαυτοῦ καθαρότητα ὁμοίαν τῇ «ἐπουρανίῳ χροιᾷ, ἥτις Θεοῦ ὑπὸ τῆς γερουσίας Ἰσραὴλ ὠνόμασται τόπος, ἡνίκα «ὤφθη αὐτοῖς ἐν τῷ ὄρει»[2]) καὶ ὅτι «καθαρότης ἐστὶ νοός, ἐφ' ᾗ διαυγάζει ἐν τῷ «καιρῷ τῆς προσευχῆς τὸ φῶς τῆς ἁγίας Τριάδος»[3]· οἱ δὴ τὰ τοιαῦτα φρονοῦντές τε καὶ πάσχοντες μακαρίως μετὰ τῶν μακαρίων τουτωνί, Γρηγορᾶ, τοῖς σοῖς ἂν εἶεν δίκαιοι συγκαταλέγεσθαι Μασαλιανοῖς, ὅπερ αὐτὸς ἐν τοῖς σοῖς λόγοις ἀξιοῖς, ἢ σύ γ' αὐτὸς μᾶλλον, ὁ τἀκείνων κακῶς καὶ φρονῶν καὶ γράφων; Σὺ πάντως. Καὶ οὐκ ἂν ἀρνηθείης, ὡς ἐγῷμαι, ποτὲ τὰ σὰ παιδικά. Ἔλεγες καὶ γὰρ ἐν τοῖς φθάσασιν αὐτὴν εἶναι τὴν οὐσίαν τοῦ Θεοῦ μεθεκτὴν τοῖς ἀνθρώποις, αὐτὴν τὴν ἀνωτάτω θείαν Τριάδα, τὸν Πατέρα δηλαδὴ καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐ κατὰ τὴν δημιουργικὴν καὶ προνοητικὴν καὶ ζωοποιὸν καὶ παντουργὸν δύναμιν, οὐ κατὰ τὴν εἰρηνοποιὸν καὶ καλοποιὸν καὶ σοφοποιὸν καὶ θεουργὸν καὶ φυσικὴν χάριν τε καὶ ἐνέργειαν μετεχομένην καὶ ἐνοικοῦσαν τοῖς ἰδίοις ποιήμασιν, ἀλλὰ ποτὲ μὲν κατὰ τὴν οὐσίαν αὐτήν, ποτὲ δὲ καὶ κατὰ τὰς ὑποστάσεις, ὁπηνίκα δὴ καὶ τὸ δεσποτικὸν ἐκεῖνο πρὸς τοὺς σοφοὺς ἀποστόλους ὑπ' Ἀθανασίου τῆς λαμπρᾶς καὶ θεολόγου φωνῆς μετὰ τῶν σῶν ἑταιροτάτων Μασαλιανῶν κακῶς ἐλεγχθεὶς ἐξηγούμενους τὸ «ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα», φημί, «καὶ μονὴν παρ' αὐτῷ ποιήσωμεν», ἔτι καὶ τὴν κατ' αὐτῶν συγκροτηθεῖσαν τοῖς ὀρθοδόξοις ἱερὰν σύνοδον σὺν αὐτοῖς ἐπιοῦσαν κατὰ κεφαλῆς ἔσχετε, «γίνε«ταί τις» λέγουσαν «ἐπιδημία τοῦ παρακλήτου, καὶ ἐνοικεῖ τοῖς ἀξίοις ὁ Θεός, ἀλλ' «οὐχ ὡς ἔχει φύσεως ἡ θεότης». Ὅτι δὲ καὶ τὴν ἱερὰν καὶ θεοδίδακτον καὶ θεουργὸν προσευχὴν ὥς τι τῶν ἐπιῤῥήτων τε καὶ σκαιῶν αὐτοῖς ἐγκαλεῖς, Εὐχίτας τινὰς προφέρων τοὺς κακῶς χρωμένους αὐτῇ καὶ δι' ἐκείνων αὐτήν τε, φημί, ταύ-

---

[1]) Въ спискѣ еп. Порфирія, на полѣ листа, противъ этого мѣста, написано: «Τοῦ ἁγ. Νείλου». — Ред.

[2]) Тамъ же: «Τοῦ ἁγ. Ἰσαάκ». — Ред.

[3]) Тамъ же: «Τοῦ αὐτοῦ». — Ред.

την καὶ δὴ καὶ τοὺς θιασώτας αὐτῆς μετὰ πολλῆς τῆς ἀπονοίας ἢ ἀνοίας ὑβρίζων, πάνυ μοι δοκεῖς οὐ μόνον ἄγευστός τε καὶ ἀμαθὴς ἱερᾶς προσευχῆς αὐτὸς εἶναι καὶ τῶν ταύτης καλῶν, ἀλλὰ καὶ τῶν ὑπὲρ αὐτῆς χρησμῶν τε καὶ τῆς λαμπρᾶς ἅμα καὶ συνεχοῦς διδασκαλίας ἢ μηδ' ἀκηκοέναι τὴν ἀρχὴν συνετῶς ἢ καὶ ἀκηκοὼς λήθην ἐκείνων σχεῖν ἑκοντὶ καὶ παραλογίσασθαι τοῖς ἄλλοις κατὰ ταὐτά, καὶ οὐ τοῦτό γε μόνον, ἀλλὰ καὶ τοῖς πειθαρχοῦσί τε καὶ χρωμένοις αὐτὸ δὴ τοῦτο προσεγκαλεῖν. Οὐ μονον καὶ γὰρ πρὸς ἑαυτὸν αὐτὸς ὁ Χριστὸς ἀναχωρῶν συνεχῶς καὶ προσευχόμενος φαίνεται νύκτωρ καὶ μεθ' ἡμέραν, ποτὲ μὲν τοὺς προύχοντας τρεῖς ἔχων μεθ' ἑαυτοῦ τῶν ἱερῶν μαθητῶν, ὥσπερ ἐπὶ τοῦ Θαβωρίου τότε, ὁπηνίκα δὴ καὶ προσευχομένου τὸ τῆς θεότητος ἀπρόσιτον ἐξέλαμψε φῶς καὶ ἡ τοῦ Πατρὸς ἐξεφάνη βασιλεία κατὰ τὴν ὑπερφυᾶ καὶ θαυμαστὴν αὐτοῦ πρόῤῥησιν, ἧς οὐκ ἐνεγκόντες τὴν αἴγλην οἱ μαθηταὶ ἔπεσον ἐπὶ προσωπον αὐτῶν, κατὰ τὸν θεῖον χρησμόν, καὶ ἐφοβήθησαν σφόδρα· ποτὲ δὲ καὶ κατὰ μόνας αὐτὸς ἑαυτῷ συγγινόμενος μόνῳ καὶ τύπους ἡμῖν διδοὺς ἡσυχίας καὶ σχολῆς ἅμα καὶ προσευχῆς ἱερᾶς. Οὐ γὰρ δὴ τῶν τοιούτων αὐτὸς ἐδεῖτο Θεὸς ὤν, ἀλλὰ καὶ λόγοις ὡσαύτως ἐκπαιδεύων τά γε τοιαῦτα νῦν μὲν «γρηγορεῖτε καὶ προσεύχεσθε» πρὸς τοὺς μαθητὰς ἔλεγε καὶ «ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε «ἐκφυγεῖν πάντα τὰ μέλλοντα ‹γίνεσθαι› καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ «ἀνθρώπου»· νῦν δὲ καὶ παραβολικῶς αὐτοὺς ἐνῆγε, κατὰ τὸν αὐτὸν εὐαγγελιστήν, εἰς «τὸ δεῖν αὐτοὺς πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν» καὶ δὴ καὶ ῥήμασιν αὐτοῖς τοὺς τῆς προσευχῆς ἱεροὺς ὑπέγραφε τύπους, αἰτησαμένων τῶν μαθητῶν, «οὕτω» λέγων «προσεύχεσθε ὑμεῖς». Ὧι δὴ καὶ Παῦλος ὁ σοφὸς μαθητὴς κατ' ἴχνος ἑπόμενος «ἀδιαλείπτως προσεύχεσθε» φησίν, «ἐν παντὶ εὐχαριστεῖτε», καὶ αὖθις «τῇ προσευχῇ» φησί «προσκαρτεροῦντες, ταῖς χρείαις τῶν ἁγίων κοινω- «νοῦντες», καὶ «προσεύξομαι» φησί «τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ». Δαβὶδ μὲν οὖν ὁ τῆς παλαιᾶς θεολόγος καὶ μελῳδὸς «εὐλογήσω» φησί «τὸν Κύριον «ἐν παντὶ καιρῷ· διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου», καὶ «καθ' ἑκά- «στην ἡμέραν» φησίν «εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου», καὶ «αἶνεσιν Κυρίου λαλήσει τὸ στόμα μου», καὶ «εὐλογείτω πᾶσα σάρξ τὸ ὀνομα τὸ ἅγιον αὐτοῦ», καὶ πρὸς τὸν Θεὸν αὖθις «οἱ οσιοί σου εὐλογησάτωσάν σε» φησί, καὶ «αἰνεῖτε τὸν «Κύριον πάντες οἱ ὁσιοι αὐτοῦ», τοὺς ὁσίους τουτουσὶ Πνεύματι θείῳ προαινιττόμενος εἴπερ τινὰς μάλιστα. Ὁ δὲ τῆς νέας θεολόγος «μνημονευτέον Θεοῦ» φησί «μᾶλλον ἢ ἀναπνευστέον»· πρὸς δὲ τοὺς ἐγκαλοῦντας τὴν τῆς ἱερωσύνης φυγὴν μετὰ τὴν ἐπάνοδον αὖθις ἀπολογούμενος ὁ αὐτὸς «οὐδὲν ἐδόκει μοι τοιοῦτον»

φησίν «οἷον μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, εἰς ἑαυ-
«τὸν συστραφέντα, μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον οτι μὴ πᾶσα ἀνάγκη,
«ἑαυτῷ προσλαλοῦντα καὶ τῷ Θεῷ ζῆν ὑπὲρ τὰ ὁρώμενα καὶ τὰς θειας ἐμφά-
«σεις ἀεὶ καθαρὰς ἐν ἑαυτῷ φέρειν ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανω-
«μένων, ὀντως ἔσοπτρον ἀκηλίδωτον Θεοῦ καὶ τῶν θείων ἀεὶ γινόμενον, φωτὶ
«προσλαμβάνοντα φῶς καὶ ἀμαυροτέρῳ τρανότερον, ἤδη τὸ τοῦ μέλλοντος αἰῶνος
«ἀγαθὸν καρπούμενον». Ὁ δὲ συνασκητὴς αὐτῷ τῶν τοιούτων καὶ σύμπνους, Βα-
σίλειος ὁ μέγας, φημί, περὶ τοῦ καθ' ἡσυχίαν ἐπιστέλλων αὐτῷ βίου, «εὐχαί»
φησί «τὰς ἀναγνώσεις διαδεχόμεναι νεαρωτέραν τὴν ψυχὴν καὶ ἀκμαιοτέραν τῷ
«πρὸς Θεὸν ποθῳ κεκινημένην παραλαμβάνουσιν. Εὐχὴ δὲ καλὴ ἡ ἐναργῆ ἐμποι-
«οῦσα τοῦ Θεοῦ ἔννοιαν τῇ ψυχῇ. Καὶ τοῦτό ἐστιν Θεοῦ ἐνοίκησις, τὸ διὰ τῆς
«μνήμης ἐνιδρυμένον ἔχειν ἐν ἑαυτῷ τὸν Θεόν· οὕτω γινόμεθα ναὸς Θεοῦ, ὅταν μὴ
«φροντίσι γηίναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται, ὁταν μὴ τοῖς ἀπροσδοκή-
«τοις πάθεσιν ὁ νοῦς ἐκταράσσηται». Τὸ δὲ τῆς ἐκκλησίας ἱερόν τε καὶ φιλόσο-
φον στόμα, Ἰωάννης ὁ Σύρος φημί, τὰ τῆς θείας Χριστοῦ θεολογῶν μεταμορ-
φώσεως, «μήτηρ προσευχῆς ἡσυχία» φησί, «προσευχὴ δὲ θείας δόξης ἐμφάνεια·
«ὅταν γὰρ τὰς αἰσθήσεις μύσωμεν καὶ ἑαυτοῖς καὶ Θεῷ συγγενώμεθα καὶ τῆς
«ἔξωθεν τοῦ κόσμου περιφορᾶς ἐλευθερωθέντες ἐντὸς ἑαυτῶν γενώμεθα, τότε
«τρανῶς ἐν ἑαυτοῖς τοῦ Θεοῦ τὴν βασιλείαν ὀψόμεθα. Ἡ βασιλεία γὰρ τῶν οὐρα-
«νῶν, ἥτις ἐστὶ Θεοῦ βασιλεία, ἐντὸς ὑμῶν ἐστιν, Ἰησοῦς ὁ Θεὸς ἀπεφθέγξατο.
«Δοῦλοι μὲν γάρ» φησί «φόβῳ καὶ πόθῳ δι' αἰτήσεως τῷ δεσπότῃ προσίασι· καὶ
«τῆς πρὸς Θεὸν ἐκδημίας τε καὶ ἑνώσεως ἡ προσευχὴ τῷ νῷ γίνεται πρόξενος,
«τρέφουσα τοῦτον δι' ἑαυτῆς καὶ ῥωννύουσα· δεσπότης δέ» φησί «πῶς προσεύξεται
«ἢ πῶς δεόμενος παραστήσεται; Ἢ δῆλον ὡς τὸ ἡμέτερον οἰκειούμενος πρόσω-
«που καὶ παιδαγωγῶν ἡμᾶς καὶ ὁδοποιῶν πρὸς τὴν διὰ προσευχῆς πρὸς Θεὸν
«ἀνάβασιν καὶ διδάσκων ὡς τῆς θείας δόξης ἡ προσευχὴ καθίσταται προξενος;»
Οἷς δὴ καὶ Ἰωάννης ὁ τῆς ἀσκητικῆς Κλίμακος συνάδων δημιουργὸς καὶ
διδάσκαλος «Ἰησοῦ μνήμη» φησί «κολληθήτω πνοῇ σῇς ῥινός, καὶ τότε
«γνώσῃ ἡσυχίας ὠφέλειαν», καὶ αὖθις «Ἰησοῦ» φησίν «ὀνόματι μάστιζε πολε-
μίους».

Καὶ μακρὸν ἂν εἴη καὶ τοῦ παρόντος καιροῦ καὶ τῆς ὥρας ἔξω τ‹ὰ› κατὰ
μέρος ἐφεξῆς λέγειν, τὰ περὶ τῆς ἱερᾶς δηλαδὴ προσευχῆς τοῖς θεοφόροις τούτοις
ὡσαύτως ῥηθέντα, ἃ δὴ καὶ κανόνες καὶ γνώμονες οἱονεί τινές εἰσι τοῖς τὴν ἱερὰν
μετιοῦσι καὶ θαυμαστὴν ταύτην φιλοσοφίαν πρὸς τὸν πρωτότυπον ἐκεῖνον θεῖον

κανονα τὸν ἕνα πάντων καθηγητὴν ἀπευθύνοντα. Τινας οὖν φησὶ Γρηγορᾶς τοὺς Εὐχίτας εἶναι καὶ Μασαλιανούς; τοὺς νῦν τὴν νοερὰν προσευχήν τε καὶ νῆψιν ἱερῶς μετιόντας ὁσίους κατὰ μίμησιν τούτων τῶν θεοφορων; ἢ τούτους μᾶλλον τοὺς ὁδηγοὺς τῶν τοιούτων; ὁ γὰρ τὰ σπέρματα παρασχὼν καὶ τῶν φύντων αἴτιος, φησί τις των ἐξω· ἢ καὶ τούτους κἀκείνους; τῶν γὰρ αὐτῶν ὑπεύθυνοι κατὰ Γρηγορᾶν καὶ οὗτοι κἀκεῖνοι, καὶ δεῖ κατὰ ταὐτὰ τὴν ἴσην ἑκατέροις δίκην λαγχάνειν. Τὸ γὰρ ὁτι καὶ προς τὸν κοινὸν ἀνατρέχει ταυτὶ δεσπότην κατὰ πᾶσαν ἀνάγκην νῦν ἀφίημι λέγειν, τὴν ὑπερβολὴν τῆς τοῦ φιλοσόφου βλασφημίας ἀποποιούμενος. Ἀλλὰ πρὸς ἐκεῖνον ἐπάνιμεν δὴ καὶ αὖθις. Εἰπὲ τοιγαροῦν, ὦ φιλόσοφε, πρὸς τῶν σῶν ἀστέρων καὶ ἀριθμῶν καὶ γραμμῶν καὶ σιλλογισμῶν· πόθεν κἀκ τίνος ἀξιολόγου τῆς ἀρχῆς τε καὶ τῆς αἰτίας ὁρμώμενος τοὺς τῆς μακαρίας καὶ θεοειδοῦς προσευχῆς τούτους ἐργάτας τοῖς Εὐχίταις ἐκείνοις οἷς λέγεις συνῆψας, μᾶλλον δ' αὐτοὺς ἐκείνους καὶ οὐκ ἄλλους φὴς εἶναι τούτους; Ἆρ' ἐπειδὴ τὸ ἀδιαλείπτως προσεύχεσθαι καὶ νοῦν τηρεῖν καὶ κατὰ μόνας ἑαυτοῖς τε καὶ Θεῷ συγγίγνεσθαι διὰ βίου, καθ' ὅσον οἷόν τε, σπουδὴν παρὰ πάντα ποιοῦντα‹ι› τὸν βίον; Ἀλλὰ ταῦτα Χριστοῦ τε καὶ τῶν πρώτων αὐτοῦ μαθητῶν πρὸ βραχέος ἐδείχθη σπουδάσματά τε καὶ παραγγέλματα. Ἀλλὰ διὰ τὴν προσευχὴν καὶ τὴν περὶ αὐτὴν ἀκάματον ἐκείνην σπουδὴν δεῖ καὶ τοὺς θεοφορους τούτους κατὰ ταὐτὰ τοῖς αἱρετικοῖς ἐκείνοις ἐλαύνεσθαι, φαίης ἂν αὐτος; Καὶ εἰ ταῦθ' οὕτω δεῖ γίγνεσθαι, κατὰ τὴν σὴν ὑψηλὴν ταυτηνὶ φιλοσοφίαν τε καὶ διδασκαλίαν, ὁτου χάριν μὴ καὶ τὴν θεοπαράδοτον προσευχὴν, καθ' ἣν καὶ πατέρα τὸν Θεὸν ὑπερφυῶς οἱ πιστοὶ καλεῖν ἐδιδάχθημεν, τῶν τῆς ἐκκλησίας ἐκβάλλεις προθύρων, ἐπειδὴ καὶ Μασαλιανοὶ ταύτῃ μᾶλλον ἡμῶν διὰ βιου παντὸς χρῶνται, πᾶσαν ἄλλην εὐχὴν ἱερὰν καὶ ψαλμῳδίαν παραιτούμενοι; Δεῖ δὲ κατὰ σὲ μηδὲ Θεὸν ἕνα καὶ μόνον τὸν τοῦ παντὸς σέβειν δεσποτην μηδὲ μοναρχίας ἀντιποιεῖσθαι, ἐπειδὴ καὶ Ἰουδαίοις καὶ Ἀχαιμενίδαις καὶ δὴ καὶ τοῖς ἐκ τῆς Ἄγαρ ὁμοῦ πᾶσιν αὐτὸ τοῦτο δοκεῖ, καὶ θεὸν ἕνα καὶ κύριον πρεσβεύουσι τοῦ παντός. Συνεκβαλέσθω δὲ καὶ Μωσῆς καὶ προφῆται σὺν αὐτῷ πάντες καὶ θεολογοι τῆς παλαιᾶς· τοῦτο δὴ φημὶ τὸ Μαρκίωνος· ἐπειδὴ καὶ Ἰουδαίοις δοκεῖ πως ταῦτα σεπτά. Ἀλλὰ καὶ το τῆς Τριάδος ὑπερφυὲς διαγραφέσθω κατὰ ταὐτά σοι μυστήριον διὰ τό πλῆθος καὶ τὴν διαφορὰν τῶν προσώπων, ὡς ἂν μὴ τὴν ἑλληνικὴν πολυθείαν καὶ αὐτος δοξαις πρεσβεύειν. Τί δέ; οὐχὶ καὶ οἱ δαίμονες Υἱὸν Θεοῦ τὸν Χριστὸν ἀπεκάλουν διαπρυσιῳ φωνῇ, «τι ἡμῖν καὶ σοί» λέγοντες, «Υἱὲ τοῦ Θεοῦ;» καὶ «οἶδά σε τίς εἶ, ὁ Υἱὸς τοῦ Θεοῦ;» Ἆρ' οὖν διὰ ταῦτα καὶ τὴν οὐράνιον καὶ θεοπνευστον ταύτην θεο-

λογίαν τε καὶ ὁμολογίαν ἀρνήσῃ καὶ ἄθεος ἔσῃ καὶ δαιμόνων καὶ Ἰουδαίων ἀτοπώτερός τις καὶ χείρων τά γε πρὸς τὴν εὐσέβειαν καὶ τὴν ἀνωτάτω περὶ Θεοῦ, φημί, δοξαν τε καὶ λατρείαν, ἐπειδή γε κἀκείνο‹ι›ς ουτω ταῦτα δοκεῖ, εἰ καὶ μὴ καλῶς μηδὲ κατὰ σώζοντα λόγον; Ἢ ἀγνοεῖς ὁτι σκότος ἐστὶν ὁ τοῦ ψεύδους πατὴρ καὶ φῶς ὑποκρίνεται καὶ εἰς ἄγγελον μετασχηματίζεται φωτός, κλέπτων εἰς ἑαυτὸν ὁ μιαρὸς τὴν τοῦ Θεοῦ δοξαν καὶ σφετεριζόμενος; Οὕτω προφήτας ἀποστείλαντος τοῦ Θεοῦ πάλαι διὰ τὴν τοῦ γένους ἡμῶν σωτηρίαν, τοὺς ψευδοπροφήτας ἐκεῖνος τὸ ψεῦδος διδάσκοντας ἀνταπέστειλεν, οὕτως ἐν Αἰγύπτῳ Μωσῇ τε καὶ Ἀαρὼν τοῖς ὑπουργοῖς τῶν τοῦ Θεοῦ τεραστίων τοὺς περὶ Ἰαννῆν τε καὶ Ἰαμβρῆν θαυματοποιούς τε καὶ μάγους ἀντέστησεν, οὕτω τοῖς ἀποστόλοις συγκατέμιξε τοὺς ψευδαποστόλους καὶ τοὺς πλάνους καὶ ἀπατεῶνας τοῖς ὁδηγοῖς καὶ διδασκάλοις τῆς ἀληθείας· καὶ τί χρὴ τἄλλα λέγειν, ὁπου γε καὶ Χριστοῦ τοῦ πάντων δεσπότου κατὰ ταὐτὰ δηλαδὴ συγχωροῦντος τὸν ἀντίχριστον ἀντεισάξει τὸ τελευταῖον κατὰ τὸν αὐτοῦ, φημί, θεῖον λόγον, «ἐγὼ ἦλθον» εἰπόντα «πάλαι πρὸς Ἰουδαίους ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβά«νετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε»;

IX. Ταῦτα μὲν οὖν οὐ καθάπαξ ἀγνοεῖ Γρηγορᾶς, ὡς αὐτὸς ἐγὼ τέως οἶμαι, κακουργεῖ δὲ μᾶλλον ἐκὼν κατὰ τῆς ἐκκλησίας καὶ τοῦ Θεοῦ συμπράττων καὶ κατ' αὐτὰ δὴ ταῦτα τῷ ἀρχεκάκῳ δαίμονι καὶ διάβολος ἄλλος τοῖς ἀπὸ Χριστοῦ καλουμένοις γιγνόμενος. Ἃ γὰρ ἐκεῖνος τῶν ἱερῶν ἀποσυλήσας λόγων πανούργως τοῖς ἰδίοις αὐτοῦ συνῆψεν, ἵνα κλέπτῃ τῷ φαινομένῳ καὶ μὴ γυμνὸν τὸ τῆς πλάνης προκείμενον ἄγκιστρον αὐτόθεν ἀπελαύνῃ τὸ θήραμα, ταῦθ' ὁ συνεργάτης αὖθις οὗτος ἐκείνου κατὰ τῆς ἐκκλησίας Χριστοῦ λαμβάνων ἐκεῖθεν, τὴν τῶν δαιμόνων λατρείαν ἐπιγράφειν αὐτῇ σπεύδει, καθάπερ ἐξ ἀντιστρόφου οὐ τοὺς λῃστάς τε καὶ ἱεροσύλους ἐκείνους κακίζων, καθάπερ ἔδει, ἀλλὰ τοὺς τοῖς σφετέροις αὐτῶν ἱεροῖς κατὰ νομους ἱεροὺς δηλαδὴ καὶ θεσμὰ θεῖα χρωμένους, ἐπειδή γε κακῶς ἐκεῖνοι τούτων ἀποσυλήσαντες κάκιστα καὶ ὡς οὐκ ἔξεστι περιφέρουσιν. Ὁ δ' αὐτὸς ἄν μοι δοκοίη καὶ βασιλέα κακίζειν ὡσαύτως διὰ τὴν ἀλουργίδα τε καὶ τὸν ἐπὶ τῆς κεφαλῆς στέφανον, ἐπειδὴ καὶ τῶν ἐπιβούλων τε καὶ τυράννων πλείστοις κατὰ καιροὺς ἐξεγένετο κακῶς τουτοισὶ χρήσασθαι, καὶ ‹τῷ› Θεῷ μὴ κατάλληλον εἶναι τοὔνομα φάσκειν, διὰ τὸ καὶ κτίσμασι καὶ δαιμονίοις παρ' ὠντιν‹ων›οῦν ἐπιτεθεῖσθαι πάλαι κακῶς, καὶ τῷ Χριστῷ μὴ προσήκειν τὸ μέγα γε τοῦτο τῆς θεότητος ὁμοῦ καὶ τῆς ἀνθρωπότητος πρόσρημα διὰ τὸν ἀντίχριστον. Ἀλλὰ λῆρος ταῦτα καὶ γέλως καὶ πλάνη καὶ ἀθείας κολοφὼν ἄντικρυς. Τί δὲ καὶ

κοινόν, ὦ κενὲ σὺ καὶ κωμῳδὲ καὶ μῶμε τῶν ἱερῶν, ἄλλο κατιδὼν ἔχεις ἐν τούτοις κἀκείνοις, ὥστε καὶ κοινοποιεῖν ἅπαν τὸ κατ' αὐτούς, ἐκτὸς εἰ μὴ τὰς συκοφαντίας ἐκείνας αὖθις καὶ τὸ περιφανὲς καὶ ἀλλόκοτον λέγοις ψεῦδος, ἃ δὴ καὶ φθάσας ὁ λόγος ἤδη καλῶς μετὰ τῆς ἀληθείας ἐξήλεγξεν; Ἐκεῖνοι μὲν γὰρ πᾶσαν ἄλλην ἱερὰν εὐχήν τε καὶ δέησιν καὶ ψαλμῳδίαν θείαν ἀπαγορεύοντες, ἥπερ ἔφην, μόνῃ τῇ σπουδαίᾳ προσανέχουσιν, ὡς φασί, προσευχῇ· οἱ δ' ἡμέτεροι καὶ Θεοῦ οὗτοι προσεύχονται μὲν νοερῶς καὶ καθ' ἑαυτοὺς ἀεί δήποτε, καὶ τοῦτ' ἔστιν αὐτοῖς, φημί, προὔργου μάλιστα τὸ «ἀδιαλείπτως προσεύχεσθαι», καθὰ δὴ καὶ φθάσας ὁ σοφὸς Παῦλος μετὰ Χριστοῦ τοὺς τὰ ἐκείνου πολιτευομένους τε καὶ σπουδάζοντας τούτους ἐδίδαξε· συνεύχονται δὲ κατὰ ⟨πάντα⟩ ταὐτὰ καὶ ἀλλήλοις καὶ τῇ ἐκκλησίᾳ Χριστοῦ, νῦν μὲν «ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί «μου» λέγοντες καὶ «τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας «μου σύνεσιν» καὶ «ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγζομαι προβλήματα «ἀπ' ἀρχῆς»· νῦν δ' αὖθις· «εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός «μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ» καὶ «ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, «λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ» καὶ «αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου» καὶ «εὐλογείτω πᾶσα σάρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ» καὶ οσα ἑξῆς τοῦ θαυμαστοῦ, φημί, τούτου προφήτου· ὃν δὴ καὶ περιφέρουσιν ἐν τῇ γλώττῃ μάλιστα νύκτωρ καὶ μεθ' ἡμέραν καὶ τρυφήν τινα θείαν καὶ ἀμβροσίαν καὶ νέκταρ ἱερὸν τὰ τούτου ποιοῦνται, νύκτας ὅλας ἐν τούτοις ἄγρυπνοι διαγιγνόμενοι συνεχῶς καὶ μυστηρίοις ἱεροῖς καὶ ἀποστόλων καὶ μαρτύρων ὁμοῦ καὶ πατέρων ἐμπανηγυρίζοντες μνήμαις κροτοῦντές τε τὰ τῶν ἱερῶν ἐπ' αὐτοῖς μελῳδῶν τε καὶ μουσικῶν τουτωνὶ καὶ τίνας ἀνθρωπίνας ἑορτάς τε καὶ πανηγύρεις τῇ σπουδῇ καὶ συνδρομῇ καὶ ταῖς πνευματικαῖς οὐκ ἀποκρύπτοντες χάρισι; Καὶ Μασαλιανοὶ μὲν οἱ σοὶ καὶ Εὐχῖται, φιλόσοφε, οὕτως ἀφιλοσόφως καὶ τοῦτ' αὐτὸ φαύλως τε καὶ μοχθηρῶς πρὸς τὴν μελέτην τῶν θείων γραφῶν καὶ τῶν ἄλλων ἱερῶν πάντων ἴσχουσι λογων, ὡς μὴ μόνον ἄχρηστόν τινα καὶ κενήν, ἀλλὰ καὶ πονηρὰν ἀποκαλεῖν τὴν περὶ ταῦτα σπουδὴν καὶ μελέτην, τὰ τοῦ πονηροῦ πλάσματα· τοῖς δ' ἡμετέροις τουτοισὶ σοφοῖς τε καὶ φιλοσόφοις οἱονεί τις ψυχὴ καὶ ζωτικὴ δύναμις ἡ τούτων ἀνάγνωσις καὶ μελέτη διὰ βίου καθέστηκεν [1]), «ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε, «ὅλην τὴν ἡμέραν μελέτη μού ἐστι» μετὰ τοῦ Δαβὶδ λέγουσι καὶ «λύχνος τοῖς «ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου» καὶ «πεπυρωμένον τὸ λόγιόν «σου σφόδρα, καὶ ὁ δοῦλος σου ἠγάπησεν αὐτό» καὶ μετὰ τοῦ σοφοῦ Σολομῶν-

[1]) Тамъ же: «Чтеніе Библіи дома».—Ред.

τος αὖθις· «στόμα δικαίου ἀποστάζει σοφιαν» καὶ «σοφία Κυρίου φωτιεῖ πρόσω-«πον συνετοῦ» καὶ τὰ παραπλήσια τούτοις. Οἷς δὴ καὶ οἱ τῆς νέας ἑπόμενοι θεολόγοι καὶ τῆς πράξεως ἅμα καὶ θεωρίας τουτοισὶ τοῖς ἡμετέροις διδάσκαλοι, ὁ μὲν «ἠδύνθη μοι» φησί «τὰ τοῦ Θεοῦ λόγια ὡς κηρία μέλιτος, καὶ τὴν σύνεσιν «ἐπεκαλεσάμην καὶ τῇ σοφίᾳ ἔδωκα φωνήν μου»· [1]) ὁ δ' αὖ πρὸς τοῦτον αὐτὸν ἐπιστέλλων «μεγίστη» φησίν «ὁδὸς πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν ἡ μελέτη «τῶν θεοπνεύστων γραφῶν· ἐν ταύταις γὰρ καὶ αἱ τῶν πράξεων ὑποθῆκαι εὑρί-«σκονται καὶ οἱ βίοι τῶν μακαρίων ἀνδρῶν ἀνάγραπτοι παραδιδόμενοι οἷον «εἰκόνες τινὲς ἔμψυχοι τῆς κατὰ Θεὸν πολιτείας τῷ μιμητῇ τῶν ἀγαθῶν ἔργων «πρόκεινται, καὶ τοίνυν περὶ ὅπερ ἂν ἕκαστος ἐνδεῶς ἔχοντος ἑαυτοῦ αἰσθάνηται, «ἐκείνῳ προσδιατρίβων ὁ νοῦς, οἷον ἀπό τινος κοινοῦ ἰατρείου, τὸ πρόσφορον «εὑρίσκει τῷ ἀῤῥωστήματι φάρμακον» [2]).

X. Καὶ τοῖς μὲν Εὐχίταις τοῖς σοῖς, οἷα δὴ καὶ ἐρυννίς τις καὶ κακὸς οἰωνὸς τὰ τῶν χειρῶν ἔργα λελόγισται, μηδὲ τοῦ ἀποστολου διακούειν ἐθέλουσι Θεσσα-λονικεῦσι καὶ πᾶσιν ὁμοῦ τοῖς πιστοῖς δι' ἐκείνων νομοθετοῦντος τὸ τὸν ἀργὸν μηδὲ βρωμάτων μήδ' ἑστιάσεως ἅπτεσθαι καὶ ὅτι «ταῖς χρείαις μου καὶ τοῖς «οὖσι μετ' ἐμοῦ» φησί «διηκόνησαν αἱ χεῖρες αὗται» καὶ «πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας ἀντιλαμβάνεσθαι δεῖ τῶν ἀσθενῶν». Βασίλειος δ' αὖθις ὁ τῆς ἀσκήσεώς τε καὶ ἡσυχίας μέγας διδάσκαλος «τί μακαριώτερον» φησί «τοῦ τὴν «ἀγγέλων χορείαν ἐν γῇ μιμεῖσθαι, εὐθὺς μὲν ἀρχομένης ἡμέρας εἰς εὐχὰς «ὁρμῶντα καὶ ὕμνοις καὶ ᾠδαῖς γεραίροντα τὸν ποιητήν, εἶτα ἡλίου καθαρῶς «λάμψαντος ἐπ' ἔργα τρεπόμενον πανταχοῦ αὐτῷ τῆς εὐχῆς συμπαρούσης, καὶ «τοῖς ὕμνοις ὥσπερ ἅλατι παραρτύειν τὰς ἐργασίας; Τὸ γὰρ ἱλαρὸν καὶ ἄλυπον «τῆς ψυχῆς κατάστημα αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται». Οἷς δὴ καὶ καθα-περεί τινι στάθμῃ καὶ κανόνι τῆς φιλοσοφίας ἐκείνης οἱ καλοὶ σπουδασταὶ χρώ-μενοι καὶ τιμῶσι τὴν αὐτουργίαν εν τῷ τῆς χρείας καλοῦντι καὶ συζευγνύουσι ταύτῃ τοὺς ἱεροὺς ὕμνους τε καὶ τὴν προσευχήν, ὡς καὶ αὐτοὶ δῆπου πείρᾳ μαθόν-τες ἔχομεν παρ' ἐκείνοις ὄντες πάλαι τοῖς μακαρίοις, καὶ τῆς ἀδιαλείπτου κατὰ νοῦν ἔχονται προσευχῆς ἴσα δὴ καὶ αὐτῆς τῆς πνοῆς κατά γε τὰ προῤῥηθέντα, ὡς μηδ' ἐσθιόντων μηδὲ κοιμωμένων ἀφίστασθαι τούτων, ἀλλὰ τοὺς μὲν διά τὴν τῆς φύσεως ἀνάγκην καθεύδειν, τὴν δὲ καρδίαν ἀποστολικῶς γρηγορεῖν διὰ τῆν συνοῦσαν ὑπερφυᾶ καὶ ἀκάματον τοῦ Πνεύματος χάριν. Διὰ τοῦτο καὶ τούτους μὲν

[1]) Тамъ же: «Γρηγορίου Θεολόγου». — Ред.

[2]) Тамъ же: «Βασιλ. μεγ.», т. е. «Βασιλείου μεγάλου».—Ред.

ἀγάπη χαρακτηρίζει καὶ χαρὰ καὶ εἰρήνη καὶ πραότης ὁμοῦ καὶ ἐγκράτεια, καὶ ἁπλῶς οἱ τοῦ Πνεύματος πάντες καρποὶ δαψιλῶς ἐν αὐτοῖς βρύοντες· τῶν δὲ τῦφος καὶ ὑπεροψία καὶ ἀκρασία γαστρὸς καὶ ὀφθαλμῶν πλάνη καὶ ὑπόκρισις καὶ ὀργὴ καὶ θυμὸς καὶ ἀταξία καὶ προπέτεια γλώττης καὶ ὕβρις καὶ γέλωτες ἄσεμνοι, καὶ ὅσα τῆς τοῦ ἀντιθέτου πνεύματος ἐνεργείας γνωρίσματα πέφυκε. «Ποία γοῦν κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ;» φησὶν ὁ κοινὸς τῆς ἐκκλησίας διδάσκαλος. Ὡς ῥᾷον ἂν ὁ πίθηκος ἄνθρωπος εἴη διὰ τὸ μιμεῖσθαί πως τὸν ἄνθρωπον, ἢ πάρδαλις ἡ γαλῆ διὰ τὸ τοῦ σχήματος ἀμυδρόν, εἶπεν ἄν τις, ἀπήχημα καὶ τὰ εἴδωλα τῶν ἀλμάτων, ἢ τοὺς Εὐχίτας ἐκείνους, οὓς φησὶ Γρηγορᾶς, ἡσυχίας τινὸς ἐργάτας εἶναι καὶ προσευχῆς.

XI. Εἶεν, ἀλλ' ἐπειδὴ κἀκεῖνα τοῖς θεοφόροις τούτοις Γρηγορᾶς ἀθέσμως προσεγκαλεῖν οἴεται δεῖν, οὐδεμίαν οὐδαμῇ τῆς γλώττης λαμβάνων φειδὼ καὶ τοῦ ψεύδους καὶ τῆς ἁπλήστου συκοφαντίας, ἔφη καὶ γὰρ τοὺς τῆς ἡσυχίας τουτουσὶ καὶ τῆς νοερᾶς προσευχῆς σπουδαστὰς ‹καὶ› μετὰ τὸν τῆς γαστρὸς κόρον καὶ τὴν ἀδδηφαγίαν τε καὶ οἰνοφλυγίαν ὕπνῳ μακρῷ τινι καὶ θανάτου γείτονι καταλλήλως τῇ μέθῃ χρωμένους φαντασίαις τισὶ καὶ ὀνείροις προσέχειν κἀκεῖθεν προλέγειν καὶ μαντεύεσθαι περὶ τῶν μελλόντων πειρᾶσθαι, παρὰ τῶν ἑαυτοῦ Μασαλιανῶν καὶ τοῦτ' αὐτὸ πρὸς τοῖς εἰρημένοις λαβών· οὐδὲ τοῦτο σιγῇ παρελθεῖν δεῖν εἶναι νομίζω. Καίτοι γε καὶ τοῦτο τοῖς ἄλλοις ἤδη συνεξελήλεγκται, καὶ οὐδὲν τοῖς εἰρημένοις ἐλλείπει σχεδόν· τοῖς γὰρ τοιοῦτον ἐσπουδακόσι ζῆν βίον, ὁποῖον ὁ τῆς ἀληθείας ἡμῖν διὰ πάντων ὑπέγραψε λόγος, τί κοινὸν πρὸς τὰς ἀδδηφαγίας καὶ τὸν κόρον καὶ τὴν μέθην καὶ δὴ καὶ τὰς Μασαλιανὰς φαντασίας καὶ τοὺς ὀνείρους τοῦ φιλοσόφου; Ἀλλ' ἵνα πρὸς τῷ μηδὲν ὑγιές τι μηδὲ τῆς ἀληθείας ἐχόμενον μηδοπωστιοῦν αὐτὸν λέγειν κἀν τούτοις καὶ ὑπεύθυνον ἐκ τῶν αὐτοῦ λόγων μάλιστα δείξωμεν τὰ τοιαῦτα· τοῦτο γὰρ δὴ καὶ ὁ λόγος ἡμῖν φθάσας ὑπέσχετο· τὰς μὲν τῶν ἁγίων ἐκείνων ἱερὰς προφητείας περί τε τῶν κοινῶν καὶ ἰδίων πολλάκις καὶ πάλαι καὶ νῦν Πνεύματι γινομένας ἁγίῳ παρήσειν μοι δοκῶ τὸ τήμερον εἶναι, καὶ βασιλεῦσι καὶ ἰδιώταις καὶ μοναστα῀ς καὶ τοῖς προύχουσι τῶν ἱερέων καὶ πᾶσιν ὡς εἰπεῖν οὔσας γνωρίμους· αἱ δὲ τῶν ἀπιόντων ἐντεῦθεν σοροὶ καὶ τὰ ἐκεῖ θαυμαστῶς ἐνεργούμενα τοῖς ἐγγὺς ὁμοῦ καὶ τοῖς πόῤῥω, πᾶσαν ἐν βραχεῖ καὶ γῆν κατασχόντα καὶ θάλατταν καὶ χώρας καὶ πολεις Ἑλληνίδας ὁμοῦ καὶ βαρβάρους, καὶ προφήτας καὶ θεοφόρους καὶ σημείων καὶ δυνάμεων καὶ ἰαμάτων καὶ πάντων ὁμοῦ τῶν ἀποστολικῶν χαρισμάτων πλήρεις αὐτοὺς καὶ παρόντας καὶ ἀπογεγονότας λαμπρόν τι καὶ διαπρύσιον ἀνακηρύττει. Οἷς δήπου καὶ

Γρηγορᾶς καὶ οἱ κατ' αὐτὸν ἀπιστοῦσι μόνοι, καινὸν οὐδὲν οὐδὲ τοῦ κατ' αὐτοὺς ἔξω ποιοῦντες πράγματος οὐδὲ τὴν ἐξ ἀρχῆς οὐδοτιοῦν ὑπερβαίνοντες προθυμίαν τε καὶ τὴν ἔνστασιν· οἱ γὰρ τῷ Θεῷ μὴ διδόντες τὸ γ' εἰς αὐτοὺς ἧκον ἐνέργειαν κεκτῆσθαι τὴν κατὰ φύσιν, ἀλλ' ἀρκεῖσθαι μονονουχὶ κελεύοντες αὐτὸν ψιλῇ μόνῃ τῇ φύσει, μὴ μέντοι γε καὶ φυσικά τινα συνεπινοεῖν ταύτῃ, ἵνα μὴ σύνθετός τις καὶ πολλαπλοῦς ὁ ἁπλοῦς αὐτοῖς γίγνοιτο, ἢ πρὸς πολυθείαν, ὡς αὐτοί φασι, διὰ τῶν φυσικῶν ἐξολισθήσωσι[1]) τοῦ Θεοῦ, πῶς ἂν τὰ τῆς θείας ἐνεργείας ἀποτελέσματα καὶ ἐνεργήματα δέξωνται, τῆς μηδὲ τὴν ἀρχὴν κατ' αὐτοὺς οὔσης; Τοῦτο γάρ ἐστι κατὰ Γρηγορᾶν ἐκ τοῦ μηδαμῶς ὄντος γίνεσθαι μηδέν. Καὶ οἱ πάντα καὶ γραφικὸν καὶ θεολογικον τε καὶ πατρικὸν ὁμοῦ λόγον καὶ δὴ καὶ τὰς τῶν πραγμάτων παραγραφόμενοι φύσεις νοητῶν ἅμα καὶ αἰσθητῶν εἰκότως ἂν καὶ κατ' αὐτῶν ἀναισχυντοῖεν τῶν καινῶς γινομένων καὶ πᾶσιν ὀφθαλμοῖς ὁμοῦ τε καὶ γλώσσαις ὁρωμένων καὶ περιλαλουμένων καὶ δὴ καὶ λογογραφουμένων ὑπ' αὐτῶν ἐκείνων, φημί, τῶν ὁρώντων μεθ' ὅσης ἂν εἴποι τις τῆς ἀξιώσεως καὶ τοῦ σχήματος. Ἀλλ' οἱ περὶ Γρηγορᾶν ἢ μηδὲ γεγενῆσθαι φασὶ τὴν ἀρχὴν τὰ θαύματα τῶν ἁγίων ἐκείνων, ἀλλὰ ψεῦδος εἶναι κενὸν καὶ πλάσματα καὶ ὄχλον ῥημάτων ἁπλῶς τὰ περὶ ἐκείνων λεγόμενα πάντα, κἂν οἱ πάσχοντες εὖ Στεντόρειόν τι σχεδὸν καθ' ἑκάστην βοῶσι, κἂν οἱ τούτων θεαταὶ καὶ λόγοις καὶ γράμμασι μεγαλοπρεπῶς ἀνακηρύττωσι ταῦτα, κἂν ἀνατολή τε καὶ δύσις καὶ ἤπειρος ἅμα καὶ θάλαττα κροτῇ καὶ παιανίζῃ τὸ κατ' ἐκεῖνα· μηδὲ γὰρ βούλεσθαι φησὶν ἡμᾶς μηδοπωστιοῦν τὰ τοιαῦτα μηδὲ θαυμάτων ἐθέλειν ἀξιοῦν ὅλως τὸν δεῖνα μηδὲ τῷ καταλόγῳ τὸ παράπαν ἐγγράφειν. Ἢ εἰ τοῦτο γε καθ' ὑμᾶς, φησίν, ἐξ ἀντιστρόφου νικῴη, καὶ δυνάμεις ἐκεῖ καὶ θαύματα γίγνοιντο παρ' ἐκείνου, καὶ ἄλλως γε ὁπῃοῦν οὐκ ἔστι διαθέσθαι τὸν λόγον, δεδόσθω λοιπὸν ἐκεῖνα τῷ Βεελζεβοὺλ ὁμοῦ πάντα καὶ τῇ ἐκεῖθεν ἐνεργείᾳ ‹τε› καὶ τῇ δυνάμει· τοῦτο καὶ γὰρ φησὶ τῇ τῶν σοφῶν δεδόχθαι μᾶλλον βουλῇ καὶ τοῖς καθ' ἡμᾶς θεολογοις καὶ ῥήτορσι τούτοις τῶν θείων, καὶ ταῦτα δεῖ μᾶλλον κρατεῖν πάντων, καὶ ψήφισμα τουτὶ θαυμαστὸν τοῖς σοφοῖς κατ' ἐκείνων ἐξενηνέχθαι, τὸ πάντας ὁμοῦ φεύγειν ἐκεῖνα καὶ τὴν σορὸν καὶ τὸν ἐργάτην ἐκείνων, ὡς τῆς ἀντικειμένης δυνάμεως καὶ τῆς ἐνεργείας ὄντα.

XII. Οἴμοι. Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὸ σύντριμμα τῶν σοφῶν τοῦ λαοῦ μου; εὔκαιρον γὰρ καὶ ἡμᾶς ἐνταῦθα τὸν τοῦ θείου Ἱερεμίου θρῆνον ἀναλαβεῖν. Εἶπον γὰρ ἐν

[1]) Въ спискѣ еп. Порфирія, надъ σωσι написано: σειαν. — Ред.

ἑαυτοῖς· «σοφισθησόμεθα», καὶ τὰ τῆς ἀληθινῆς καὶ πρώτης σοφίας μακρὰν ἀπέστη ἀπ᾽ αὐτῶν, οὐ διὰ τὸ ἀκατάληπτον, φημί, καὶ δυστέκμαρτον ταύτης κατὰ τὸν τοῦ σοφοῦ λόγον, ἀλλὰ διὰ τὴν ἀπιστίαν τε καὶ τὴν ὕβριν μᾶλλον καὶ τὸ περιὸν τῆς ἀπαιδευσίας· φείδομαι γάρ τι πλέον εἰπεῖν, αἰδούμενος τὴν εὐλάβειαν. Ἰουδαίων μὲν οὖν τοῖς προύχουσι πάλαι τὰς τοῦ Χριστοῦ θείας δυνάμεις καὶ τὰ θαύματα τῷ Βεελζεβοὺλ καὶ τηκεῖθεν ἐπιγράφειν τετολμηκόσι δυνάμει τὴν δίκην ἀπαραίτητον ὁ Χριστὸς ἔσεσθαι προύφη νῦν τε κἀν τῷ μέλλοντι ἐκείνῳ αἰῶνι διὰ τὴν εἰς τὸ Πνεῦμα, φημί, βλασφημίαν, μηδὲ γὰρ ἀφεθήσεσθαί φησί ποτε τὴν ἁμαρτίαν αὐτοῖς μηδὲ συγγνώμης ἐπὶ τούτοις τυχεῖν, καίτοι γε καὶ τοῦ σωματικοῦ νέφους καὶ τοῦ προβλήματος τῆς σαρκὸς ἐκείνοις τότε προσισταμένων· οὐ γὰρ δὴ Θεὸν κἀκεῖνοι τὸν Χριστὸν ὁμολογεῖν ᾐρημένοι τὰς τούτου δυνάμεις ἔπειτα καὶ τὰ θαύματα τῷ δαιμονίῳ προσῆπτον, ἀλλὰ κακῶς ἐκεῖνον δηλαδὴ πρότερον λέγοντες καὶ ὡς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὕτω καὶ κατ᾽ ἐκείνων ἑαυτοῖς τε καὶ τοῖς αὐτῶν ἀκολούθως ἐχώρουν, ἀλλ᾽ ὁ Χριστὸς ταῖς μὲν κατ᾽ αὐτοῦ βλασφημίαις καὶ συγνώμην ἐδίδου διὰ τὴν σάρκα, ἀσύγγνωστά γε μὴν ἄλλως αὐτοῖς εἶναι τὰ κατὰ τῆς ἐνεργείας τοῦ θείου Πνεύματος ἔλεγε τῇ ἐναντίᾳ κακῶς ἐπιγράφουσι ταῦτα δυνάμει. Οἱ δὲ περὶ Γρηγορᾶν Θεὸν ἕνα τρισυπόστατον ὁμολογοῦντες τὸν πάντων δεσπότην, ἔπειτα τὴν αὐτοῦ φυσικὴν ἐνέργειαν καὶ τὸ παντοδύναμον βλασφημοῦντες ὅσῳ δεινότερά τε καὶ ἀτοπώτερα κακουργοῦσιν ἐκείνων; Οὐ μὴν ἀλλ᾽ εἰ καὶ Γρηγόριον οὗτοι ἱερὸν ὥσπερ ἐκεῖνοι τότε Χριστὸν κακῶς ἔγνωσαν λέγειν ὡς «οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ καὶ δαι-«μόνιον ἔχει, τί αὐτοῦ ἀκούετε;» καὶ τα παραπλήσια τούτοις, ἀλλ᾽ ἔδει μὴ διὰ τὴν πρὸς ἐκεῖνον ἔχθραν τε καὶ τὴν ἔριν καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ βλασφημεῖν καὶ τὴν ὑπερφυᾶ δύναμιν τούτου καὶ τὴν ἐνέργειαν φαρισαικῶς ἀνάγειν ἢ κατάγειν μᾶλλον εἰς δαίμονας· οὕτω γὰρ ἂν καὶ παραίτησίς τις ἴσως προσῆν· νῦν δ᾽ ἐπέκεινα πάσης συγγνώμης τὰ τῆς εἰς Θεὸν βλασφημίας, κατὰ τὸν Χριστοῦ λόγον, μὴ μεταμελομένοις ἀξίως. Καὶ σκαιὸν μέντοι καὶ φαῦλον ἄλλως καὶ διανοίας ἀνοήτου καὶ λογισμῶν καὶ οὐδὲ σχῆμα γοῦν ἀποσῶζόν τι λόγου τὸ δαίμονας ἐν ταῖς τῶν ἀποιχομένων σοροῖς θαύματα διενεργεῖν ὅλως οἴεσθαί τε καὶ λέγειν ἀνθρώπους ὁσημέραι μετὰ τοσαύτης ἐκεῖ τῆς σπουδῆς θεραπεύοντας τὰ δεινότατα πάσχοντας, ὧν γε καὶ τὴν ἐξώλειαν ἡδέως ἂν μᾶλλον ἐπρίαντο τοῦ παντός, ὅπως τὸν ἐκεῖ κείμενον ἀνακηρυχθῆναι τοῖς πᾶσι γένοιτο, ὡς ἂν οἱ περὶ Γρηγορᾶν εἴποιεν οὗτοι· ἵνα τί γένηται καὶ τί τοῖς δαιμονίοις ἢ πρὸς κέρδους ἐντεῦθεν; Συνιδεῖν οὐκ ἔχω. Γόησι μὲν γὰρ καὶ φαρμακοῖς τε καὶ μάγοις ἔτι περιῶσιν ἑαυτοὺς

ἐπιδιδόντας τοὺς δαίμονας ἴσμεν οὐχ ὑπὲρ ἀνθρώπων· πῶς γάρ; ἀλλὰ κατ' ἀνθρώπων μᾶλλον, ὡς ἂν αὐτούς τε τούτους, δι' ὧν ἐνεργοῦσι τὰ οἰκεῖα, κακῶς ὑφ' ἑαυτοὺς ἔχοιεν καὶ δι' αὐτῶν ἑτέροις ἢ τὸν τῆς ψυχῆς ἢ τὸν τοῦ σώματος κίνδυνον ἢ καὶ ἄμφω ταῦτα κατασκευάζοιεν· τούτο καὶ γὰρ αὐτοῖς, ἥπερ ἔφην, εἶναι τὸ προὐργιαίτατον· ἀνθρώποις δ' ἀπιοῦσιν ἐντεῦθεν καὶ νεκρὰ μὲν ἐπὶ τῶν σορῶν καταλιποῦσι τὰ σώματα, ταῖς δὲ ψυχαῖς πρὸς ἑτέραν λῆξιν μεταχωρήσασιν οὔτ' ἂν ἔχοιεν ὥσπερ τοῖς ζῶσιν ἐκείνοις κεχρῆσθαι· οὐδὲ γὰρ δυνατὸν ὅλως καὶ πολλοῦ γε δεῖ καὶ ὑφ' ἑαυτοὺς ἐκείνους ἔχειν ποιεῖσθαι ἢ καὶ διὰ τούτων ἑτέρους κακοῦν. Εἰ δὲ τοῖς μὲν οὐδὲ προσλαλεῖν οὐδὲ κεχρῆσθαι τούτοις καθάπαξ οἷον τε, ταῖς δὲ σοροῖς, ὡς οὗτοι φασί, προσεδρεύοντες τῶν ὀστῶν ἀνθρώπους μὲν εὖ ποιοῦσι καθ' ἑκάστην πονήρως ἔχοντας τῶν σωμάτων, ἔστι δ' ὅτε καὶ τῶν ψυχῶν, ὁπερ οὐκ ἄν ποτ' εἴη, ὡς οὐδὲ τὸ σκότος φῶς οὐδὲ γλυκὺ τὸ πικρόν, μήτε γὰρ βούλεσθαι ταυτὶ τοὺς τῶν ἀνθρώπων τούτους ἐχθροὺς μήτε δύνασθαι τὸ παράπαν, τελευτᾷ δ' αὐτοῖς καὶ ἡ τῶν νοσούντων θεραπεία πρὸς δόξαν καὶ αἶνον Θεοῦ, ἔλαθον οἱ δαίμονες τὸ λοιπὸν κατὰ Γρηγορᾶν αὖθις ἐφ' ἑαυτοὺς μερισθέντες καὶ σφᾶς αὐτοὺς ἐκβάλλοντες τῆς ἰδίας ἀρχῆς τῷ τοῖς μὲν ἀνθρώποις, κατὰ τοῦτον αὐτὸν φημί, πορίζειν τὴν σωτηρίαν σὺν πολλῇ τῇ σπουδῇ, τῷ δὲ Θεῷ πανταχόθεν τὴν δοξαν καὶ τὸ κράτος καὶ τὸν αἶνον συνάγειν ὥσπερ ἐπίτηδες καὶ μετὰ πολλῆς τῆς ἀγωνίας τά τῆς ἀρχῆς αὐτῷ συγκροτεῖν. Καὶ εἰ ὁ σατανᾶς αὐτὸς ἑαυτὸν ἐκβάλλει καὶ ἐφ' ἑαυτὸν ἐμερίσθη, κατὰ τὸν δεσποτικὸν λόγον, πῶς ἡ αὐτοῦ βασιλεία σταθήσεται; Οὕτως οὐ μόνον ἱερῶν ἀλλότρια καὶ προσέτι καὶ βλασφημίας καὶ δυσσεβείας μεστὰ τὰ κατὰ τῶν ἁγίων τῶν τε περιόντων, φημί, τούτων καὶ δὴ καὶ τῶν ἀπιόντων κἀν τούτοις λεχθέντα τοῖς περὶ Γρηγορᾶν, ἀλλὰ καὶ λογισμῶν, ἥπερ ἔφην, ὑγιαινόντων καὶ διανοίας μακρὰν καὶ μηδὲ σώζοντα λόγον ἴσχοντα τὸ παράπαν μηδ' ἑαυτὰ γοῦν μηδὲ τοὺς λέγοντας αὐτοὺς δυνάμενα πειθειν.

XIII. Καιρὸς δ' ἂν εἴη λοιπὸν κατὰ τὴν ὑπόσχεσιν καὶ ὑπεύθυνον ὄντα δεῖξαι τὸν αὐτὸν ἐκ τῶν αὐτοῦ λόγων τά γε τοιαῦτα ὀνείροις τε καὶ φάσμασι πονηρῶν δαιμονίων τὰ μήτε ὄντα μήτε ἐσόμενα μυσταγωγούμενον καὶ τὴν αἵρεσιν, ὥσπερ ἐξ ἀρχῆς ἠσπάσατο μυσταγωγηθεὶς ὑπ' αὐτῶν, οὕτω δὴ καὶ σπουδάζειν ἔπειτα καὶ τὰ ἐπιόντα δυσχερῆ φέρειν ὑπὲρ αὐτῆς διδασκόμενον ὑπ' ἐκείνων αὐτῶν αὖθις, ὡς πολλὴν μὲν οὖσαν τὴν ἀποκειμένην ἐντεῦθεν ἀμοιβὴν αὐτῷ καὶ τοῖς κατ' αὐτόν, πλείστην δ' ὅσην ἐξ ἀντιστρόφου τοῖς εὐσεβέσι τὴν δυσπάθειαν, ὡς αὐτὸς φησί, μετὰ τῆς καταστροφῆς. Φησὶ τοιγαροῦν πρὸς τὸν ἑαυτοῦ μύστην

τε καὶ μυσταγωγὸν Ἀγαθάγγελον ⟨ἐν⟩ ἐπιλογοις τοῦ κατὰ τῆς εὐσεβείας αὐτοῦ συγγράμματος ὡδὶ Γρηγορᾶς· «ἐπεὶ δὲ πορρω νυκτῶν τὰ τῆς ὁμιλίας ἡμῖν, ὡς «ὁρᾷς, ἐκτέταται καὶ δέον ἀπιέναι σε, καθευδοντων οἷς τὰ τῆς ἡμετέρας ἐπιτέ«τραπται φυλακῆς, φέρε καὶ περὶ τῶν συμβησομένων βραχέα τὸν ἐνόντα διέλθω«μεν τροπον. Οὐ γὰρ ἄξιον οὔτε σέ γε ἀγνοεῖν οὔθ' οἷς μέλλεις φιλοις ἡμῶν ὁμι«λεῖν καὶ συνάθλοις, ἵνα μὴ πρὸς τὸ τῆς ἐλπίδος ἀποβλέποντες ἄδηλον ἄχθωνται. «Τετύχηκε γάρ μοι ῥιφέντι πρὸς δεσμωτήριον ἤδη τουτὶ περικεχύσθαι μακρὰν «ἀθυμίαν, πάνυ κεντοῦσαν καὶ ὀδυνῶσάν μου τὸ λογιζόμενον τῆς ψυχῆς, οὐχ «ὁτι πάσχων αὐτὸς διετέλουν εἰργόμενος, ἀλλὰ τοὺς τῆς ἐκκλησίας ὁρῶν ὑψουμέ«νους χειμῶνας κατὰ τῶν θείων δογμάτων καὶ τὸ πλῆθος ἀεὶ ἐλαυνόμενον καὶ «τὸ μὲν δεσμούμενον, τὸ δ' ἐξόριστον γινόμενον, καὶ τὸ μὲν κάμπτον γόνυ τῇ «Βαὰλ διὰ τὸ τοῦ λιμοῦ βίαιον καὶ τὴν τῶν οἰκείων ἀφαίρεσιν, καὶ τὸ σῶζον ἦν «οὐδαμοῦ. Τοιούτων τοίνυν τηνικαῦτα μεστὸς γενόμενος λογισμῶν ἔνδακρύς τε «γεγένημαι καὶ πολλὰ τῷ Θεῷ προσευξάμενος καὶ καθίσας κἀπὶ τῆς δεξιᾶς ἐρεί«σας τὴν κεφαλὴν ὕπνῳ λεπτῷ συνεσχέθην. Καί μοι ἔδοξεν ὀναρ τῶν φίλων τις ἐπιστὰς «χαῖρε» φάσκειν «καὶ μὴ ἀθύμει, Θεόν, ὑπὲρ οὗ τοῖς ἄθλοις ἐγκαρτερεῖς «τουτοισί, κράτιστον ἔχων ἐπίκουρον. Ὄψει γὰρ οὐκ εἰς μακρὰν τουτουσὶ τοὺς τῆς «εὐσεβείας διώκτας οὐχ οἷα μόνον ὑμῖν ἐπήνεγκαν πάσχοντας τὰ δεινά, ἀλλὰ «καὶ μακρῷ σχετλιώτερα· ἐκπολεμωθήσονται γὰρ κατ' ἀλλήλων βασιλεὺς κατὰ «πατριάρχου καὶ κατ' ἐπισκόπων, καὶ αὖ κατ' ἀλλήλων ἐπίσκοποι· καὶ τοῖς ἀλλήλ«λων ἀναθεματισμοῖς καὶ τοῖς οἰκείοις περιπεσοῦνται· καὶ ἐξωσθήσεται μὲν τῶν «θρόνων ὁ πατριάρχης, ἀντεισαχθήσεται δ' ἕτερος καὶ μετ' ὀλίγον τὰ ὁμοια πεί«σεται καὶ αὐτός [1]· καὶ ὁ βασιλεὺς τὴν βασιλείαν ἅμα ζημιώσεται σὺν ἀτιμίᾳ «ποικίλῃ· καὶ πρό γε τούτων ὁ Παλαμᾶς τοῖς βαρβάροις ἁλώσεται καὶ μὴ ὅτι τὰ «ἔχθιστα, ὅτι μὴ καὶ τὰ αἴσχιστα πείσεται· οἱ δὲ πλείο⟨υ⟩ς τῶν ἐπισκόπων, σεισμῷ «κλονηθείσης τῆς Ῥωμαίων γῆς βιαίῳ, αὐταῖς ἐπισκοπαῖς καὶ οἰκίαις συγχωσθήσονται καὶ αὐτάνδροις φάναι ταῖς πόλεσι [2]· καὶ τοῦτ' ἂν εἴη καθαίρεσις ἐκ Θεοῦ «σφίσι δικαία ἀνθ' ὧν αὐτοὶ καθεῖλον ἀδίκως, ὑπὲρ εὐσεβείας ἀγωνισαμένων ὀρθῶς «ἐπισκοπων καὶ πρεσβυτέρων καὶ σοφῶν καὶ οσοι ὁμοτροποι τὴν εὐσέβειαν».

Οὕτω Γρηγορᾶς ὑπὸ τῷ κακῶς φιλιωθέντι πάλαι φιλοψευδεῖ δαίμονι, ὥσπερ τὴν αἵρεσιν πρίν, οὕτω δὴ καὶ τὰ ψευδῆ ταῦτα παραληρήματα ψευδῶς μυσταγω-

[1]) Тамъ же, на полѣ листа, противъ этого мѣста, написано: «ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος».—Ред.

[2]) Тамъ же, противъ этого мѣста, написано: «ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν».—Ред.

γηθείς· ἐν γὰρ τούτῳ τέως ἀληθεύων ὁρᾶται, ὅτι παρὰ τοῦ φίλου δαιμονίου τοὺς προφοιβασμοὺς καὶ τὰς ψευδοπροφητείας ταύτας δι' ὀνείρων ἔχει μαθών· ἐκεῖνα προφανῶς ἑάλω νοσῶν, ἃ τοῖς θεοφόροις ἐκείνοις ἐγκαλῶν αὐτὸς ἔφη ψευδῶς, καὶ ταῖς αὐτὸς ἑαυτοῦ ψήφοις καὶ ταῖς ἀποφάσεσι καὶ τῇ καταδίκῃ δικαίως ὑπεύθυνος γίγνεται· μέθης καὶ γὰρ καὶ ἀδδηφαγίας καὶ πλάνης Μασαλιανῆς αὐτὸς τοὺς καθ' ὕπνους χρησμοὺς καὶ τὰς προῤῥήσεις ἔφη, τοὺς μακαρίους συκοφαντῶν ἐκείνους. Εἰ γοῦν οὕτω ταῦτα καὶ κατὰ τὰς σὰς ἔχει, φιλόσοφε, ψήφους, καὶ οὐδεὶς ἀντερεῖ, σὺ δ', ὡς αὐτὸς φῂς πρὸς τοὺς σοὺς ἑταίρους, ὕπνῳ καὶ ὀνείροις τισὶ παρὰ τοῦ φίλου δαιμονίου τοὺς προῤῥηθέντας ψευδεῖς ἐμυσταγωγήθης χρησμούς, πῶς οὐχ ὅπερ αὐτὸς λέγω μετὰ πολλοῦ πάνυ τοῦ περιόντος γίγνεται, καὶ ταῖς αὐτὸς σαυτοῦ ψήφοις καὶ ταῖς ἀποφάσεσιν ὑπεύθυνον σεαυτὸν καθιστᾷς; Μᾶλλον δ' ᾗ μὲν ἀδδηφαγίᾳ καὶ γαστρὸς ἐνισχημένος κόρῳ καὶ τρυφῇ καὶ οἰνοφλυγίᾳ καὶ ὕπνῳ βαθεῖ καὶ κάρῳ τὰ τοιαῦθ' ὁ φιλόσοφος ὀνειροπολῶν ἐφαντάζετο, ἦν ἂν καὶ τῷ τῆς γαστρὸς κόρῳ καὶ τῇ μέθῃ ταῦτα λογίσασθαι, τῆς αὐτόθεν ἀναδιδομένης ἀχλύος τῷ φαναστικῷ τὴν σύγχυσιν ἐμποιούσης καὶ τὰ μὴ ὄντα καὶ ὁρᾶν καὶ ἀκούειν ὥσπερ ποιούσης αὐτόν· ἐπεὶ δ', ὡς αὐτὸς φησί, καὶ πενθῶν καὶ δακρύων ἦν καὶ τῷ κτιστῷ καὶ γνωστῷ καὶ περιγραπτῷ καὶ ὁρατῷ καὶ κατ' οὐσίαν αὐτοῦ Θεῷ, κατὰ τὸν σοφὸν φάναι Θεοδωρον, μετ' Εὐσεβίου δι' εὐχῆς προσιών, εὔδηλον ὡς παρὰ τῆς τοῦ φίλου δαιμονίου[1]) μόνης ἐνεργείας τουτουσὶ δεδεγμένος ἀναπέφηνε τοὺς χρησμούς, πνεύματι πλάνης συναπαχθεὶς κακῶς, ὡς μὴ ὤφελε, καὶ τῆς ἐναντίας ἐνεργείας χωρητικὸν ἑαυτὸν κατασκευάσας ὅλον, ὡς ἔφην, ἐπειδὴ τὴν παντουργὸν ἀπωσάμενος τοῦ Πνεύματος ὁλην ἐνέργειαν τὰ δυσσεβῆ καὶ παράνομα πάντ' ἐκεῖνα γνώμης ἀκρασίᾳ καὶ γλώττης, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν κατ' αὐτον, τολμηρῶς καὶ θρασέως ἄγαν εἰς αὐτὴν ἐξύβρισε τὴν θεότητα. Καὶ ὅρα μοι καὶ τοῦ χρησμοδοτοῦντος αὐτῷ δαιμονίου τὴν ἀμαθίαν καὶ τὸ φιλοψευδές. Τὴν μὲν γὰρ διαφορὰν πρός ἀλλήλους τῶν ἐπισκόπων λέγει[2]), μᾶλλον δ' οὐ τῶν ἐπισκόπων, εἰ χρὴ τἀληθὲς εἰπεῖν, πρὸς ἀλλήλους ἦν ἡ διαφορά, ἀλλὰ τῆς συνόδου πρὸς τὸν πατριάρχην μόνον ἐκεῖνον, συναπαχθέντα κουφότητι καὶ γνώμης προπετείᾳ καὶ θράσει <καὶ> τῇ τῶν πολιτικῶν πραγμάτων καινοτομίᾳ καὶ τῇ κατά τινων ἀπεχθείᾳ πρὸς ἃ μὴ ἐχρῆν ἐξολισθήσαντα· ἐφ' ᾧ δὲ ταῦτ' ἐγένετο σιωπᾷ. Καὶ ὅτι μὲν οἱ πατριάρχαι τῶν θρόνων ἀπελαθήσονται, τὸν ἑαυτοῦ μυσταγωγόν, ὡς αὐτὸς οὗτος φησὶν ὁ μυσταγωγούμενος, διδάσκει· ὅτι δ' ἐπανελεύσονται πάλιν καὶ λό-

---

1) Въ другихъ спискахъ слова вмѣсто: τοῦ φίλου δαιμονίου стоитъ: τοῦ φιλοσόφου.—Ред.

2) Тамъ же вмѣсто этого слова стоитъ: ἤδη. — Ред.

γοις καὶ ἔργοις καὶ συγγράμμασι τὴν αὐτοῦ στηλιτεύσουσιν αἵρεσιν, τοῦτο δ' οὐδὲ μνήμης οὐδὲ λόγου γέ τινος ἀξιοῖ. Καίτοι γ' ἐχρῆν, Γρηγορᾶ, καὶ τοῦτ' ἐκείνοις προσκεῖσθαι, ἵνα σώζων ᾖ καὶ ἄρτιος ὁ λόγος τῷ σῷ διδασκάλῳ καὶ μὴ ὥσπερ ἐξ ἡμισείας τὰ τῆς διδασκαλίας ὄντα τυγχάνῃ καὶ πλανῶντα μᾶλλον ἢ διδάσκοντα τὸν μυσταγωγούμενον. Νῦν δὲ τὰ μὲν γιγνόμενα τότε καὶ ὁρώμενα λέγεις, εἴτε σὺ εἴτε καὶ ὁ σὸς πλάνος ἐκεῖνος, ὡς αὐτὸς ἔφησθα δήπου, εἴτε καὶ σὺ κἀκεῖνος ὁμοῦ· περὶ δὲ τῶν μελλόντων, ὃ δὴ καὶ φθάσας ὁ σὸς φίλος τε καὶ διδάσκαλος ἐπηγγείλατο, τὸ παράπαν οὐδὲν ὑγίες, ὥσπερ δὴ καὶ τὰ κατὰ τοῦ σοφοῦ βασιλέως ἐκεῖνα καὶ δὴ καὶ τὰ κατὰ τοῦ μεγάλου Γρηγορίου, φημί, τοῦ πατρὸς ὄντα τοῦ ψεύδους ἄντικρυς καὶ ποίαν οὐχ ὑπεραίροντα συκοφαντίας ὑπερβολήν; Μᾶλλον δ' ὁ μὲν σὸς καθηγητὴς τὰ τοιαῦτα καὶ φίλος ἐκεῖνος οὐδὲν οὐδ' ὁτιοῦν ἐκ προγνώσεως εἰδέναι δεδυνημένος· «ποία» καὶ γὰρ «κοινωνία φωτὶ πρὸς σκότος;» Παῦλος φησὶν ὁ πεφωτισμένος· ἀλλὰ στοχα⟨σ⟩μοῖς τισιν ἐκ τῶν φαινομένων τὰ μέλλοντα τεκμαιρόμενος, κἀκ τούτων ψευδόμενος τὰ πολλά, τοῦτ' αὐτό, φημί, κάνταῦθα τὸ σύνηθες πέπονθε, κακῶς, ᾗπερ ἔφης, καὶ σὺν ἀτιμίᾳ ποικίλῃ τὸν τετιμημένον τουτονὶ ζημιώσεσθαι προσδοκήσας τὴν βασιλείαν, εἴπερ καὶ μὴ σόν ἐστι πλάσμα τὸ πᾶν καὶ τοῦ σοῦ φθόνου καὶ τῆς φιλοψευδοῦς καὶ φιλολοιδόρου γλώττης, ἐκ τῆς πρὸς ἀλλήλους διαφορᾶς τῶν βασιλέων τὰ μὴ ὄντα κακῶς συμπλαττούσης καὶ προλέγειν προσποιουμένης τὰ σοὶ κατ' εὐχήν τε καὶ βούλησιν. Ὁ δὲ θαυμαστὸς οὑτοσὶ βασιλεὺς πάλαι τῷ θείῳ πόθῳ καὶ τῷ τῆς ἀναχωρήσεως ἔρωτι κάτοχος ὤν· ὡς ἄλλοι τε πλεῖστοι τῶν φίλων καὶ αὐτοὶ τὸν ἄλλων μάλιστα σύνισμεν ἐν τοῖς μάλιστα πεφηνότες αὐτῶν, ὃ μηδὲ σύ γ' αὐτὸς ἀγνοεῖς, οἶμαι, καὶ κοινωνοὶ τοῦ περὶ τῆς ἀναχωρήσεως τε καὶ ἡσυχίας ὄντες αὐτῷ καὶ πράγματος καὶ βουλεύματος σύν γε Νικολάῳ τῷ πάνυ φημί· τοὺς γοῦν τοιούτους λογισμούς, ὅπερ ἔφην ἄνωθεν, παρ' ἑαυτῷ κεκυρωμένους ὥσπερ φέρων ὁ βασιλεὺς καὶ διὰ ταῦτα ἄρα καὶ τοῖς τῆς ἀρχῆς πράγμασι πάνυ τοι δυσχεραίνων καὶ πῶς ἂν εἴποις ἀχθόμενος, εἰ καὶ ἄλλως τὰ τηνικαῦτα συμπεσόντα τῷ σκοπῷ καὶ τῷ τῆς ψυχῆς βουλομένῳ προσίστατο, καιροῦ καταλλήλου λαβόμενος τὸ πάλαι σπουδαζόμενόν τε καὶ φιλούμενον καὶ πρός πέρας ἐξήνεγκε θαυμαστόν, οὐ μόνον τὴν τῆς ἀρχῆς καὶ τῆς κοινῆς τῶν πραγμάτων οἰκονομίας καὶ διεξαγωγῆς ἀπόθεσιν ζημίαν οὐχ ἡγησάμενος, ἀλλὰ καὶ ζημίαν, διὰ τὴν Ἰησοῦ νέκρωσιν καὶ τὸν πρὸς τὴν ἀναχώρησιν ἔρωτα πάντα μᾶλλον, ἐκεῖνα καλῶς ἡγησάμενος, ἃ κατὰ κόσμον αὐτῷ πρὸς κέρδους εἶναι καὶ δοξης νενόμιστο, καὶ οὐ μόνον ἀδοξίαν οὐδ' ἠντινοῦν

ἐντεῦθεν οὐ προστριψάμενος ἑαυτῷ, ἀλλὰ πρός γε τῇ ἀληθινῇ καὶ πρώτῃ παρὰ Θεοῦ δοξῃ καὶ τὴν κάτω καὶ ἀν‹θρωπ›είαν οὕτω δαψιλῶς ἔχων παρεπομένην, ὡς καὶ τοὺς πρὶν ἀγνωμονοῦντας εὖνους οὐδ' ὅσον εἰπεῖν νῦν ἔχειν καὶ τοὺς ἀδίκως τότε μισοῦντας νῦν φιλοῦντας δικαίως, τοῦ κάκιστ' ἀπολουμένου φθόνου καὶ τοῦ ψεύδους κάλλιστ' ἀπελαθέντος καὶ εἰς ἑαυτὴν ὥσπερ ἐπανιούσης τῆς ἀληθείας. Καὶ τότε[1]) πρότερον μὲν οἱ ὑπὸ χεῖρα καὶ τὸ ὑπήκοον ὡς δεσπότην ‹ἑ›αυτῶν προσκυνοῦντες ἦσαν, εἰ καὶ μὴ καθαρῶς πάντες διά γε τὰ προῤῥηθέντα, νῦν δὲ καὶ πάντες μὲν σχεδὸν καθαρῶς μετά γε τῆς καθηκούσης εὐνοίας τε καὶ τοῦ φίλτρου, πρὸ δὲ πάντων καὶ ὑπὲρ πάντας καὶ βασιλεῖς καὶ βασιλίδες ὁμοῦ καὶ τὸ χρυσοῦν ἅπαν τουτὶ γένος, φιλοῦντες μὲν ὡς παῖδες πατέρα, μᾶλλον δὲ καὶ τὴν φύσιν αὐτὴν καὶ τοὺς ἐκεῖθεν ἱμέρους καὶ τοὺς δεσμοὺς ὥσπερ παριέναι φιλονεικοῦντες τῷ περιόντι τοῦ φίλτρου, τὰς δὲ τιμὰς καὶ τὴν αἰδῶ καὶ τὸ σέβας καὶ τὴν ὑπακοὴν καὶ πάνθ' ὁμοῦ τὰ τοιαῦτα ἰσόθεά τινα καὶ παραδείγματος ἔξω παντὸς ἀπονέμοντες, τί μὲν οὐ λέγοντες, τί δ' οὐ ποιοῦντες ἃ πρὸς θεραπείαν τε καὶ τιμὴν φέρει τὴν τούτου; μᾶλλον δὲ πάντα μὲν ἐκεῖνα καὶ δρῶντες καὶ λέγοντες καθ' ὑπερβολήν, οὐδὲν δὲ τῶν ἀξίων οἰόμενοι λέγειν καὶ δρᾶν. Τοιοῦτός ἐστιν ὁ τῶν πραγμάτων νυνὶ σὺν Θεῷ βασιλεύς τε καὶ κύριος. Τοὺς γὰρ νῦν ὄντας πάντας ἀνθρώπους καὶ φρονήσει καὶ ἀγχινοίᾳ καὶ καλοκαγαθίᾳ καὶ χρηστότητι τρόπων καὶ συγγνώμῃ τῇ πρὸς τοὺς πταίοντας καὶ τῷ φιλοδώρῳ τῆς γνώμης τε καὶ τῆς δεξιᾶς ἐκ πολλοῦ τοῦ περιόντος νικῶν, ὡς μηδὲ παραβάλλειν ἐξεῖναι, καὶ τῇ πρὸς τὸν πατέρα καὶ βασιλέα θαυμαστῇ ταύτῃ γνώμῃ καὶ τῇ αἰδοῖ καὶ τῷ περιόντι τοῦ φίλτρου τοὺς πρὸ αὐτοῦ φιλοτιμεῖται νικᾶν ὁμοῦ πάντας, πρὸς τοὺς ἐξ ὀσφύος αὐτῷ καὶ μάλα δὴ λαμπρῶς ἀμιλλώμενος καὶ τὸ κράτος κἀν τοῖς εἰρημένοις τούτοις ὥσπερ φιλονεικῶν φέρεσθαι κατὰ πάντων, καθάπερ δὴ κἀν τοῖς ἄλλοις, καὶ παράδειγμα θαυμαστὸν τοῖς ἐξ αὐτοῦ βασιλεῦσι καὶ δὴ καὶ τοῖς ‹τὰ› δεύτερα φέρουσι τῆς βασιλείας τῶν παίδων ὁμοῦ πᾶσι προκεῖσθαι. Ἔρεισμα γοῦν τῆς ἀρχῆς καὶ θείαν βουλὴν καὶ ψυχήν τινα τῶν πραγμάτων καὶ τῆς ζωῆς καὶ τῆς βασιλείας ἑαυτοῦ τε καὶ τῶν παίδων καὶ σπουδαστὴν καὶ προασπιστὴν καὶ κηδεμόνα καὶ πατέρα καὶ φύλακα τοῦτον καὶ ἡγεῖται καὶ τοὺς γνησίους ὁμοῦ πάντας ἡγεῖσθαι πείθει. Τοσοῦτόν εἰσι πρὸς ἀλλήλους οἱ θαυμαστοὶ βασιλεῖς καὶ τοιούτοις δεσμοῖς ἀλλήλοις συνδέδενται φίλτρου καὶ ὁμονοίας καὶ συμψυχίας, ἢ οὐκ οἶδ' ὅ τι καὶ φῶ, φθόνου μὲν καὶ ζήλου καὶ μίσους καὶ τῆς οὐ καλῆς ὑπονοίας

[1]) Это слово въ спискѣ еп. Порфирія написано надъ началомъ слѣдующаго слова πρότερον. — Ред.

καὶ πάντων ὁμοῦ τῶν τοιούτων καλῶς ἀπεληλαμένων ἐκεῖθεν, τῆς δὲ τῶν βασιλέων ἀρετῆς γυμνῆς ἅπασιν ἐκφανείσης ἀθρόον καὶ τὸ παντοδαπὸν ἑαυτῆς κάλλος καὶ τὴν ἰσχὺν ἅμα καὶ τὴν εὐπρέπειαν ἐκ πολλοῦ τοῦ περιόντος ἐμφανιζούσης· οἷς οὐ καλῶς ὁ κακὸς ἐπεσκότει φθόνος καὶ τὸ ψεῦδος ἐπὶ μακρόν, ἃ δὴ καὶ τὴν φθοράν, φεῦ, τοῦ γένους ἡμῶν καὶ τὴν πανωλεθρίαν ἄνωθεν εἴργασται. Ἅπερ καὶ Γρηγορᾶς οὑτοσὶ κάκιστα νενοσηκώς, ὡς μὴ ὤφελεν, ἐπειδὴ καὶ τὴν ποθουμένην αὐτῷ διαφορὰν ἑώρα τότε τῶν βασιλέων, ἅμα καὶ τοῦ φίλου δαιμονίου τὴν ἐνεργουμένην δι' ἑαυτοῦ διαίρεσιν καὶ τὴν στάσιν καὶ δὴ καὶ τὰ παρεπόμενα τούτοις ἐκεῖνον μυσταγωγοῦντος, τὰ μήτ' ὄντα μήτε γενησόμενα ψευδῶς κατὰ τὴν ἑαυτῶν γνώμην προύφησαν τότε. Τῆς δὲ τῶν πραγμάτων ἀληθείας ἥπερ ἔδει νῦν ἐκφανείσης, ψεῦσται καὶ ἀπατεῶνες καὶ πλάνοι καὶ βασιλέων ἐχθροί, καθὰ δὴ καὶ Θεοῦ πρότερον, οὐκ ἀπεικότως ἂν οὗτοι καὶ ἄμφω παρὰ πάντων καλοῖντο. Καὶ τί χρὴ τἄλλα λέγειν, ὅπου γε καὶ ταῖς δυσσεβείαις αὐτοῦ τε καὶ τῶν κατ' αὐτὸν συμμαχήσειν τε καὶ ὑπερμαχήσειν καὶ προστήσεσθαι τὸν θαυμαστόν τε καὶ φιλόχριστον ἤλπισε βασιλέα, τὸν μηδὲν ἧττον τῆς εὐσεβείας καὶ τοῦ γ' ὑπὲρ τῆς ἐκκλησίας τῆς ἱερᾶς πατρικοῦ ζήλου καὶ τῆς σπουδῆς ἢ τοῦ διαδήματος καὶ τοῦ σκήπτρου κληρονόμον ὀφθέντα; Ἀλλ' ὁ γενναῖος οὑτοσί, μετὰ τῆς πατρικῆς βασιλείας καὶ τὴν τοῦ Θεοῦ βασιλείαν κάλλιστά γε καὶ ὡς ἐχρῆν ἐπιγνοὺς κἀκ τῶν ἀγκαλῶν τῆς θαυμαστῆς μητρός τε καὶ βασιλίδος καὶ τὴν ταύτης εἰλικρινῆ πρὸς Θεὸν πίστιν καὶ τὸν ὑπὲρ τοῦ ὀρθοῦ λόγου ζῆλον καθαπερεί τινα πανοπλίαν καὶ σκευὴν ἐνειμένος βασιλικήν, τὴν πνευματικὴν καὶ μάλα καλῶς ἐπέγνω μητέρα, τὴν Χριστοῦ ἐκκλησίαν φημί, καὶ τῶν ταύτης διδασκάλων εὐσεβῶς τε καὶ φιλοθέως ἄγαν ἐξηρτημένος καὶ τούτοις καὶ κεφαλὴν ὁμοῦ καὶ ψυχὴν ὑποτιθείς, καθάπερ ὁρῶμεν, τὰς θαυμαστὰς πρὸς αὐτὴν ὁμολογίας ἐκείνας λαμπρῶς ἐπὶ τῶν ἔργων ἐκφαίνει, τοὺς περὶ Ἀκίνδυνόν τε καὶ Γρηγορᾶν λύκους δεδειχὼς μάτην χανόντας καὶ πᾶσι ταῖς τἀκείνων φρονοῦσιν οἰμώζειν εἰπών. Ἀλλὰ τούτων μὲν ἅλις.

XIV. Γρηγορίου [1]) δὲ πέρι, τοῦ μεγάλου τῶν ἐμῶν, φημί, Θεσσαλονικέων διδασκάλου τε καὶ ποιμένος, καὶ ὧν ἡ τολμηρὰ καὶ βέβηλος γλῶττα κατὰ τῆς θείας [2]) καὶ ἀλήπτου ψυχῆς ἐκείνης ἀκολάστως τε καὶ μοχθηρῶς καὶ ἀξίως ἑαυτῆς δι' ὀλίγων εἶπε κἀν τούτοις, ἐκεῖνο καὶ δὴ λέγω, ὡς πέμπει μὲν ὁ Θεὸς δι' αἰχμαλωσίας πρὸς Ἀχαιμενίδας κἀκεῖνον, ὥσπερ δὴ καὶ τοὺς ἀποστόλους πάλαι πρὸς

[1]) Въ спискѣ еп. Порфирія, на полѣ листа, противъ этого мѣста, написано: «Палама». — Ред.

[2]) Въ другихъ спискахъ слова: ἀληθείας. — Ред.

τὸ κήρυγμα καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν διὰ τοῦ τῆς ἐκκλησίας διωγμοῦ δηλαδὴ τοῦ μετὰ τὴν ἀναίρεσιν Στεφάνου τοῦ θείου, διὰ τῶν ἐναντίων σοφῶς πλέκων τὰ ἐναντία, ἵνα καὶ θαυμασιώτερα, φησί, φαίνηται· ἐκεῖ δ' ὁ μέγας γενόμενος, λεγέτωσαν οἱ συνειδότες καὶ νῦν, οἷος ἐν ἔργοις τε καὶ λόγοις καὶ διαλέξεσι ταῖς πρὸς τοὺς σοφούς τε καὶ προύχοντας Ἀχαιμενιδῶν ἀνεφάνη. Μᾶλλον δὲ καὶ λέγουσι καὶ γράφουσι καὶ κηρύττουσι μάλα τρανῶς τὰς συνεχεῖς πρὸς τοὺς ἡμετέρους διδασκαλίας καὶ παραινέσεις, τὴν μεγάλην τοῦ λόγου παραμυθίαν, τὰς λύσεις τῶν ἀμφισβητουμένων, τὰς τῶν γραφῶν θαυμαστὰς ἐξηγήσεις, τοὺς τῆς καινῆς ἐκείνης αἱρέσεως τε καὶ δυσσεβείας ἐλέγχους, τὴν θεολογίαν, τοὺς ὑπὲρ τῆς μιᾶς τρισυποστάτου θεότητος καινοὺς καὶ ὑπερφυεῖς λόγους, τοὺς περὶ τῆς θείας Χριστοῦ γεννήσεως τῆς τε ἄνω καὶ ὑπὲρ χρόνον καὶ δὴ καὶ τῆς ἐν χρόνῳ καὶ κατὰ σάρκα, τοὺς περὶ σταυροῦ καὶ θείων εἰκόνων καὶ τύπων καὶ παλαιᾶς διαθήκης καὶ νέας καὶ νόμου καὶ περιτομῆς καὶ ἱερωσύνης τῆς πάλαι καὶ ὅτι καὶ κατὰ φύσιν Υἱὸς ὁ τοῦ Θεοῦ Λόγος καὶ Χριστὸς καὶ Θεός, ἐπεὶ καὶ κριτὴς ὁ αὐτὸς ὁμοῦ πάντων ἀνθρώπων, ὃ φησὶν Ἀβραὰμ ὁ πατριάρχης ὑπὲρ Σοδόμων πάλαι πρεσβεύων, κατὰ Μωυσῆν φάναι τὸν μέγαν, ὅπερ οὐχ Ἑβραίοις μόνον, ἀλλὰ καὶ Ἀχαιμενίδαις κατὰ ταὐτά, φησί, δοκεῖ. Καί τί χρὴ κατὰ μέρος καταλέγειν νῦν ἑξῆς πάντα, πραγματείας ἑτέρας ὄντα καὶ ἱστορίας ἔργον, δι' ὧν ἡ θαυμαστὴ καὶ οὐρανία καὶ φιλόσοφος γλῶττα τίνας μέν οὐκ ἐστήριξεν ἐκεῖ τῶν πιστῶν πρὸς τὸν ὑγιᾶ, φημί, λόγον, ποίας δ' οὐκ ἔλυσεν ἀμφιβολίας τῶν δισταζόντων, πόσου δὲ καὶ οἵου θαύματος οὐκ ἐπλήρωσε τὰς ψυχὰς τῶν συνέσει καὶ ἀξιώματι παρ' ἐκείνοις προυχόντων; Δι' ἃ δήπου καὶ πληγὰς καὶ ῥαπίσματα κατὰ κόρρης καὶ ὕβρεων φορυτὸν παρὰ τῶν ἀποστατῶν καὶ ἀλιτηρίων ὑπέστη Χριστοῦ καὶ τῆς αὐτοῦ ἐκκλησίας, οὐκ ἐνεγκόντων τὴν ἧτταν καὶ τὴν ἐπὶ πάντων αἰσχύνην, ἀναίμακτος ἀθλητὴς καὶ στεφανίτης καὶ μάρτυς τῶν Χριστοῦ παθημάτων ἐκεῖθεν κατιὼν πρὸς ἡμᾶς σὺν λαμπρᾷ τινι τῇ πομπῇ καὶ τοῖς κρότοις καὶ τοῖς ἐπινικίοις οὐκ ἐπιγείοις τισὶν οὐδὲ παρ' ἀνθρώπων φθαρτῶν ἐπιτελουμένοις, ἀλλ' ἀφθάρτων καὶ οὐρανίων ἀγγέλων ἀοράτως προπεμπόντων καὶ τὴν αὐτοῦ κάθοδον καὶ τοὺς ἄθλους τοὺς ἱεροὺς καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας καὶ δρόμους καὶ τὴν καινὴν ὁμολογίαν ὕμνοις καῖ μυστικαῖς ᾠδαῖς ἀνακηρυττόντων, ὡς καὶ κατιόντι παρὰ τοὺς τῆς βασιλίδος τῶν πόλεων ταύτης λιμένας συνεξακούεσθαί τισι τῶν εὐλαβῶν τότε τοὺς ὕμνους παρ' αἰγιαλοῖς ἑστηκόσιν. Οἳ καὶ τὸ καινὸν ἐκεῖνο τῆς καινῆς ᾠδῆς τε καὶ τοῦ μέλους ἀποθαυμάζοντες καινὸν μέντι [1]) καὶ ἄπιστον ἔλεγον εἶναι, εἰ παρὰ τῆς

[1]) Въ спискѣ еп. Порфирія: μέντοι. — Ред.

αἰχμαλωσίας καὶ τῶν βαρβάρων μελῳδοὶ καὶ τοιοῦτοι κατάγονται παρ' αὐτοῖς· ἐπεὶ δὲ τῆς νηὸς εἰς τὴν γῆν κατιούσης Γρηγόριος ὁ θεῖος σύν γε τῷ πληρώματι τῶν ναυτῶν ἀποβαίνοντες καθ‹ε›ωρῶντω μόνοι, τότε δὴ καὶ οἱ τῆς ἱερᾶς ἐκείνης ᾠδῆς ἀκροαταὶ καὶ τῶν ὕμνων συνῆκαν ὡς οὐκ ἀνθρωπίνης, ἀλλ' ἀγγελικῆς ἦσαν ἐκεῖνα δυνάμεως ἔργα, τοῦ Θεοῦ θαυμαστῶς κάνταῦθα τὸν ἑαυτοῦ βουλομένου δοξάζειν θεράποντα. Ἀλλ' ὁ περὶ τὴν ὄντως σοφίαν ἀσύνετος φιλόσοφος οὑτοσὶ σύν γε τῷ φίλῳ δαιμονίῳ «ἀλώσεται» φασί «Παλαμᾶς καὶ οὐ τὰ ἔσχατα μόνον, ἀλλὰ καὶ τὰ αἴσχιστα πείσεται», ἀπηχθημένοι καὶ ἐπίῤῥητοι καὶ αἰσχροί τινες πρὸς ἀλήθειαν ὄντες αὐτοὶ καὶ τοὺς ὑπὲρ Χριστοῦ κωμῳδοῦντες ἀγῶνας καὶ τοὺς ἀθλητὰς καὶ στεφανίτας αὐτοῦ συκοφαντοῦντες καὶ τοὺς ἁγίους ἀναιδῶς οἱ ἐναγεῖς διασύροντες. Ἀλλὰ ταῦτα μὲν οὕτως.

XV. Καλὸν δ' ἂν εἴη λοιπόν, ἐπειδὴ καὶ τὸν λόγον διαναπαῦσαι δεῖ τῶν μακρῶν ἀγώνων καὶ δρόμων καὶ λῆξαί που τὸν καινὸν τουτονὶ πολεμον, ὥσπερ ἐν ἐπιλόγοις ἀναλαβεῖν τε καὶ λογίσασθαι διὰ βραχέων τινῶν τὰ πρὸς τὸν φιλόσοφον ἡμῖν τουτονὶ καὶ τοὺς καθ' ἡμῶν καὶ τῆς εὐσεβείας αὐτοῦ λόγους διὰ μακρῶν εἰρημένα.

α΄. Ὁ μὲν οὖν πρῶτος ἡμῖν τῶν πρὸς Γρηγορᾶν τουτωνὶ λόγων, ἐπειδὴ πρὸς τὸν αὐτοῦ πρῶτον ἀπιδὼν οὐδέν τι περὶ τῶν προκειμένων αὐτὸν εὗρε λέγοντα οὐδὲ δογματικῆς οὐδ'ὁτιοῦν ἁπτόμενον ὑποθέσεως, ἀλλ' αὐτὸ τοῦτο μόνον συκοφαντίαν ὀντα καὶ ὕβριν τῆς κατ' αὐτοῦ τε καὶ τῶν περὶ αὐτὸν συγκροτηθείσης ἡμῖν ἱερᾶς συνόδου καὶ δὴ καὶ τῆς ἐκκλησίας ὁμοῦ πάσης, οὐ μὴν ἀλλὰ καὶ βασιλέας αὐτοὺς καὶ τοὺς προσήκοντας αὐτοῖς κατὰ γένος σύν γε τῇ συγκλήτῳ διαβάλλοντα πάσῃ καὶ νῦν μὲν διωγμὸν καὶ κάθειρξιν καὶ φύλακας περικαθημένους τὸν Γρηγορᾶν καὶ φρουροῦντας καὶ πυκτίων ἱερῶν ἀφαίρεσιν ἐγκαλοῦντα, τὰ μηδαμῶς ὄντα, νῦν δὲ ψῆφον ἄδικον καὶ διωγμὸν εὐσεβείας τὴν τῆς δυσσεβείας ἀποκαλοῦντα καθαίρεσιν, καὶ μηδὲν μὲν εὐσεβές, ὡς αὐτὸς φησὶ βλασφημῶν, μηδὲ δίκαιόν τι τὴν ἱερὰν σύνοδον εἰπεῖν τε καὶ καταπράξασθαι, ὡς καὶ τοὺς περικαθημένους τε καὶ περιεστῶτας ψεῦδος, φησί, καὶ δυσσέβειαν κατεγνωκότας αὐτῶν σιγῇ τὴν ἑαυτῶν ἀποκρύψαι γνώμην καὶ τὴν τῆς δυσσεβειας συνηγορίαν διὰ τὴν ἐξουσίαν καὶ τὸν ἐπικείμενον φόβον, οὐ μὴν ἀλλ' οὐδ' αὐτὰ φησὶ τὰ λαληθέντα γοῦν ἐκεῖ καὶ πραχθέντα κατ' ἀλήθειαν δοθῆναι τῷ τόμῳ κακουργίᾳ τε καὶ ἀμαθίᾳ τῶν ἐκεῖνον συγγραψαμένων· οὐδὲ γὰρ εἶναι παρ' ἡμῖν τῶν λέγειν τε καὶ γράφειν εἰδότων μετ' ἐπιστήμης οὐδένας, ἀλλ' ἀπὸ σκαπάνης, ὡς αὐτὸς φησί, καὶ κώπης καὶ ἀγροικικοῦ βίου προαχθῆναι πάντας οὐ καλῶς οὐδὲ δικαίως

ἐπὶ τὸ βῆμα, ὡς μηδ' αὐτὸ τοῦτο γοῦν ἔχειν εἰδέναι, τί ποτε ἄρα τὸ τῆς ἐπισκοπῆς χρῆμα καὶ τίς ὁ σκοπὸς καὶ τὸ ταύτης ἐπάγγελμα, μήτοι γε καὶ ἄλλων ἔχειν ἡγεῖσθαι καὶ διασώζειν· καὶ τέλος διωγμὸν ἐκεῖ κατὰ τῆς συνόδου καὶ τῶν προυχόντων ἱερέων Θεοῦ καὶ Γρηγορίου τοῦ σοφοῦ μάλιστα καὶ πληγάς τε καὶ μάστιγας καὶ φορυτὸν ὕβρεων ἀφορήτων καθαπερεί τινα παραπλῆγα καὶ τὸν ἐγκέφαλον διασεσεισμένον εὑρηκότες τὸν Γρηγορᾶν καὶ φαντασθέντα καὶ κάκιστα συγγραψάμενον, ἐξηλέγξαμεν αὐτὸν ἐκεῖ κατὰ μέρος πάνθ' ὁμοῦ τὰ τοιαῦτα ψευδόμενον καὶ παραληροῦντα, ὡς μηκέτι μηδ' ἐν τοῖς μείζοσι καὶ καιριωτέροις ἄξιον εἶναι πιστεύεσθαι καὶ ὀπωσοῦν τοῦτον τὸν οὕτω τῶν ἐλαττόνων τε καὶ σμικρῶν καταψευδόμενον τουτωνί, καὶ μετὰ τοσαύτης φάναι τῆς προθυμίας, ὡς μηδεμίαν ὑπερβολὴν καταλείπειν.

β΄. Ὁ δεύτερος τῶν λόγων πρὸς τὸν δεύτερον βλέπων τοῦ φιλοσόφου περὶ διαφορᾶς μὲν οὐσίας θείας καὶ θείας ἐνεργείας ἐνίσταται τὸν ἀγῶνα· ἐπεὶ δ' ὁ ἀντιλέγων οὐ πρὸς τὰ τοῦ συνοδικοῦ τόμου καθεξῆς πάντα, ἀλλὰ πρός κεφαλαιώδη ζητήματά τινα τῆς ὑποθέσεως ἑπτὰ τὸν ἀριθμὸν ὄντα τὸν λόγον ἔφη προαγαγεῖν βούλεσθαι, πρὸς ταῦτα καὶ ὁ λόγος ἡμῖν βλέπων πρῶτον μὲν τὸν συνοδικὸν εἰσάγει δι' ἑαυτοῦ τόμον τὴν ἀπαρίθμησιν τουτωνὶ τῶν κεφαλαιωδῶν ζητημάτων ποιούμενον, εἶθ' ἑξῆς τὰ περὶ διαφορᾶς οὐσίας θείας καὶ ἐνεργείας εἰσαγαγὼν κατὰ μέρος τοῦ αὐτοῦ συνοδικοῦ τόμου ἅπερ ὁ Γρηγορᾶς ἀπέκρυψε κακουργῶν, γραφικοῖς τε καὶ θεολογικοῖς ἐρειδόμενα λόγοις καὶ ταῖς τῶν ἐκτεθεικότων πατέρων ἀρίσταις ἐπεξεργασίαις τε καὶ κατασκευαῖς, ἐνταῦθα λήγει τοῦ δρόμου, βραχέ' ἄ<τ>τα πρὸς φιλόσοφον ὑπὲρ τῶν εἰρημένων εἰπὼν τῇ συνόδῳ τε καὶ τῷ τόμῳ.

γ΄. Ὁ δὲ τρίτος, τὰ περὶ διαφορᾶς θείας οὐσίας καὶ ἐνεργείας σκοπούμενος καὶ αὐτός, τὸν περὶ θείας δυνάμεως τῆς φυσικῶς τῷ Θεῷ προσούσης ἐξετάζει λόγον, τὸν Ἀρεοπαγίτην θεῖον εἰσάγων Διονύσιον. Τούτῳ καὶ γὰρ ὁ Γρηγορᾶς ἀντιλέγων διὰ τοῦ συνοδικοῦ τόμου κτιστὴν ἀποδεικνύναι πειρᾶται τὴν φυσικὴν τοῦ Θεοῦ δύναμιν. Ἐν οἷς καὶ τὸν θεοφόρον Δαμασκηνὸν σύν γε τῷ προῤῥηθέντι Διονυσίῳ συκοφαντῶν ἐλέγχεται παρὰ τοῦ ἀληθοῦς λόγου. Φησὶ γὰρ μὴ κυρίως μηδὲ κατὰ φύσιν ἔχειν τὸν Θεὸν τὴν τοῦ ἔχειν δύναμιν καὶ τούτους τοὺς ἁγίους εἰδέναι τε καὶ διδάσκειν· εἶναι γὰρ τοῦτο τῶν κτισμάτων, ὡς αὐτὸς φησίν, ἴδιον. Ἐξελέγχει δ' αὐτὸν ὁ λόγος ἐν τούτοις νῦν μὲν τὰ Σαβελλίου φρονοῦντα λέγοντος μὴ κυρίως καὶ ὑποστατικῶς ἔχειν Υἱὸν καὶ Πνεῦμα τὸν Θεόν, εἰ καὶ λέγεται, νῦν δὲ τοῖς τοῦ Ἀρείου καὶ Εὐνομίου συναπαγόμενον· ἐκείνων καὶ γάρ ἐστι τὸ ἑτεροούσιον

καὶ τὸ ὡς οὐσίας περὶ οὐσίαν ἔχειν τὸν Θεὸν τὸν ἑαυτοῦ Υἱὸν καὶ τὸ Πνεῦμα, κατὰ τὰς τοῦ φιλοσόφου δηλονότι φιλοσόφους κατηγορίας.

δ΄. Τῷ δὲ τετάρτῳ τῶν λόγων, περὶ διαφορᾶς ὡσαύτως οὐσίας θείας καὶ ἐνεργείας καὶ δὴ καὶ δυνάμεως αὐτοῦ φυσικῆς τὴν ὁρμὴν ἔχοντι, ἐξελέγχεται Γρηγορᾶς οὐ κακούργως μόνον τοῖς ἐν τῷ συνοδικῷ τόμῳ, ἀλλὰ καὶ λίαν ἀμαθῶς ἐπιβάλλων. Καὶ πρῶτον μὲν ὁ λόγος αὐτὸν ἐλέγχει οὐ τὰ Ἀρείου καὶ Μακεδονίου νοσοῦντα μόνον, ἀλλὰ καὶ τούτους ὑπερελάσαντα τῇ δυσσεβείᾳ, ὅσον οἳ μὲν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ διαιρεῖν τῆς πατρικῆς οὐσίας τολμῶντες οὐ κυρίως οὐδὲ φυσικῶς, ἀλλὰ κατὰ μετοχὴν καὶ ἐπείσακτα κεκτῆσθαι τὰ τῆς θείας φύσεως ἔλεγον ἰδιώματα, ὃ δὲ καὶ αὐτὸν σὺν αὐτοῖς τὸν Πατέρα, τὴν τρισυπόστατον ἐμοῦ λέγω θεότητα, οὐ κυρίως φησὶν ἔχειν ταῦτα, ἀλλ' ἢ ἐπίκτητα καὶ ὑστερογενῆ ἢ ψευδῆ. Εἶτα προϊὼν ὁ λόγος δείκνυσι Γρηγορᾶν νῦν μὲν Εὐνομίῳ συνᾴδοντα ἐν οἷς κατ' ἐκεῖνον καὶ οὗτος φησὶ μὴ ἄλλο μὲν οὐσίαν νοεῖν, ἄλλο δὲ δύναμιν, ἄλλο δ' ἐνέργειαν καὶ σοφίαν, ὡς καὶ τῆς ἐκκλησίας τοῦτ' αὐτὸ κατηγορεῖν ἔχειν καὶ τῆς οὐσίας καὶ ἀλλήλων διάφορά πως εἶναι ταυτὶ λεγούσης, οὐ μὴν ἀλλὰ καὶ ἄκτιστα καθ' ὃ φυσικὰ τοῦ Θεοῦ· νῦν δὲ καὶ Νεστορίῳ καὶ Μονοφυσίταις ὁμόφρονα τὸν αὐτόν, ὡς κατ' οὐσίαν τὴν ἕνωσιν λέγοντα καὶ δὴ καὶ σχετικήν, ὥστε δυάδα τελείων ὑποστάσεων ἑνωθῆναι. Εἶτα χρῆσιν εὑρὼν ἐκεῖ τοῦ ἁγίου Κυρίλλου περὶ διαφορᾶς θείας οὐσίας καὶ θείας ἐνεργείας θεολογοῦσαν καὶ ταύτην εἰς δύο κακῶς διελὼν καὶ τὸ μὲν ἐκείνης τῷ γεννήτορι δεδωκώς, τὸ δὲ προσρίψας τῷ τόμῳ καὶ ἡμῖν ὡς ἡμέτερον δῆθεν, εἶτα κατ' ἐκείνου χωρεῖ καὶ ἡμῶν ἀκρατῶς· ἐν τούτοις γοῦν ἐξελέγξας αὐτὸν ὁ ἡμέτερος λόγος ὡς κακούργον, ὡς ἀμαθῆ, ὡς τῶν ἁγίων ὑβριστὴν καὶ βλάσφημον ἐκτόπως, εἶτα καὶ συκοφάντην αὐτὸν ἀποδείκνυσι τοῦ τε θείου Κυρίλλου καὶ Ἰωάννου, φημί, τοῦ σοφοῦ. Ἐπὶ τούτοις τὸν περὶ αἰτίου καὶ αἰτιατοῦ λόγον κινήσας, καθ' ὃν ὁ Γρηγορᾶς καὶ αὖθις τοὺς ἱεροὺς θεολόγους Ἀθανάσιόν τε καὶ Βασίλειον συκοφαντεῖ ὡς ἐπὶ Πατρὸς καὶ Υἱοῦ τῷ αἰτίῳ τε καὶ αἰτιατῷ μόνῳ χρωμένους, ἐξελέγχει τοῦτον καὶ αὖθις ἐξ αὐτῶν τε τούτων τῶν θεολόγων πατέρων καὶ δὴ καὶ τῶν ἄλλων καὶ ψεύστην ὁμοῦ καὶ βλάσφημον, ὡς ἐπὶ τῆς θείας οὐσίας καὶ τῆς φυσικῆς ἐνεργείας μᾶλλον καὶ οἰκειότερον τῇ τοῦ αἰτίου τε καὶ αἰτιατοῦ προσηγορίᾳ χρωμένων αὐτῶν. Πρὸς δέ γε τοῖς ῥηθεῖσιν ἀτόποις καὶ τῶν Μονοθελητῶν τε καὶ Μονοφυσιτῶν ἀποδείκνυσι πολλῷ χείρονα καὶ ἀτοπώτερα κατασκευάζοντα Γρηγορᾶν ὁ λόγος, ὅσον ἐκεῖνοι μὲν τὸ τῆς θεότητος ὁμολογοῦντες φυσικὸν θέλημα καὶ τὴν ἐνέργειαν τὰ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ κακῶς ἀπηρνοῦντο, ὁ δὲ τό τῆς

ἁγίας Τριάδος ἀπαρνεῖται διαῤῥήδην θέλημα καὶ τὴν ἐνέργειαν καὶ ἁπλῶς πάντα τὰ φυσικῶς αὐτῇ προσόντα.

ε΄. Τῷ πέμπτῳ περί τε ἡνωμένης καὶ διακεκριμένης θεολογίας καὶ διαφορᾶς αὖθις θείας οὐσίας καὶ θείας ἐνεργείας διεξιόντι καὶ δὴ καὶ τοῦ ταύτης ἡνωμένου καὶ τὸ μὲν θεωρεῖσθαι πράγματι λέγοντι, τὴν δὲ διαφορὰν ἐπινοίᾳ, οὐ πράγματι αἰτοῦντι ἀποδείξεις [1]) ἔκ τε Διονυσίου καὶ Ἱεροθέου τῶν ὁμιλητῶν ‹τε› καὶ διαδοχων τῶν ἱερῶν ἀποστόλων εἰσίν, ἀπὸ τῶν θείων γραφῶν, ἀπὸ τῶν οἰκουμενικῶν συνόδων καὶ δὴ καὶ τῶν ἱερῶν διδασκάλων τε καὶ θεολόγων ἐκ μέρους. Συναποδείκνυται δὲ τῷ λόγω κἀκεῖνο, ὅτι οὐ μόνον ὑπὸ τῆς ἕκτης οἰκουμενικῆς συνόδου οἱ τὰ Γρηγορᾶ καὶ Ἀκινδύνου νοσοῦντες ἐξελέγχονται χείρω καὶ ἀτοπώτερα φρονοῦντες τῶν Μονοθελητῶν ἐκείνων, ἀλλὰ καὶ ὑπὸ πασῶν ὁμοῦ τῶν συνόδων τῶν τε καθόλου καὶ τῶν μερικῶν, ἐπειδὴ καὶ ἀλλήλαις εἰσὶν αἱ πᾶσαι σύμφωνοι καὶ βεβαιοῦσαι ἀλλήλας· δι'ο καὶ παρὰ πασῶν ἐστιν ἡ ἀρὰ καὶ ἡ ἀποκήρυξις ἐπενηνεγμένη τοῖς τἀναντία φρονοῦσιν ἐκείναις· ἀλλ' οὐχ αἱ καθ' ἡμᾶς ἁπλῶς σύνοδοι καὶ οἱ τόμοι· τἀκείνων καὶ γὰρ ἐκφαίνουσιν οὗτοι, μηδὲν παρ' ἑαυτῶν εἰσφέροντες ἢ μόνην τὴν ὁμολογίαν καὶ τὴν συμφωνίαν ἐκείνων. Πρὸς δὲ τούτοις καὶ τά Ὠριγένους ἐλέγχονται νοσοῦντες κατὰ τὴν οἰκουμενικὴν πέμπτην ἁγίαν, φημί, σύνοδον πρὸς ἐκεῖνον εἰποῦσαν ὡς εἶχε μὲν ὁ Θεὸς ἀεὶ τὴν τοῦ κτίζειν δύναμιν, ἐνηργήθη δὲ ἡ τοιαύτη δύναμις· ὁτε αὐτὸς ἐβουλήθη· ὁθεν οὐδ' ἐτράπη Θεός, φησίν, ἀφ' ἑτέρου εἰς ἕτερον.

ς΄. Τῷ γε μὴν ἕκτῳ πρός τε τὸν τρίτον καὶ τέταρτον τοῦ Γρηγορᾶ βλέποντι καὶ περὶ μετοχῆς θείας καὶ ἐνεργείας ἀγωνιζωμένῳ καὶ αὖθις ὁ αὐτὸς ἐλέγχεται τά τε ἄλλα· διὰ τοῦ ληπτοῦ καὶ μεθεκτοῦ τῆς θείας οὐσίας βλασφημῶν εἰς Θεὸν ἀτόπως καὶ δὴ καὶ τὸν Ἀντιοχείας μέγαν Ἀναστάσιον σύν γε τῷ συνοδικῷ τόμῳ συκοφαντῶν καὶ ἀκρατῶς ὑβρίζων. Τὰ γὰρ περὶ τοῦ θείου Πνεύματος εἰρημένα τῷ σοφῷ διδασκάλῳ τούτῳ συλήσας ἀπὸ τοῦ τόμου καὶ τούτοις ὡς ἡμετέροις δῆθεν χρησάμενος, τὰ αἴσχιστα καὶ συκοφαντεῖ καὶ ἐνυβρίζει τούτοις, ὥσπερ δὴ καὶ τοῖς τοῦ ἁγίου Κυρίλλου πρότερον, οὐ μὴν ἀλλὰ καὶ Ἀθανάσιον σὺν ἐκείνῳ τὸν μέγαν μεθεκτὴν τὴν τοῦ Πνεύματος οὐσίαν τε καὶ ὑπόστασιν καὶ δὴ καὶ αὐτὴν τὴν ἁγίαν ὡσαύτως Τριάδα συκοφαντῶν λέγειν ἐκεῖνον. Οὗ τὴν θαυμαστὴν προτιθεὶς θεολογίαν ὁ ἡμέτερος λόγος αὐτοθεν ἐξελέγχει τὸν Γρηγορᾶν καὶ ψεύστην καὶ συκοφάντην τῶν ἁγίων καὶ δὴ καὶ τὰ Μα‹σ›σαλιανῶν καθαρῶς κἀν τούτοις φρονοῦντα, πρὸς δέ γε τοῖς εἰρημένοις καὶ Λατίνοις ἀκριβῶς περί τε

[1]) Въ другихъ спискахъ: οὐ πράγματι, αἱ τούτων ἀποδείξεις. — Ред.

προόδου καὶ χάριτος καὶ φυσικῆς ἐνεργείας καὶ ἐλλάμψεως καὶ Θεοῦ μετοχῆς συνηγοροῦντα, μᾶλλον δὲ καὶ Λατῖνον αὐτὸν ἄντικρυς τὰ τοιαῦτα πεφηνότα μηδ' ἡστινοσοῦν προσούσης διαφορᾶς.

ζ'. Τοῦ ἑβδόμου πρὸς τὸν τέταρτον καὶ αὖθις τοῦ φιλοσόφου λέγοντος λόγον περὶ φυσικῆς καὶ οὐσιώδους ἐνεργείας Θεοῦ ὅτι ἄκτιστος, ἀναδείκνυται μὴ μόνον κτίσμα ταύτην αὐτὸς λέγων, ὡς ἔθος αὐτῷ, ἀλλὰ καὶ μὴ ὄν, ὅταν μὴ πρὸς τὴν οὐσίαν αὐτήν, φησίν, ἀναφέρηται τοὔνομα. Ταύτην καὶ γὰρ φησὶν εἰδέναι μόνην Θεοῦ ἐνέργειαν, τὰ δὲ παρ' αὐτὴν πανθ' ὁμοῦ κτίσματα· θέλησιν δὲ φυσικὴν κοινὴν τῆς ἁγίας Τριάδος μηδαμῶς πεφυκέναι, ἀλλὰ τὴν οὐσίαν αὐτὴν εἶναι θέλησιν καὶ τὸν Υἱὸν τοῦ Θεοῦ μόνα. Δείκνυται δὲ ἐν τούτῳ τῷ λόγῳ Γρηγορᾶς πρὸς τοῖς εἰρημένοις οὐ μόνον τὴν τοῦ Θεοῦ ἐνέργειαν, ἀλλὰ καὶ τὴν οὐσίαν σὺν αὐτῇ περιγραπτὸν καὶ ὡρισμένην φανερῶς λέγων.

η'. Τοῦ δὲ ὀγδόου τῶν λόγων τῷ τετάρτῳ καὶ αὖθις τοῦ Γρηγορᾶ καὶ δὴ καὶ τῷ πέμπτῳ περὶ θείας ἐνεργείας προσδιαλεγομένου καὶ ἔτι ὅτι ἄκτιστος καὶ ὅτι οὐ σύνθετον διὰ ταύτην τὸ θεῖον κατ' αὐτὸν τὸ κατὰ φύσιν ἁπλοῦν, ἀποδείκνυται Γρηγορᾶς οὐ μόνον σύνθετον καὶ κτιστὸν διὰ τῆς ἐνεργείας κατασκευάζων τὸν Θεόν, ἀλλὰ καὶ τοὺς ἱεροὺς θεολόγους Κύριλλον τε καὶ Ἰωάννην τὸν Δαμασκηνὸν συκοφαντῶν καὶ αὖθις· οὐ κατὰ διάνοιαν, φημί, μόνον, ἀλλὰ σχεδὸν καὶ κατ' αὐτὰ τὰ ῥητά· οὐ τούτους δὲ μονο‹υς›, ἀλλὰ καὶ τὴν ἕκτην οἰκουμενικὴν ἁγίαν σύνοδον ὅλην Μάξιμόν τε τὸν τῆς θεολογίας καὶ ὁμολογίας στῦλον καὶ Βασίλειον καὶ Ἀθανάσιον ὁμοῦ τοὺς μεγάλους. Ἐν οἷς οὐ τὰ Μονοφυσιτῶν τε καὶ Μονοθελητῶν σπουδάζων μόνον καὶ αὖθις ἐλέγχεται, ἀλλὰ καὶ Εὐνόμιος ἄλλος αὐτὸς ἀναδείκνυται, οὐ μὴν ἀλλὰ καὶ Ἄρειος ἅμα καὶ Μακεδόνιος, μᾶλλον δὲ καὶ πολλῷ χείρων καὶ ἀτοπώτερος ἐκείνων· ὅσον ἐκεῖνοι μὲν κατ' οὐσίαν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς διαιροῦντες, ὁ δὴ καὶ φθάσαντες ἔφημεν, εἰς κτίσμα καταφέροντες ὅσον τὸ κατ' αὐτοὺς τὸν Θεὸν ἦσαν, Γρηγορᾶς δ' οὐτοσὶ καὶ εἰς τὸ μὴ ὂν τὴν οὐσίαν τοῦ Θεοῦ κατασπᾶν ἐπιχειρεῖ διὰ τῶν φυσικῶς προσόντων αὐτῇ. Οὐ μὴν ἀλλὰ καὶ τὰς Πλατωνικᾶς ἰδέας καὶ μάλα πρεσβεύων ἐλέγχεται, ἰδιουποστάτους τὰς ἀνυποστάτους ἑαυτοῦ δοξάζων ἐνεργείας καὶ καθάπερ σκιάς τινας, ὡς αὐτὸς φησί, τῇ οὐσίᾳ παρεπομένας. Ὁ δὲ λόγος ἡμῖν οὐτοσὶ δείκνυσι διὰ τῆς ἱερᾶς τῶν ἁγίων θεολογίας καὶ πότε καὶ κατὰ τίνας τοὺς λόγους νοηθείη ἂν ἐπὶ Θεοῦ σύνθεσις· οὓς ἡ μὲν ἐκκλησία τοῦ Θεοῦ ἀποσείεται τοῖς ἱεροῖς ἑπομένη διδασκάλοις, ὅ γε μὴν Γρηγορᾶς ἀπειθῶν τούτοις ἐξ ἀνάγκης ἐκείνοις ἁλίσκεται σύνθετον ποιῶν τὸν Θεόν.

ϑ΄. ι΄. Ὁ ἔνατος καὶ ὁ δέκατος πρὸς τὸν πέμπτον μὲν καὶ αὖθις, ἀλλὰ δὴ καὶ τὸν ἕκτον ἐνίστανται τοῦ Γρηγορᾶ λόγον περί τε ϑεότητος καὶ Θεοῦ καὶ ϑείας ἐνεργείας αὖθις καὶ ϑεώσεως, δεικνύ<ν>τ<ες> ὅτι τε ἄκτιστος καὶ ὅτι ἄσχετος καὶ ἀμιμητος τῇ ἀνθρωπείᾳ φύσει, εἰ καὶ Πνεύματι ἁγίῳ ἐν σχέσει καὶ μιμήσει γίνεται, καὶ πῶς καὶ κατὰ τίνας τοὺς λόγους καὶ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐνέργειαι τοῦ Πατρὸς λέγονται παρὰ τῶν ϑεολόγων καὶ αὖθις οὐκ ἐνέργειαι οἱ αὐτοί, καὶ ὅτι καὶ αἱ τρεῖς ϑεαρχικαὶ ὑποστάσεις καὶ κοινῇ καὶ ἰδίᾳ καὶ σοφία καὶ δύναμις ὡσαύτως λέγονται διὰ τὸ φυσικῶς καὶ μὴ μεϑεκτῶς ἔχειν ταῦτα καὶ τὴν φυσικὴν αὖϑις δύναμιν καὶ ἐνέργειαν κοινῶς καὶ ἡνωμένως ἔχουσιν ὡς ὁμοούσιοι καὶ ὁμόϑεοι. Ἀποδεικνύουσι δ' αὖϑις τὸν φιλόσοφον καὶ τὸν μέγαν συκοφαντοῦντα Βασίλειον, ὥσπερ δὴ κἀν τοῖς φϑάσασι καὶ τοὺς ἄλλους ϑεολόγους πατέρας· φησὶ καὶ γὰρ ὡς οὐ περὶ φυσικῆς ἐνεργείας Θεοῦ φησὶν ὁ διδάσκαλος πρὸς Εὐστάϑιον γράφων, ἀλλὰ περὶ ἀποτελεσμάτων μόνον ἤτοι κτισμάτων. Οὐ μὴν ἀλλὰ καὶ ὁμόφρονα δεικνύουσι καὶ αὖϑις αὐτὸν ὄντα Σαβελλίῳ τε ἅμα καὶ Ἀρείῳ καὶ Μακεδονίῳ, μὴ δευτέραν καὶ κατωτέρω τὴν ϑείαν ἐνέργειαν οἰόμενον σύν γε τοῖς ϑεολόγοις πατράσι τῆς πηγαζούσης αὐτὴν ϑείας φύσεως, ὡς κατ' αἰτίαν ὑπερκειμένης καὶ μείζονος, ἄλλα ϑεοτητας καὶ ϑεοὺς διαφόρους ἀλλήλων ἐντεῦϑεν συνάγοντα, ὃ δὴ καὶ τοῖς προῤῥηϑεῖσι παλαιοῖς αἱρεσιάρχαις ἐκείνοις ἐδόκει διὰ τὸ τῶν ϑείων ὑποστάσεων δηλονότι διάφορον παρὰ τῆς ἐκκλησίας Χριστοῦ καλῶς πρεσβευόμενον.

ια΄. Ὁ ἑνδέκατος, τὰ περὶ τῆς Χριστοῦ διεξιὼν ἐν Θαβωρίῳ ϑείας μεταμορφώσεως καὶ τοῦ κατ' αὐτὴν τῆς ϑεότητος φωτὸς περί τε ϑεώσεως ὑπερφυοῦς αὖϑις καὶ μετοχῆς τῆς ϑεοποιοῦ καὶ φυσικῆς τοῦ Πνεύματος χάριτος, δείκνυσι τὸν Γρηγορᾶν ἢ μηδὲ γενέσϑαι τὴν μεταμόρφωσιν ὅλως Χριστοῦ λέγοντα ἢ τραπῆναι καὶ μεταβληϑῆναι τὴν ἀνϑρωπείαν μορφὴν ἢ τὸ εἶδος τοῦ Χριστοῦ σύν γε τοῖς εἰκονομάχοις καὶ προσέτι τὸν Θεὸν καὶ ῥητὸν καὶ ὁρατὸν οὐκ ἐκ τῶν περὶ αὐτὸν κατὰ τὴν ἱερὰν μυσταγωγίαν, ἀλλὰ κατ' αὐτὴν τὴν οὐσίαν δοξάζοντα μετ' Εὐσεβίου καὶ τῶν Ἀρειανῶν καὶ κτιστὸν καὶ ὁρατὸν εἰσάγοντα σὺν ἐκείνοις Θεόν, ὃν δήπου καὶ κατ' οὐσίαν ἰδεῖν ἐκδέχονται καὶ προσκυνῆσαι, φησὶν ὁ γραπτὸς ϑεῖος Θεοδωρος, ὑπ' αὐτοῦ τοῦ Γρηγορᾶ προβληϑεὶς καϑ' ἡμῶν δῆϑεν καὶ τοῦ τῆς ἀληϑείας λόγου. Διέξεισι δ' ὁ λόγος ἐν τούτοις καὶ περὶ τοῦ ἀπροσίτου φωτὸς τῆς ϑεότητος καὶ μετοχῆς ἱερᾶς αὐτοῦ καὶ ϑεοφανείας καὶ ἐλλάμψεως ϑείας τῆς διδομένης τοῖς ἁγίοις ἐν Πνεύματι νῦν μὲν ἐκ μέρους ὡς ἐν ἀῤῥαβῶνος μέρει, κατά τε τὸν ϑεῖον Παῦλον φημὶ καὶ τοὺς μετ' ἐκεῖνον ϑεολόγους καὶ διδασκάλους, ἐν

δὲ τῷ μέλλοντι αἰῶνι δαψιλεστέρας τε καὶ τελεωτέρας· λάμψουσι γὰρ οἱ δίκαιοι, ὡς ὁ ἥλιος, Χριστὸς φησὶν ὁ τῆς δικαιοσύνης ἥλιος, ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν καὶ ἰσάγγελοι ἔσονται καὶ υἱοὶ Θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες.

ιβ΄. Ὁ δὲ μὴν δωδέκατος οὐτοσὶ καὶ τελευταῖος τῶν ἄλλων, ὑπὲρ τῶν ἐν τῷ ἁγίῳ ὄρει τῷ Ἄθῳ μοναστῶν καὶ τῶν ἱερῶς καθ' ἡσυχίαν ἀσκούντων τὰ τῆς εὐαγγελικῆς πολιτείας τελεώτερα [1]) συντεθείς, καὶ συκοφάντην καὶ βλάσφημον καὶ ὑβριστὴν ἄτοπον τῶν ἁγίων κἀν τούτοις τὸν Γρηγορᾶν ἐξελέγχει, καθάπερ δὴ κἀν τοῖς ἄλλοις· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὑπεύθυνον παντ' ἐκεῖνά γε ἀκριβῶς, ὅσα τῶν ἁγίων ψευδῶς κατηγορεῖ, πεπλανημένους καὶ ψευδοπροφήτας καὶ Μα<σ>σαλιανοὺς τούτους ἀποκαλῶν. Εἶτα καὶ ὑπὲρ τῶν θειοτάτων ἀπολογησάμενος βασιλέων· οὐδὲ γὰρ οὐδὲ τούτων ἡ φιλοψευδὴς καὶ φιλολοίδορος ἀπέσχετο γλῶσσα· οὐ μὴν ἀλλὰ καὶ ὑπὲρ Γρηγορίου τοῦ καθ' ἡμᾶς, φημί, θεολόγου καὶ κοινοῦ τῆς ἐκκλησίας Χριστοῦ διδασκάλου καὶ δὴ καὶ τῆς εἰς Ἀσίαν αἰχμαλωσίας καὶ τῶν ἱερῶν αὐτοῦ θαυμάτων βραχέ' ἄ<τ>τα διαλεχθείς, ἔν γε τῇ ἀνακεφαλαιώσει ταύτῃ καταπαύει τὸν δρόμον, μικρά τινα καθάπερ ἐν ἐπιλόγῳ πρός γε τὸν θαυμαστὸν εἰπὼν βασιλέα τὸν καὶ τὴν ἀρχὴν πρὸς ταῦτα κεκινηκότα.

XVI. Τοιαῦτα τὰ πρὸς Γρηγορᾶν ἡμῖν καὶ τὰ ἐκείνου κατὰ τῆς εὐσεβείας καὶ τῆς ὀρθῆς περὶ Θεοῦ δόξης καὶ τῶν ταύτης προαγωνιστῶν τε καὶ προμάχων, θειότατε βασιλεῦ· δεῖ με καὶ γὰρ ὥσπερ ἀρχόμενον, οὕτω καὶ λήγοντα τοῦ λογικοῦ τούτου δρόμου πρὸς σὲ καὶ αὖθις ἀπιδεῖν τὸν αἴτιον τούτων καὶ τῷ παντ' ἀρίστῳ σοὶ τὸ πᾶν ἐπιγράψαι εἰ μὲν ἀρκούντως καὶ κατὰ σὴν ἔχοντα γνώμην, τοῦ καλῶς πρὸς ταῦτα προτρεψαμένου, τῷ Θεῷ χάρις καὶ σοὶ τῷ καλέσαντι· εἰ δὲ τῆς ἐλπίδος ἐνδεέστερον, καὶ οὕτω χάρις. Οὐ γὰρ ψεκτῶς εὖ οἶδα γραφικοῖς τε καὶ θεολογικοῖς ὡπλισμένα πάντοθεν λόγοις καὶ τὰ τῶν ἀντιθέτων οὐκ ἀποστρέφοντα καὶ διαλύοντα μόνον ἐκ πολλοῦ πάνυ τοῦ περιόντος, ἀλλὰ καὶ κατὰ τῆς αὐτῶν περιτρέποντα κεφαλῆς, εὐπερίτρεπτα μὲν καὶ σαθρὰ πεφυκότα τῇ τε λαμπρᾷ τοῦ ψεύδους ὑπερβολῇ καὶ τῷ νωχελεῖ καὶ ἀμαθεῖ καὶ κούφῳ τοῦ ταῦτα συγγραψαμένου, ἐξ ἀντιστρόφου δὲ τὸ δυσχερὲς καὶ οὐ πάνυ τοι ῥᾷστον ἄλλως πρὸς τὴν ἀπάντησιν ἔχοντα τῇ τε ἀταξίᾳ, φημί, καὶ ἀναρμοστίᾳ τῶν προβλημάτων τε καὶ συλλογισμῶν τοῦ φιλοσόφου καὶ τῇ συκοφαντίᾳ καὶ τῷ συχνῷ ψεύδει κατά τε τῶν θεολογικῶν τε καὶ πατρικῶν λόγων καὶ τῆς συνόδου καὶ πάντων ἡμῶν, οὐ μὴν ἀλλὰ καὶ τῷ πᾶσαν ὡς εἰπεῖν αἵρεσιν ἐνταῦθα συνειλοχέναι

---

[1]) Тамъ же: βεβαιότερα. — Ред.

καὶ μηδὲ Ἰουδαισμοῦ καὶ δοξῶν Ἑλληνικῶν φείσασθαι τοῦ μὴ καὶ τούτων οἷς λέγει τε καὶ φρονεῖ κοινωνεῖν, ἃ δὴ καὶ ὁ λόγος ἡμῖν ἐν τοῖς φθάσασιν ἔδειξεν, ὡς καὶ θαυμάζειν τοὺς μετ' ἐπιστήμης ἐντυγχάνοντας τῷ βιβλίῳ ὅτι καὶ συναγαγεῖν ἐδυνήθημεν τὸν σκοπὸν καὶ τῆν πρόθεσιν ἐκ τῶν ⟨γ⟩εγραμμένων τῷ φιλοσόφῳ καὶ τάξιν τινὰ δοῦναι τέως τῇ τοσαύτῃ γε ἀταξίᾳ καὶ συγχύσει καὶ οὕτω καὶ κατ' ἐκείνων σύν γε τοῖς γραφικοῖς καὶ θεολογικοῖς λόγοις χωρῆσαι καὶ τοῦτ' αὐτὸ πρῶτον ἐξ ἑαυτῶν τῷ ἀντιπάλῳ χαρίσασθαι, τὸ καὶ δόξαι τι λέγειν ὅλως ἐκεῖνον κατὰ τοῦ λόγου τῆς ἀληθείας καὶ ἀντιλέγειν ὁπωσοῦν οἷς δήπου καὶ προύθετο, ὅπερ οὐκ ἄν, φησίν, εὐχερῶς τις λαβεῖν δυνηθείη, τὰ ἐκείνου γε μόνα διεξιὼν καθ' αὑτά. Ἀλλ' ἐπειδὴ Γρηγορᾶς πρὸς ταῖς συχναῖς καὶ ἀλλεπαλλήλοις αὐτοῦ καθ' ἡμῶν συκοφαντίαις καὶ μαρτυριῶν ἱερῶν ἀπορίαν καὶ συμμαχίαν θεολογικῶν λόγων πυκνὰ μετὰ πολλῆς τῆς ἀναισχυντίας ἡμῖν ἐγκαλεῖ, τὴν ἀμαθίαν οὐ τῆς ἔξω παιδεύσεως καὶ σοφίας μόνον, ἀλλὰ καὶ τῆς ἡμετέρας ταύτης καὶ ἱερᾶς περιάπτων, ὧν ἐκεῖνος τῆς μὲν καὶ καθάπαξ ἀμύητός τε καὶ ἄγευστος ἀναπέφηνε, τὴν δὲ πλημμελῶς τε καὶ ἀμαθῶς μελετησας, ὡς ἐκ τῶν αὐτοῦ δήπου δέδεικται λόγων, οὐδὲ ταύτης ἀπώνατό τι τῶν ἐπαινετῶν καὶ χρησίμων, πρὸς ἀνάγκης ἡμῖν ὥσπερ γέγονε τά τε τοῦ τόμου καὶ δὴ καὶ τὰ τῶν θεολογικῶν τε καὶ πατρικῶν λόγων εἰς πλάτος ἐν τοῖς λόγοις καὶ πέρα τοῦ συνήθους ἴσως ἐκθέσθαι, ὑπὲρ οὗ καὶ οὐδεὶς ἂν ἡμῖν, οἶμαι, νεμεσήσαι δικαίως, πρός τε Γρηγορᾶν καὶ τὸν ἐκείνου κατὰ τῆς ἀληθείας καὶ ἡμῶν σκοπὸν βλέπων. Ἐγὼ μὲν οὖν οἶμαι καὶ τὰς παρὰ Γρηγορᾶ πρὸς ἀντιλογιαν δῆθεν εἰσαχθείσας τοῦ τῆς ἀληθείας λογου θεολογικὰς βήσεις πάσας ἢ τὰς ἀναγκαιοτέρας ἐκείνων τὰς μὲν ἤδη λελύσθαι παρὰ τοῦ λόγου, τὰς δέ γε πλείους ἐκείνων καὶ κατὰ τῆς κεφαλῆς τοῦ κακῶς χρησαμένου τετράφθαι, καθ' ἃ δὴ καὶ προύφην, καὶ μηδὲν τὸ παράπαν ἐνδεῖν. Εἰ δέ πού τι καὶ παραλέλειπται τῶν ἐξετάσεως δεομένων ἴσως, οὐδ' ἐκείνοις ἐπεξελθεῖν ὁ λόγος ἔπειτα κατοκνήσει, τῆς προσηκούσης σχολῆς καὶ αὖθις λαβόμενος, καὶ τοῦτο διὰ τήν τινων ἔριν δηλαδὴ καὶ τὴν ἔνστασιν. Ἱκανῶς γὰρ ἡμῖν ἄλλως ὁ λόγος ἔχει κατ' αὐτόν, φημί, τὸν τῆς ἀληθείας σκοπόν τε καὶ λόγον. Εἰ δέ που καὶ τοῦ σχήματος καὶ τοῦ καθ' ἡμᾶς βουλομένου παρεκβαίνειν τὰ τοῦ λογου δοκεῖ, κατὰ τοῦ φιλοσόφου καὶ τῆς ἀναισχυντίας ἐκείνου χωροῦντα, καινὸν οὐδὲν οὐδ' ἔξω τοῦ λόγου, φιλόχριστε βασιλεῦ, εἰ διὰ τοσούτου καὶ τοιούτου βορβορου τῶν ἐκείνου, φημί, λογων ὁ λογος ἡμῖν παριών ὀλίγα τινὰ ῥαντίζοιτο. Καὶ τοῦτ' εἴσεται καλῶς ὁ τῷ βιβλίῳ τῷ κατὰ τῆς ὑγιοῦς πίστεως ἐντυγχάνων ἐκείνου· ὃς οὐ τοῦτο μᾶλλον, ἀλλ' ἐκεῖνο καὶ λίαν ἐπαινέσεται καὶ θαυμάσει, τὸ

μετρίως ἡμᾶς οὐτωσὶ καὶ κατὰ πολὺ τῶν κατ' ἐκεῖνον πραγμάτων ἐνδεέστερόν πως τῷ λόγῳ χρήσασθαι, ὡς μηδὲ παραβάλλειν ἐξεῖναι, Χριστοῦ δηλαδὴ καὶ τῆς ἐκείνου σπεύδοντας ἱερᾶς εἶναι φατρίας καὶ τῶν ἐκείνου μεμνημένους ἱερῶν παραινέσεών τε καὶ λόγων, «μακάριοι» λεγόντων «ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ «διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ». Αὐτῷ ἡ δόξα σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. +

(Ср. Migne, Patr. gr. t. 151, coll. 1109—1139).

№ 51.

Жизнь и ученіе богомиловъ

по Панопліи Евѳимія Зигавина и другимъ источникамъ.

Euthymius Zygabenus: «Nabratio de Bogomilis», titulus XXVII, edid. Gieseler. 1842. Gotha.

Παναπλία δογματική (въ лат. перев.). Maxima Biblioth. Vet. Patrum. T. XXI.

Anna Comnena, Alexias. L. XV. Venetiis. 1729.

Козма Пресвитеръ: Бесѣды на новоявившуюся ересь Богумилову. — Православн. Собесѣдн. 1864, ч. I. II.

Синодикъ болгар. царя Бориса.—Врем. Общ. Ист. и Древн. Рос. 1855. XXI.

«Житіе пр. Иларіона Могленскаго».—Полн. Собр. Р. Лѣт. Томъ IX, стр. 144—149.

Liber s. Ioannis apocryphus ap. Thilo, Codex apocryph. Novi Testamenti. 1832, стр. 884—896. Lipsiae.

Ceillier: Histoire generale des auteurs sacrés et écclisastiques, t. XXI.

Engelhardt: «Krichengeschichtliche Abhandlungen». 1832. Erlangen, стр. 163—250.

Gieseler: Lehrbuch der Kirchengesch. II. 1. 1844.

—«Uber den Dualismus der Slaven»,—Theolog. Studien und. Krit. H. 11.

Neander: Krichengeschichte, t. V. Abth. II. 1845.

Ullman: «Nicol. von Methone, Euth. Zigab.»., Stud. u. Krit. B. 1833. B. III.

C. Schmidt: Histoire de la secte des Cathares ou Albigeois. 1849. Paris.

Левицкій: «Богомильство—болгар. ересь» (Истор. очеркъ). Христіанск. Чт. 1870. Январь и февраль.

Петрановић: Богомили. Црьква Босаньска и Крьстяни. 1867. У Задру.

S. Chr. Wolf: Historia Bogomilorum. 1712. Würtemberg.

Oeder: Prodromus historiae Bogomilorum criticae.

Гильфердингъ: *Собраніе сочиненій.* 1868. Т. I.

I.

Около 1111 года въ Константинополѣ всюду распространился слухъ о появленіи новыхъ опасныхъ еретиковъ, которыхъ называли богомилами и

считали послѣдователями манихеевъ и мессаліанъ. Эта ересь существовала и прежде, но не была еще извѣстна церкви: «зло скрывалось подъ мантіей и клобукомъ». Еретики въ высшей степени обладали искуствомъ притворяться, держать себя степенно, съ благоговѣніемъ, пренебрегая свѣтскостію. Омраченное печалью лице, почти закрытое клобукомъ, поникшая голова, медленная походка и постоянное нашептываніе какихъ-то молитвъ про себя—вотъ картина богомила, по изображенію Анны Комниной (Ἀλεξιάς, p. 384). Даже женщины увлекались ученіемъ еретиковъ; оно нашло себѣ приверженцовъ и въ знатныхъ домахъ (εἰς οἰκίας μεγίστας), особенно благодаря неутомимой дѣятельности монаха Василія [1]). Встревоженный этими слухами, императоръ велѣлъ представить ему во дворецъ «учителя и верховнаго главу богомиловъ», какъ называли Василія схваченные по приказанію императора еретики. По описанію Анны Комниной (Ἀλεξιάς, 385) и Евѳимія (Narrat. de Bogom., p. 6), это былъ человѣкъ высокаго роста, тщедушнаго тѣлосложенія, съ клинообразной бородой, въ одеждѣ монаха. Дряхлый, изможденный видъ обличалъ въ немъ весьма преклонныя лѣта; при всемъ томъ онъ сохранилъ замѣтную бодрость духа и способность ловко владѣть словомъ, пріобрѣтенную имъ долголѣтнею практикою въ качествѣ учителя секты: по Евѳимію (Narrat. de Bogom., l. II), Василій 15 лѣтъ изучалъ ересь и болѣе сорока лѣтъ проповѣдывалъ ее. Зонара говоритъ, что Василій 52 года проповѣдывалъ и наполнилъ ядомъ всю вселенную (totum fere orbem pestis implevit. Annal. L. XVIII, p. 231). Василія обыкновенно сопровождали 12 апостоловъ и нѣсколько женщинъ крайне развратнаго поведенія.

Когда Василій явился во дворецъ, императоръ удостоилъ его величайшей чести: Алексѣй Комнинъ всталъ при его привѣтствіи и пригласилъ

---

[1]) Евѳимій называетъ Василія не монахомъ, а врачемъ, слѣдуя въ этомъ случаѣ, вѣроятно, суевѣрной молвѣ народа, который видѣлъ въ вожакѣ богомиловъ вѣдуна, чародѣя, находившагося въ сношеніи съ высшими силами, способнаго врачевать (по понятію древнихъ Славянъ, даже Русскихъ, у которыхъ также *врач*, *врачар* обозначило колдуна, вѣщаго) всякіе недуги. Колдуна, чародѣя народъ видѣлъ и въ преемникѣ Василія Ликопетрѣ, который, по словамъ его учениковъ, воскресъ въ третій день по смерти и явился имъ въ видѣ волка (Victoria... 1 Ἀναθ. ap. Tollii Insign. p. 115),—чисто славянское повѣрье, представляющее покойниковъ-оборотней именно въ такой формѣ (Сравни: Пыпина Истор. слав. литерат., стр. 74). Врачемъ, въ настоящемъ смыслѣ, Василій не былъ, равно какъ и монахомъ. Зонара говоритъ, что Василій *по одеждѣ походилъ* на монаха, а по нравамъ на сатану (Annales. L. XVIII).

сѣсть за однимъ столомъ. Императоръ скоро замѣтилъ, что ему не легко вызвать Василія на откровенность; и вотъ онъ (по примѣру Флавіила, епископа антіохійскаго, открывшаго ученія мессаліанъ) коварно притворяется покорнымъ ученикомъ Василія. «Достопочтенный отецъ!» сказалъ государь, «я весьма много уважаю тебя и чту, плѣняясь твоими добродѣтелями, но еще болѣе хочу научиться у тебя истинамъ, тайно сообщаемымъ тобою немногимъ, передъ которыми наши обыкновенные обряды ты почитаешь пустыми и безполезными». Утонченная до подобострастія обходительность императора и ловко замаскированное притворное желаніе его и брата его Исаака быть учениками Василія развязали наконецъ уста послѣднему: онъ со всею откровенностію излагалъ свое ученіе, не подозрѣвая засады. Вдругъ императоръ изъ послушнаго ученика дѣлается грознымъ судьею. За занавѣсами, раздѣлявшими ихъ комнату, сидѣлъ писецъ, быстро записывавшій рѣчи Василія; ученіе его было записано все и представлено на судъ созваннаго по этому случаю собора. Не смотря на неоднократныя угрозы и увѣщанія императора и клира, Василій не думалъ однакожь отказываться отъ своего заблужденія и говорилъ, что за истину своего вѣроученія готовъ потерпѣть огонь, бичеваніе и тысячу смертей.

Между тѣмъ были пойманы 12 апостоловъ и множество послѣдователей ереси. Многіе изъ арестованныхъ доказали свою невинность; другіе, напротивъ, съ радостію готовились встрѣтить ожидавшія ихъ мученія. Для распознанія виновныхъ отъ невинныхъ императоръ велѣлъ устроить два костра и на верху одного изъ нихъ водрузить крестъ. Богомилы, презиравшіе крестъ по принципу своего вѣроученія, не пошли къ нему, и этимъ явно засвидѣтельствовали свою принадлежность къ сектѣ. Они были отведены въ темницы, а подошедшіе къ костру съ крестомъ освобождены.

Когда ни увѣщанія, ни угрозы не дѣйствовали на Василія, соборъ осудилъ его на смерть. При многочисленномъ собраніи народа Василій возведенъ былъ на ипподромъ гдѣ пылалъ возженный костеръ. Богомилъ не смутился: онъ твердо произнесъ слова 90-го псалма: *ангеломъ своимъ заповѣсть о тебѣ сохранити тя.* У костра онъ замѣтилъ крестъ. Стоило только преклониться предъ нимъ и Василій былъ бы спасенъ отъ ужасной смерти, но онъ отвернулся отъ креста. Вдругъ онъ узнаетъ, что его родные и друзья, вопреки обѣщанію императора, подвергнуты пыткамъ, гніютъ

въ тюрьмахъ. Горькія слезы полились изъ глазъ его; онъ громко рыдалъ, вспоминая о прошедшемъ и о близкихъ его сердцу (Narrat. de Bogom., гл. XXII, 35). Непреклонность Василія въ виду пылающаго костра, его обращеніе къ ангеламъ поселили въ толпѣ опасеніе, что демоны спасутъ его отъ смерти. Въ видѣ опыта палачи бросаютъ въ огонь одежду Василія и пламя быстро пожираетъ ее; за нею взошелъ на костеръ Василій и его не стало. Это было въ 1118 году (Ἀλεξιάς, p. 390).

«Голова дракона была отрублена, но еще уцѣлѣли его члены; не задѣтъ былъ хвостъ», говоритъ Евѳимій (Narrat. de Bogom., гл. LII). Еще не разсѣялась «грозная туча ересей», повисшая на византійскомъ небосклонѣ (Alexias. 384). И вотъ императоръ, радѣя о правовѣріи своихъ подданныхъ, дорожа славою хорошаго богослова[1]) столько же, сколько и славою искуснаго политика, поручилъ болѣе опытнымъ богословамъ своего времени составить описаніе разныхъ ересей. Редакція этого труда была возложена на Евѳимія Зигавина.

Годъ рожденія и смерти Евѳимія не извѣстенъ. Полагаютъ, что прозваніе *Зигавина* онъ получалъ отъ мѣста своего рожденія или первоначальнаго воспитанія. Нѣкоторые ученые читаютъ Ζυγαδίνους отъ Ζυγάδος,—родины Евѳимія (Ullman, Theolog. Studien und Kritiken. 1833. III B., стр. 663—674). Свѣдѣніе о жизни его весьма скудны. Самъ онъ называетъ себя монахомъ константинопольскаго монастыря въ честь пресв. Дѣвы, лежавшаго на берегу моря (ср. Cave, Hist. liter., t. II, p. 198). Онъ пользовался отъ современниковъ славою учителя вѣры. Анна Комнина называетъ его превосходнымъ грамматикомъ, весьма искуснымъ риторомъ, отличнымъ знатокомъ церковныхъ догматовъ (τὸ δόγμα ὡς οὐκ ἄλλος τις ἐπιστάμενον). Онъ былъ извѣстенъ и императрицѣ Иринѣ и всему византійскому клиру. Какъ толкователь Библіи Евѳимій и въ наши дни пользуется немалою извѣстно-

[1]) Такое близкое участіе въ дѣла вѣры визант. императоровъ, носившихъ титулъ ἅγιος,—явленіе довольно обыкновенное въ то время. Римскіе императоры, говоритъ Никита Хоніатъ, не довольствуются господствомъ надъ свободными, какъ надъ рабами; они обижаются, когда ихъ не признаютъ премудрыми, православными богословами, законодателями, способными одинаково рѣшать дѣла божескія и человѣческія (Neander, V, II, 1043). Алексѣй Комнинъ неоднократно самъ спорилъ и обличалъ богомиловъ, павликіанъ и другихъ. По словамъ Евѳимія, его дворецъ былъ наполненъ духовными лицами, съ которыми императоръ разсуждалъ о дѣлахъ вѣры (Max. Bibl. Vet. Patr. LXX, 6).

стію; впрочемъ въ толкованіяхъ его не достаетъ глубины мысли и самостоятельности изслѣдованія (Ullman, стр. 665).

Оконченный Евѳиміемъ трудъ самъ императоръ назвалъ Δογματικὴ Πανοπλία (Ἀλεξιάς, p. 387). Его полное заглавіе таково: Πανοπλία δογματικὴ τῆς ὀρθοδόξου πίστεως, ἤτοι ὁπλοθήκη δογμάτων, — эта оружейная палата «должна была доставлять на будущее время оружіе для духовной борьбы съ разными обнаружившимися заблужденіями». Евѳимій увѣряетъ, что «этимъ разнообразіемъ стрѣлъ и оружія можно будетъ, навѣрное, отразить всякое нападеніе на религію»[1]). Впрочемъ такія надежды Евѳимія недовольно оправдываются содержаніемъ Панопліи. Здѣсь, для борьбы съ новыми ересями, возникшими на новой почвѣ, при другихъ условіяхъ употребляется большею частію устарѣвшее оружіе вѣковъ предшествующихъ: въ трудѣ Зигавина мало оригальности, самостоятельности, а свидѣтельства отцовъ не всегда удачно приводятся (Ullman, стр. 668). Эта громадная компиляція указываетъ на замѣтный упадокъ греческой образованности. Вѣкъ Василіевъ, Григоріевъ, Златоустовъ, — вѣкъ свободнаго изслѣдованія разума, плѣненнаго въ послушаніе вѣры, для Византіи миновалъ. Періодъ вселенскихъ соборовъ кончился и, по видимому, въ области религіозныхъ вопросовъ ничего больше не оставалось дѣлать, какъ повторять старое. У церковныхъ писателей вмѣсто живой мысли стала преобладать риторическая фразеологія, ставшая наконецъ всеобщимъ условнымъ языкомъ. Въ обществѣ, которое говорило на языкѣ древней Греціи, жило подъ тѣмъ же небомъ, изучало древнихъ классиковъ, еще замѣтны слѣды языческаго вліянія: не даромъ Панопліа съ жаромъ нападаетъ на епикуреизмъ и пантеизмъ[2]). Такое состояніе общества имѣло вліяніе и на успѣшное распространеніе богомильства въ Греціи.

II.

23-я глава Панопліи, написанная для обличенія богомиловъ, составляетъ наиболѣе самостоятельную часть произведенія Евѳимія Зигавина. До недавняго обнародованія «Слова пресвитера Козмы» трудъ Евѳимія оставался почти единственнымъ памятникомъ для изученія догматическихъ мнѣній богомиловъ. Ученые, занимавшіеся этимъ памятникомъ, приходили къ

[1]) Max. Bibl. Veter. Patrum, XXI, p. 6. — [2]) Ibidem, p. 7—10.

радикально противоположнымъ заключеніямъ касательно достовѣрности сообщаемыхъ имъ свѣдѣній. Арнольдъ первый утверждалъ, что извѣстія Евѳимія объ ученіи богомиловъ — чистая выдумка (figmentum), обманъ православныхъ (fraus orthodoxorum), потому что оно не подтверждается извѣстіями другихъ писателей и содержитъ нелѣпыя неслыханныя мнѣнія (opiniones vix quando auditas.—Heresiologia, I, 356). Спангеймъ говоритъ, что Греки приписали богомиламъ много баснословныхъ (fabulosos) мнѣній, или по крайней мѣрѣ, сомнительныхъ (Woff, Histor. Bogomilorum, p. 44). Эдеръ написалъ цѣлый трактатъ съ цѣлью обличить «ложь монаха Евѳимія». Съ своей піетистической точки зрѣнія Эдеръ утверждаетъ, что въ Византіи, во времена богомильства, господствующая вѣра была испорчена и оффиціальные богословы совершенно незаслуженно обвиняли въ ложныхъ мнѣніяхъ богомиловъ, — послѣдователей чистой, незатемненной разными традиціями, вѣры, — изъ ненависти къ ихъ вліянію на народъ. О самомъ Евѳиміи Эдеръ выражается такъ: nullam paene auctoritatem Graeculi hujus agnosco, dum *monachum* cogito, i. e. hominem superstitiosum, credulem. Нужно быть крайне легковѣрнымъ, чтобы повѣрить этому *балагуру* (historiolis.—Prodromus Hist. Bogomilorum, p. 8). Вольфъ, напротивъ, пускаетъ въ оборотъ всю свою ученость, чтобы доказать справедливость показаній Евѳимія. Главнымъ доводомъ для Вольфа служитъ при этомъ почти буквальное сходство позднѣйшихъ писателей (Н. Хоніата, Арменопула и др.) съ Евѳиміемъ, которые, очевидно, цѣликомъ выписывали его показанія. Въ своемъ обширномъ трудѣ (136 стр., in 8^0) Вольфъ со всею энергіею и трудолюбіемъ средневѣковаго гелертера, подыскиваетъ цитаты изъ Платона, Ксенофонта, Цицерона, изъ разныхъ философовъ и отцевъ церкви, даже цитату изъ Энеиды Виргиліевой для того, чтобы обнаружить правдивость показанія Евѳимія. Большинство новѣйшихъ историковъ стоятъ также за подлинность извѣстій Евѳимія. Они обыкновенно почти цѣликомъ выписываются при изложеніи богомильскаго ученія въ нѣкоторыхъ монографіяхъ. (Engelhardt, Kirchengeschichtliche Abhandlungen) и въ извѣстныхъ трудахъ по церковной исторіи, начиная отъ Неандера. Этотъ ученый совѣтуетъ, впрочемъ, *осторожно* относиться къ показаніямъ Евѳимія (Alg. Kirchengesch. V. II, 1086—1089). Послѣдній взглядъ на Евѳимія высказывается въ двухъ новѣйшихъ монографіяхъ—Петрановича и Левицкаго. Первый говоритъ, что

у Евѳимія есть много *темныхъ* мѣстъ, но въ доказательство приводитъ только одинъ фактъ, по его мнѣнію, искаженный Евѳиміемъ (Богомили. Црьква Босаньска, 64 стр.). Левицкій обѣщаетъ только доказать въ послѣдствіи, что мнѣнія ученыхъ объ искаженіяхъ и пристрастіи Евѳимія не безосновательны (Христ. Чтеніе, 1870 г., январь).

Оставляя пока въ сторонѣ подробную оцѣнку свѣдѣній о богомильствѣ, сообщаемыхъ Евѳиміемъ Зигавиномъ, скажемъ объ отношеніяхъ автора къ своему труду: насколько были благопріятны условія, въ коихъ находился Евѳимій при выполненіи предложенной ему задачи? Анна Комнена говоритъ, что императоръ поручилъ Евѳимію изложить ученіе богомиловъ, καθὼς ὁ ἀσεβὴς Βασίλειος ὑφηγήσατο (Ἀλεξιάς, l. XV, p. 357). Эта фраза показываетъ, что у Евѳимія, при составленіи трактата о богомилахъ, были подъ руками записки, веденныя, какъ мы видѣли выше, скорописцемъ со словъ Василія. Но бесѣда съ Василіемъ во дворцѣ не была послѣднею. Самъ императоръ и духовенство неоднократно бесѣдовали съ еретикомъ и, безъ сомнѣненія, дѣлились съ Евѳиміемъ новыми добытыми свѣдѣніями. Въ числѣ духовныхъ лицъ, посѣщавшихъ Василія въ темницѣ, былъ и тотъ, кому было поручено составить опроверженіе ереси (Narrat. de Bogom., гл. XXI) и разсуждалъ съ еретикомъ. Кромѣ того, Евѳимій имѣлъ случай бесѣдовать съ многими другими богомилами, какъ самъ онъ объ этомъ говоритъ въ Συγγραφῇ στηλιτευτικῇ (ed. Fogginus in Anecdotis literariis, v. IV ap. Narrat. de Bogom., II). Такъ однажды на пути, Евѳимій встрѣтился съ богомиломъ, который свободно говорилъ ему о своей вѣрѣ. Да и въ своемъ монастырѣ Зигавинъ нерѣдко вызывалъ на откровенныя объясненія еретиковъ, притворяясь, по примѣру императора, ихъ учепикомъ, съ цѣлью вывѣдать темныя стороны ихъ вѣроученія. Анна Комнена говоритъ, что многіе изъ пойманныхъ еретиковъ отказывались отъ своихъ заблужденій. Въ числѣ ихъ были, безъ сомнѣнія, и истинно раскаявшіеся, которые могли безбоязненно открывать тайны ереси.

Есть основаніе утверждать, что у Евѳимія были подъ руками даже *письменные* источники, принадлежавшіе сектантамъ Такъ въ 27-мъ титлѣ (Narrat. de Bogom., p. 34, 35) Зигавинъ говоритъ, что онъ ограничится изложеніемъ *толкованій* еретиковъ только на нѣкоторыя мѣста Евангелія Матѳея, «потому что слишкомъ много потребовалось бы труда и

времени на изложеніе богомильскаго толкованія на весь канонъ». Быть можетъ, что у писателя Панопліи и не было подъ руками толкованій на *всѣ* книги Священнаго Писанія, какъ думаютъ нѣкоторые ученые (Engelhardt, Kirchengesch. Abhandl., стр. 169). Но нельзя сомнѣваться въ томъ, что писанныя толкованія на *Ев. Матѳея* дѣйствительно были у Зигавина. Въ пользу этого говорятъ: a) множество приводимыхъ имъ примѣровъ; b) строгій порядокъ въ ихъ расположеніи (начиная со 2-й главы Матѳея, Евѳимій оканчиваетъ 9-ю главою); c) во второмъ анаѳематизмѣ (Victoria de Messalianorum ap. Tollii Insign., p. 116) говорится, что Тихикъ, ученикъ Ликопетра, мнимаго основателя мессаліанской секты, извращалъ неправильными толкованіями Ев. Матѳея, относя все сказанное въ немъ о Богѣ Отцѣ и Святомъ Духѣ къ своему отцу Ликопетру. Если Евѳимій осуждаетъ комментарій богомила Тихика, то значитъ этотъ комментарій существовалъ и Зигавинъ имъ пользовался (Ср. Engelhard, стр. 169).

[1]) Въ другомъ своемъ трудѣ позднѣйшаго происхожденія (Ἔλεγχος) авторъ Панопліи уже прямо отождествяетъ ихъ ученіе съ *мессаліанскимъ*. Онъ приписываетъ имъ обоимъ заблужденія общія, намекая тѣмъ на общность происхожденія ихъ изъ одного источника (павликіанства). Въ этомъ позднѣйшемъ трудѣ есть, какъ мы видѣли выше, и другія показанія, не всегда согласныя съ 27 титломъ Панопліи. Вообще нужно замѣтить, что послѣднее титло въ этомъ, какъ и во многихъ другихъ случаяхъ, отражаетъ на себѣ слѣды поспѣшной работы, несовершеннаго ознакомленія съ предметомъ, о которомъ авторъ пишетъ. Этимъ объясняются его промахи, увлеченія, противорѣчія самому себѣ. При всемъ томъ это *единственный* источникъ для *подробнаго* ознакомленія съ ученіемъ богомиловъ, хотя мы называемъ его подробнымъ только сравнительно съ другими источниками для изученія богомильства. На ряду съ Панопліей, по важности сообщаемыхъ свѣдѣній о богомилахъ, стоитъ памятникъ, принадлежащій болгарскому обличителю ихъ, Козмѣ пресвитеру (X или нач. XI в.). Но послѣдній обращаетъ больше вниманія на внѣшнюю сторону ереси, на практическія послѣдствія основныхъ положеній ея и весьма мало касается догматическихъ началъ. Современница автора Панопліи, Анна Комнина, подробно описываетъ исторію открытія богомильства въ Константинополѣ во времена Алексѣя Комнина, рисуетъ передъ нами характеръ ереси въ лицѣ болѣе извѣстнаго тогдашняго ея представителя, Василія богомила; но догматовъ ея вовсе не касается, отсылая желающаго познакомиться съ ними въ Панопліи Евѳимія Зигавина. Другія памятники, о которыхъ мы упоминали при разборѣ Панопліи, весьма кратки, необстоятельны и служатъ къ уясненію только нѣкоторыхъ частныхъ сторонъ ученія или характера богомильской ереси.

VI.

Прямое свидѣтельство пресвитера Козмы (Прав. Соб. 1864, II, 420) показываетъ, что ересь находила себѣ поддержку и опору въ простой, непросвѣщенной достаточно свѣтомъ Евангелія массѣ народа, неспособной понимать разныя догматическія тонкости. Богомильство въ существѣ дѣла вовсе не походило на стремленія древнихъ гностическо-манихейскихъ сектъ, въ основѣ которыхъ легли уже довольно развитыя философскія представленія Востока и Греціи, которыя (секты) видѣли въ толпѣ вѣрующихъ не достаточное пониманіе истинъ вѣры, изложенныхъ въ Н. Завѣтѣ, и старались дополнить, исправить, осмыслить ихъ своими философскими соображеніями: Библія у нихъ отходила на задній планъ; ученіе апостоловъ требуетъ поправокъ и дополненій: философія вытѣсняла религію. Ничего подобнаго не представляетъ богомильство. Совершенствованіе жизни, нравственности *сообразно идеалу апостольскаго христіанства*, которое теперь въ церкви утратило свой чистый характеръ, затемнилось ложными преданіями,—вотъ основная тенденція богомиловъ. Этою стороною они были особенно опасны для церкви; проповѣдуя высшій, хотя односторонне представляемый идеалъ нравственности, будучи сами съ виду образцомъ воздержанія и аскетизма, чистой богоугодной жизни, они невольно привлекали къ себѣ толпу простаго народа, такъ склоннаго заключать о чистотѣ и истинности ученія по внѣшнему поведенію его представителей, проповѣдниковъ. Посреди разбоевъ, грабежей, притѣсненій и поборовъ власти, посреди военнаго террора и нестроенія въ церкви [1]), въ Болгаріи являются одушевленные проповѣдники чистой евангельской праведности; такъ наглядно, такъ доступно простому уму, проникнутому еще языческими взглядами, объясняютъ они причину всѣхъ золъ и нестроенія въ господствѣ злаго начала

[1]) Причину распространенія ереси пресв. Козма видитъ именно въ нестроеніяхъ церковныхъ, которыя онъ описываетъ весьма мрачными красками. Попы упиваются, грабятъ лѣнивы, невѣжественны; епископы, поставленные на мздѣ, заботятся только о поборахъ съ подчиненнаго духовенства, а народъ ничему не учатъ, по невѣжеству и грубости. «Откуда исходятъ волци сіи, зліи пси, еретическія ученія? Не отъ лѣности ли грубости пастушескы? Откуду ли разбойницы и татіе, рекше грѣси и неправды? Не отъ наказанія ли епископьска?» Прав. Собесѣдн. 1864 г., II, 420.

надъ міромъ. Выводы отселѣ просты, несложны. Все, что носитъ печать внѣшнихъ, вещественныхъ отношеній, заслуживаетъ презрѣнія духовнаго христіанина. Ветхій Завѣтъ, представитель злаго начала, опутавшаго людей разными внѣшними предписаніями, требовавшаго кровавыхъ жертвъ, обрѣзанія плоти и т. п., они должны были отвергнуть. Таинства съ ихъ внѣшними знаками, — почитаніе иконъ, крестовъ, все это болѣе прилично язычникамъ, чѣмъ имъ, «истиннымъ христіанамъ». Церковную іерархію они учили презирать, но гоненія съ ея стороны заставляли ихъ притворно исполнять предписанія церкви. Вотъ немногосложный кодексъ нравственно-религіозныхъ предписаній богомильства въ первый поріодъ его существованія, какимъ мы его знаемъ изъ слова пресвит. Козмы [1]). Съ теченіемъ времени реформаторскія стремленія славянскихъ богомиловъ нашли себѣ прозелитовъ и между болѣе образованными Греками. Это было время крестовыхъ походовъ, пора всеобщаго религіознаго энтузіазма въ Европѣ, сознанія неудовлетворительности настоящаго своего положенія. Народныя массы встрепенулись отъ вѣковаго усыпленія; оглянувшись вокругъ себя, онѣ нашли, что современные церковные и гражданскіе порядки весьма далеки отъ начер-

[1]) Слово пресвит. Козмы явилось въ свѣтъ подъ однимъ общимъ заглавіемъ: «Недостойнаго Козмы пресвитера бесѣды на новоявившуюся ересь богомилу». Здѣсь 13 бесѣдъ. Первая бесѣда безъ заглавія; потомъ слѣдуютъ бесѣды 2) о комканіи (причащеніи), 3) о литургіяхъ; 4) о пророцѣхъ; 5) о ненавидѣніи еретическомъ; 6) о исповѣданіи еретическомъ; 7) о мятущихся чернцѣхъ; 8) о хотящихъ отъити въ черныя ризы; 9) о затворницѣхъ; 10) о добрыхъ чернцѣхъ; 11) о вѣрѣ; 12) о богатыхъ; 13) о епископѣхъ и попѣхъ. Бесѣды очевидно составлены съ цѣлію опроверженія еретиковъ; почему же Козма не подвергаетъ подробному разбору ихъ ученія и больше всего обращаетъ вниманіе на внѣшнюю практику ихъ, на поведеніе въ жизни, — какъ оно служитъ выразителемъ ихъ догматическихъ воззрѣній? Козма жилъ въ вѣкъ перваго славнаго ересеучителя, попа Богомила, присутствовалъ при широкомъ разливѣ ереси между своими единоземцами, зналъ тайну ея вліянія и успѣховъ и если не излагаетъ съ большею подробностію ихъ ученія, то можно думать, что оно не было еще развито, что сектанты не успѣли еще тогда подробно выработать догматическихъ воззрѣній. Такъ напр. на вопросъ: «по что Богъ діаволу попущаетъ на человѣкъ?» богомилы отвѣчали ученіемъ о дуализмѣ, объ участіи злаго начала въ твореніи міра и человѣка. Правосл. Собесѣдн. 1864 г., II, 98. Но предѣлы этого участія иными съуживались почти до отрицанія его. Простые вѣрующіе, можетъ быть, и совсѣмъ не знали этого злаго творца (Петрановичъ, 50). Между тѣмъ, по видимому, дуализмъ долженъ былъ служить исходнымъ пунктомъ всего ихъ догматическаго и нравственнаго ученія. Дуализмъ долженъ былъ опредѣлять взглядъ ихъ и на тайну искупленія, и на церковныя таинства, и на обрядовое ученіе. Они признаютъ себя истинными послѣдователями апостольскаго ученія, изложеннаго въ Св. Писаніи, но на дѣлѣ Іоанна Крестителя называютъ «антихристомъ», вопреки явнымъ свидѣтельствамъ принимаемаго ими писанія.

таннаго Спасителемъ идеала, и отшатнулись отъ развратившагося церковнаго общества. Являются грозныя секты каѳаровъ, которые, подъ разными именами, производили смуты въ церкви цѣлыя столѣтія. Богомильство, проникшее въ Константинополь незадолго до времени Алексѣя Комнина, было отголоскомъ тѣхъ же реформаторскихъ стремленій горячихъ поборниковъ мнимо-евангельской праведности (ср. Neander, Algem. Kirchengesch., II, 1, 1080). Склонный къ утонченнымъ мудрствованіямъ греческій умъ не довольствуется только одними практическими тенденціями секты: онъ старается обосновать ихъ на аллегорическомъ толкованіи Библіи, сколачиваетъ нѣчто похожее на цѣльную систему вѣроученія. Но видно и здѣсь, на новой почвѣ, богомильство продолжало пріобрѣтать себѣ адептовъ преимущественно своими практическими стремленіями. Богомильская догматика, по прежнему, оставалась мало развитою, смѣшанною съ миѳологическими воззрѣніями, исполненною крайнихъ несообразностей и внутреннихъ противорѣчій. Мы не знаемъ даже, существовали-ль въ этотъ періодъ какія-нибудь символическія книги у еретиковъ, была ли у нихъ своя литература? Судя по трудности, съ какою приходилось собирать свѣдѣнія объ ученіи еретиковъ (одному ихъ обличителю приходится для этого нарочно отыскивать человѣка, который могъ бы сообщить ему свѣдѣнія объ еретикахъ), можно думать, что въ полномъ составѣ оно было хорошо извѣстно только немногимъ избраннымъ членамъ общины, такъ-называемымъ посвященнымъ ѳеотокамъ, которые имѣли право учить другихъ, подъ руководствомъ Духа Святаго. Неудивительно, что ученіе, отданное на произволъ отдѣльныхъ учителей, незаключенное въ какія-нибудь символическія книги, могло подвергаться постоянно измѣненіямъ, искаженіямъ, дополненіямъ, которыя иногда могли противорѣчить другъ другу и основному характеру секты. Все это не могло не ставить въ тупикъ православныхъ, мало знакомыхъ съ бытомъ секты, съ ея основными мотивами.

Въ догматикѣ сектантовъ они видятъ нелѣпости, крайнія несообразности, непримиримыя противорѣчія. Такъ, Евѳимій, наслышавшись нелѣпостей отъ приверженцевъ секты, дѣлаетъ объ еретикахъ весьма нелестный отзывъ, называя ихъ грубыми *невѣждами* (гл. III, VI, XLI), глубцами (гл. XVII, XXII, XXVII, XLVII), безстыдными софистами (гл. X); ученіе ихъ называетъ пустою болтовнею (LII), баснями (VII).

Но Евѳимій видѣлъ, что при всей нелѣпости своего ученія, сектанты имѣли большой успѣхъ въ обществѣ; указать, по примѣру пресвит. Козмы, на дѣйствительныя причины этого успѣха Евѳимій не рѣшается въ полемическомъ сочиненіи, можетъ быть, по тому, что это значило бы обнаруживать свои больныя мѣста, выставлять ихъ на посмѣяніе еретикамъ. Успѣхъ еретиковъ, возбудившій противъ нихъ преслѣдованіе со стороны гражданской власти, ставитъ въ неестественное отношеніе къ нимъ и тѣхъ, кому приходилось дѣйствовать противъ нихъ *non gladio, sed calamo.* Евѳимій называетъ ихъ опасными *обманщиками* (гл. II, VI, LII), *бѣшенными собаками съ ядомъ аспида на устахъ* (XLVII); *смрадный гробъ — уста этихъ нечестивцевъ; богомерзкія уста ихъ каплютъ разрушительный ядъ* (XLVIII). Евѳимій призываетъ на нихъ небесный огонь и всѣ кары ада (XLV, XVI). Почитаніе демоновъ набрасывало на нихъ особенно невыгодную тѣнь въ глазахъ православныхъ. Между тѣмъ, какъ многіе увлекались строгимъ аскетизмомъ, смиреніемъ, постоянною молитвою еретиковъ съ Евангеліемъ въ рукахъ, ревнители православія склонны были видѣть въ этихъ *друзьяхъ и почитателяхъ демоновъ* (гл. XIII, XXI, XXII, XXIII, XX) служителей всякаго порока, нечестія. Такъ пресвит. Козма говоритъ, что тайныя собранія богомиловъ «прелести тысяща суть». Пселлъ замѣчаетъ, что въ этихъ тайныхъ собраніяхъ сектанты предавались свальному грѣху, причащались тѣломъ закланнаго младенца и дѣлали другія непотребства (Gieseler, Lehrb. d. Kirchengesch., II, 1, 404). Анна Комнина замѣчаетъ, что Василія богомила окружалъ сонмъ женщинъ завѣдомо развратнаго поведенія (Ἀλεξιάς, LXV, p. 384). Безъ сомнѣнія, отзывы автора Панополіи, Анны Комниной и др. писателей о крайней безнравственности еретиковъ значительно преувеличены. Послѣдніе на дѣлѣ умѣли доказать, что нравственность ихъ была выше ученія, привлекая къ себѣ многочисленныхъ послѣдователей, соблазнявшихся именно строгонравственнымъ образомъ ихъ жизни.

Пристрастное отношеніе къ нимъ Евѳимія и другихъ писателей объясняется громадною опасностію, какою грозила эта ересь церкви, тѣми опасными принципами, которые ставили секту во враждебное отношеніе къ церкви. Объявивши протестъ противъ неудовлетворительнаго современнаго строя церкви, противъ іерархіи и церковнаго преданія, богомилы

отрицали вообще христіанство въ его исторіи. Порвавши связь съ прошедшимъ, они хотѣли видѣть въ своей сектѣ осуществленіе истиннаго, апостольскаго христіанства. Но огромное разстояніе отдѣляетъ ихъ отъ религіи Христа; различіе между ними не въ какомъ-нибудь частномъ догматѣ: оно существенное, основное. Въ этомъ смыслѣ богомильство нельзя даже назвать ересью въ смыслѣ уклоненія его отъ *нѣкоторыхъ частныхъ истинъ* христіанства. Богомильство, сохранивъ отчасти форму христіанства, отрицало его въ *сущности*, ставя на мѣсто одного двухъ боговъ. Богомилы содержатъ, только по видимому, Евангеліе; Христосъ для нихъ—обманчивый призракъ, тѣнь. Исторію его они превратили въ миѳологію. Ихъ строгая нравственность — не христіанскаго характера, потому что христіанство не требуетъ уничтоженія тѣлесной природы, презрѣнія твари, отрицанія всѣхъ отношеній между людьми. Съ уничтоженіемъ брака у нихъ уничтожается семья; остаются только индивидуумы, изъ которыхъ каждый служитъ себѣ центромъ и цѣлью; прямое слѣдствіе этого ученія — царство эгоизма и разрушеніе человѣческаго рода. У христіанъ, наоборотъ, бракъ— основа церкви и общества, между его членами — братство и безконечное совершенствованіе до цѣли, назначенной Провидѣніемъ. Богомилы воображали силою одной своей воли достигнуть идеальнаго совершенства на землѣ; христіанство, открывая слабость человѣка и подавая надежду на благодатную помощь, болѣе отвѣчаетъ дѣйствительнымъ потребностямъ природы человѣческой. Если такъ, что же значатъ ихъ попытки олицетворить въ своемъ лицѣ «истинныхъ христіанъ»? Зачѣмъ у нихъ Христосъ? Это былъ обманъ ихъ чувства, недостаточно просвѣщеннаго свѣтомъ Евангелія; они собственно ни безбожники, ни лицемѣрные *обманщики*, какъ называетъ ихъ авторъ Панопліи (Narrat. de Bogom., гл. II, IV, LII, VI, XXII, XXVIII) и др.; они искренно вѣрили въ свои ошибки, трудно распознаваемыя, по видимому, основанныя на весьма разумныхъ основаніяхъ и на высшемъ мистическомъ толкованіи Новаго Завѣта. Боясь затеряться въ матеріальности внѣшнихъ формъ, они хотѣли одухотворить все: религію, богослуженіе, жизнь; съ одной стороны ставили міръ, а съ другой—духъ, и между ними — непроходимую пропасть, не желая видѣть особаго дѣйствія Промысла въ двоякомъ составѣ природы и освященія его христіанствомъ. Считая себя представителями чистаго евангельскаго ученія, они

хотѣли возвести церковь къ первобытной чистотѣ, понимали ее *духовно* и представляли святою и идеально-совершенною. Православную церковь они упрекали за низкое, плотское пониманіе христіанства и смѣшеніе его съ іудействомъ, протестовали противъ преданій и учрежденій Византійской церкви, противъ сложной обрядности богослуженія и пороковъ клира. Церковь подвергла ихъ за это осужденію. Свѣтская власть, видѣвшая въ нихъ опасныхъ враговъ всего гражданскаго строя, подняла противъ нихъ мечъ, прибѣгала къ кострамъ, какъ наиболѣе сподручнымъ, по ея мнѣнію, средствамъ потушить заразу (LII). Но не въ пламени костровъ погибла ересь; возникши изъ мрака невѣжества, она сама собою должна была изчезнуть посреди свѣта христіанской цивилизаціи (Schmit, II, 162).

(Православное Обозрѣніе 1875, іюль, стр. 378—407; августъ, стр. 533—572).

№ 52.

Nicephori Gregorae Histor. Byzant. l. XIV, c. 7, edit. Bonn., pag. 718 et sqq. (vol. II).

...Ἐξοστρακίζει δ' αὖ ἐκεῖθεν καὶ ὀλαις χερσὶν ἐξελαύνει καὶ ἀπωθεῖται τὴν τῶν ὑποκριτῶν καὶ βεβήλων συνοίκησιν, Καὶ τὰ μὲν ἀρχαιότερα διηγουμένων ἔστιν ἑτέρων ἀκούειν αὐταρκῶς. ἐγὼ δὲ τὰ νεωστὶ διηγήσομαι, τὰ περὶ τὸν Κρῆτά φημι Ἰωσὴφ καὶ τὸν Λαρισσέα Γεώργιον, καὶ ὅσοι περὶ τὴν σφῶν μιαρὰν ἐβάκχευσαν τράπεζαν, ὅσα δὴ καὶ φοιτηταὶ πρὸς διδασκάλων τὰ μυσαρὰ μυσταγογούμενοι δόγματα· ἔτι τε τὰ περὶ Μωσέα τὸν ζωγράφον καὶ Ἰσαὰκ καὶ Δαβὶδ καὶ Ἰώβ, καὶ ὅσοι βεβήλους ἔχοντες πάμπαν καὶ γλώττας καὶ γνώμας καὶ χεῖρας ὀνόμασι βελτίστων ἀνδρῶν, καὶ περιβοήτων τὴν ἀρετήν, περιστέλλειν ἐπονηρεύσαντο τὴν ἐνδόμυχον ἀπόνοιαν καὶ ἀσέβειαν τῆς ψυχῆς, παραπλησίως τοῖς τάφοις, οἳ τὰ ἔνδον μακρᾷ ἀποζοντες δυσωδίας τιτάνῳ καὶ χρυσῷ κοσμοῦνται. ὑποδύονται γὰρ καὶ αὐτοὶ καὶ σχῆμα καὶ ὄνομα βελτίστων ἀνδρῶν, καὶ τὴν ἀρετὴν ἐπισήμων, καθάπερ οἱ ἐν τοῖς δράμασιν Ὀρέσται καὶ Πυλάδαι καὶ Θησεῖς καὶ Πέλοπες, ἵνα τὸν ἰὸν κατὰ τῶν ἀκεραιοτέρων τῆς σφῶν αὐτῶν ἐξεμοῦντες κακίας λανθάνωσιν. Εἶναι γὰρ μὴν τὰ ἐκείνων μυσαρὰ καὶ ἀκάθαρτα δόγματα φησὶν ὁ εἰς τῶν Βυζαντίων ἱερὸν κομισθεὶς συνέδριον ἔγγραφος τῆς αὐτῶν ἀσεβείας τόμος πρὸς τῶν θεοφόρων τοῦ ὄρους (Ἄθω) ἀνδρῶν *), τά τε ἄλλα,

*) Anno Christi 1344 imperante Ioanne Palaeologo.

ὅσα μηδ' ἀκοῇ ‹τῶν› σωφρονεῖν αἱρουμένων φέρειν εἶναι ῥᾴδια, καὶ ὅτι τὰς θείας λάθρα συντρίβοντες κατακαίουσιν εἰκόνας· καὶ ὅτι τὸ τοῦ διδασκάλου σεμνύνοντες οὖρον τοῖς ἐδέσμασιν αὐτῶν ἐπιῤῥαίνουσι· καὶ ὅτι τὴν ἔνσαρκον καὶ θείαν οἰκονομίαν οὐδαμῇ προσίενται· καὶ ὅσ' ἄῤῥητ' ἀμείνω. τί γὰρ πλείω καταλέγειν δεῖ καὶ καταμιαίνειν τὰς τῶν εὐσεβῶν ἀκοάς, ἐξὸν ἐκ τοῦ τόμου τοῖς βουλομένοις μανθάνειν σαφέστερον· ὃς πάντα διεξιὼν διαῤῥήδην τὴν σφῶν στηλιτεύει κακίαν, τοῖς πατριαρχικοῖς ἐγγεγραμμένος κώδιξι. Τοὺς γὰρ καθαροὺς καὶ ἀψευδεῖς οὐκ εἰς τέλος λαθεῖν ἐδυνήθησαν ὀφθαλμοὺς τῶν ἐκεῖ φιλοθέων ἀνδρῶν, καὶ μόνῳ ζώντων Θεῷ ὥσπερ οὐδὲ τοὺς καθαρὰν τὴν γευστικὴν κεκτημένους λαθεῖν ἂν δυνηθείη ποτὲ συνανακραθὲν ἀψίνθιον μέλιτι, οὐδὲ τὴν ὀσφρησιν πολλῷ μᾶλλον ῥόδοις μιγνύμενόν τι δύσοδμον. Ὅθεν, οἷα βιαίῳ πυρί, τῷ θείῳ ζήλῳ τὴν ἑαυτῶν ψυχὴν ἐκπυρσεύσαντες ἐπὶ ζήτησιν ἀκριβεστέραν ἐτράποντο τοῦ κακοῦ, ἠρέμα καὶ κατὰ βραχὺ κυνηγέτου δίκην ἀνιχνεύοντες ἐκ τῶν τῆς κακίας παραφυάδων τὴν ῥίζαν εὑρεῖν· καὶ εὑρόντες ἔστιν οὓς μὲν αἷς προσῆκε προήκαντο τιμωρίαις, ἔστι δ' οὓς ὡς πορρωτάτω παλάμαις ἁπάσαις ἐκεῖθεν ἀπήλασαν. ἦσαν δ' οἳ καὶ λαθόντες ἐκεῖθεν ἀπέδρασαν, πρὶν ἢ τελέως ἔκπυστον τὴν κακίαν γενέσθαι· οἳ δὴ καὶ πρὸς πολεις μετερῥύηκεσαν Θεσσαλονίκην καὶ Βέῤῥοιαν, καὶ ἣ κατὰ πασῶν ἅπαν ἔσχε τὸ κράτος. Ἔνθα δὴ γενομένοις σφίσιν οἷμαι νενόμισται, κοινῆς ἑστίας τῶν πανταχόθεν τῆς οἰκουμένης μάλιστα πασῶν ὑπαρχούσης αὐτῆς, καὶ ἅμα πολυγλώσσου καὶ πολυμιγοῦς φωνῆς καὶ γνώμης ἐπιπολαζούσης, συσκιασαι μὲν τὴν ἑαυτῶν κακίαν, μιμήσασθαι δὲ τῶν ὀρνίθων τοὺς δρυσκολάπτας, οἳ τοῖς δένδρεσι περιπετόμενοι, καὶ ὅλον τοῖς ῥάμφεσι τὸν φλοιὸν περικρούοντες, καὶ τὸ ὑγιαῖνον παρατρέχοντες ἅπαν, μόνῳ τῷ σαθρῷ καὶ σεσηπότι χρονίζουσι περικαθήμενοι μέρει, κἀκεῖνο σιτοῦνται πρὸς βάθος κοιλαίνοντες.

№ 53.

Ἀθώωσις τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Νίφωνος καθολικῶς ἁπάντων συμψηφισαμένων ἀρχιερέων.

+ Ὥσπερ ἔστιν ὁρᾶν πολλάκις ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐπισκοτοῦσαν ὁμίχλην, εἶτα φαιδρότερον ἐπιλάμψαντος τοῦ ἡλίου διαλυομένην καθάπαξ τῷ μὴ δύνασθαι λαμπρότητα τὴν ἐκεῖθεν ὑπενεγκεῖν εἰς τέλος· οὕτω δὴ καὶ ψεῦδος ἐπισκιάζον ἔστιν ὅτε δοκοῦν τῇ αἴγλῃ τῆς ἀληθείας εἰς τὸ μηκέτ' εἶναι χωρεῖ, καθὰ δὴ καὶ κατὰ φύσιν ἔχον ἐστίν, εἰλικρινῶς ἐπιλαμπούσης καὶ παῤῥησιαζομένης τῆς ἀλη-

θείας. Ὁποῖον δή τι συμβέβηκεν ἀτεχνῶς καὶ ἐπὶ τὸν τιμιώτατον ἐν ἱερομονάχοις κῦρ Νίφωνα· πρό τινων γὰρ ἤδη χρόνων, τινῶν τῶν τὸν σαλὸν καὶ μωρὸν ὑποκρινομένων ἐαλωκότων διαφόροις τε κακοδοξίαις καὶ δὴ καὶ τῇ τῶν Μασσαλιανῶν αἱρέσει εὑρεθέντων καὶ ἐληλεγμένων κατὰ τὸ ἅγιον ὄρος τοῦ Ἄθω, διαναστάντες τινὲς ἀπὸ χαιρεκάκου γνώμης καὶ φθονερᾶς διαθέσεως, ἀποδήμου δηλονότι τηνικαῦτα εὑρισκομένου τοῦδε τοῦ κῦρ Νίφωνος, ἐκίνησαν ὅτι δῆθεν ἠξίου τοὺς τοιούτους καὶ αὐτὸς ἔστι ὅτε κυβερνήσεώς τινος κἀντεῦθεν μέμψιν τινὰ καὶ διαβολὴν ἐπεχείρησαν συκοφαντικῶς τούτῳ προστρίψασθαι· Ὅτε δὴ καὶ ἐπανελθόντος τοῦ τοιούτου κῦρ Νίφωνος ἐκεῖσε καὶ γνωρίσαντος τὰ τῆς τοιαύτης διαβολῆς καὶ αἰτησαμένου γενέσθαι ἐξέτασιν εἰς ἐπήκοον, συναθροισθέντες ὅ τε κατὰ τόπον ἱερώτατος ἀρχιερεὺς Ἱερισσοῦ, ἀλλὰ δὴ καὶ οἱ τιμιώτατοι καθηγούμενοι τῶν ἐκεῖσε σεβασμίων μονῶν καὶ ἅπαντες σχεδὸν οἱ ἐκεῖσε κατ' ἀρετὴν διαπρέποντες καὶ ἐξετάσει ἀκριβεῖ δεδωκότες τὰ τοῦ πράγματος, εὗρον οὐδὲν ἄλλο τι προτεινόμενον παρὰ τῶν εἰρημένων πλὴν ὁτι ἐκ διαλειμμάτων, ἡνίκα προσήρχοντο καὶ εἰς τὴν κατ' αὐτὸν σεβασμίαν μονὴν ἡγουμενεύοντα, ἐκυβέρνα αὐτοὺς ὡς προσαίτας καὶ ἐνδεεῖς, οὗ δὴ καὶ ὡς μὴ λογισθέντος μηδὲ κριθέντος ὁπωσοῦν τῷ τότε ἀξίου ἐγκλήματος κατ' αὐτοῦ, ἅτε δὴ καὶ σχεδὸν ὑπὸ παντὸς τοῦ Ἁγίου ὄρους ἐνεργουμένου κυβερνήσεως τῶν τοιούτων ὁμοίως ἀξιουμένων, ἐξενήνεκται ἔγγραφος ἀπόφασις δικαιώσεως καὶ ἀθῳώσεως ὑπὲρ αὐτοῦ δὴ τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Νίφωνος, ὑπογραφαῖς πεπιστωμένη τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου, τηνικαῦτα τὰ δίκαια φέροντος τῆς ἱερᾶς ἀρχῆς καὶ διοικήσεως τοῦ Πρωτάτου τοῦ ἱερωτάτου μητροπολίτου Ἡρακλείας προέδρου τῶν ὑπερτίμων ἐξάρχου πάσης Θρᾴκης καὶ Μακεδονίας, προηγουμένου ὄντος τῆς σεβασμίας καὶ ἱερᾶς Λαύρας, τοῦ ῥηθέντος ἱερωτάτου ἀρχιερέως Ἱερισσοῦ καὶ τῶν τιμιωτάτων καθηγουμένων, ἀλλὰ δὴ καὶ τῶν συνεληλυθότων ἑτέρων ἐναρέτων ἀνδρῶν, τοὺς μὲν συκοφάντας ἐκείνους τέλεον ἀποδιαπομπουμένη τε καὶ καταδικάζοασα, αὐτὸν δὲ τὸν κῦρ Νίφωνα δικαιοῦσα, ὡς εἴρηται.

Χρόνου δέ τινος παρωχηκότος καὶ τοῦδε εἰς Πρῶτον ἐγκαταστάντος, πάλιν ὁ κατ' αὐτοῦ φθόνος ἀνάπτεται παρὰ τῶν μοναχῶν τῆς ἐκεῖσε εὑρισκομένης τῶν Σερβῶν μονῆς· ἡνίκα δὴ καὶ συνελθόντες ὅ τε ἱερώτατος μητροπολίτης Θεσσαλονίκης ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας κατὰ τύχην παρατυχὼν ἐκεῖσε καὶ οἱ δηλωθέντες τιμιώτατοι καθηγούμενοι τῶν ἐκεῖσε σεβασμίων μονῶν, πρός δὲ καὶ ἅπα‹ν› ὡς εἰπεῖν τὸ τοῦ Ἁγίου ὄρους ἔκκριτον καὶ προέχον κατ' ἀρετὴν

καὶ αὖθις τὰ τῆς ὑποθέσεως πολυπραγμονήσαντες καὶ ἐξετάσαντες καὶ μηδεμίαν αἰτίαν εὑρηκότες κατὰ τοῦ ῥηθέντος κῦρ Νίφωνος, καὶ οὗτοι κατὰ τὸν ὁμοιον τρόπον αὐτὸν ἐδικαίωσαν. Ἐπεὶ δὲ ἐπεδήμησεν ἐνταῦθα καὶ αὐτὸς μετὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου *) καὶ συνῆν αὐτῷ ἐπ' ὀλίγον τινὰ καιρόν, ἔδοξεν ἡμῖν συμβουλῆς λόγῳ εἰσηγήσασθαι αὐτῷ δὴ τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ τῷ οἰκουμενικῷ πατριάρχῃ ἔν τινι τῶν κατὰ τὴν θεοδόξαστον Κωνσταντινούπολιν σεβασμίων μονῶν εὑρίσκεσθαι τὸν τοιοῦτον κῦρ Νίφωνα καὶ μὴ εἰς δικαίῳ εἶναι αὐτοῦ· ἑτοίμως οὖν τὰ περὶ τούτου ἐδέχθη, ἐπεὶ μηδὲ ἦν ὅλως ἀποτεταγμένος ἐπὶ τούτῳ παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου, κατὰ νοῦν γε μὴν εἰληφὼς αὐτὸς δὴ ὁ κῦρ Νίφων, μήποτε ἀφορμὴν ἐντεῦθεν δραξάμενοι οἷς ἔργον ἄλλο τι πρὸ τῆς ἀληθείας ποιεῖσθαι πειραθῶσιν ἀπὸ δυστρόπου γνώμης χωρῆσαι εἰς τὴν κατ' αὐτοῦ προτέραν διαβολὴν καὶ συκοφαντίαν, καί, ὡς εἰκός, τῆς ἑαυτοῦ ἀσφαλείας ἀντιποιούμενος ἐζήτησε γενέσθαι αὐτῷ τούτου ἕνεκα πρᾶξίν τινα συνοδικῶς παρ' ἡμῶν. Οὗ δὴ χάριν καὶ κατὰ ταὐτὸ συνελθόντες διαφόρως καὶ συνεδριάσαντες τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ τῷ οἰκουμενικῷ πατριάρχῃ προσταγῇ τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως[1]) δεῖν ἐκρίναμεν τὰ κατὰ τὴν ὑπόθεσιν ἐξετάσαι τε καὶ συνδιασκέψασθαι. Ἔνθεν τοι καί, καθάπερ ἐχρῆν, πολυπραγμονήσαντες καὶ διερευνησάμενοι, ἐπεὶ εὕρομεν ἀριδήλως ἀπὸ μάρτυρας τοῦ τε παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου τοῦ καὶ διὰ πλείστης θεμένου ἐπιμελείας καὶ ἀνιχνεύσαντος καὶ εὑρόντος τοὺς τὰς τοιάυτας κακοδοξίας νενοσηκότας καὶ ἐκ τοῦ μέσου ποιησαμένου, ὡς ἐπὶ τῶν ἔργων ἔστι καταφανὲς τοῖς ἐν τῷ Ἁγίῳ ὄρει εὑρισκομένοις καὶ τοῖς λοιποῖς, τοῦ δηλωθέντος ἱερωτάτου μητροπολίτου Ἡρακλείας, τοῦ ἀπὸ τῆς σεβασμίας τοῦ Κάλλεως[2]) μονῆς τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Θεοδοσίου, τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις ἀπὸ τῆς σεβασμίας τοῦ Καρακάλλου μονῆς κῦρ Ἰσαάκ, τοῦ τιμιωτάτου προηγουμένου τῆς σεβασμίας τοῦ Βατοπεδίου μονῆς ἱερομονάχου κῦρ Γρηγορίου, τοῦ ἀπὸ τῆς σεβασμίας καὶ ἱερᾶς Λαύρας[3]), τιμιωτάτου κῦρ Ἰωάννου τοῦ Ἡσυχαστοῦ, τοῦ ἀπὸ

*) Κάλλιστος I. — Смотри о немъ у Niceph. Gregorae l. XVIII, p. 871 sqq. ed. Bonn. (vol. II).

[1]) Въ спискѣ еп. Порфирія, на полѣ листа, противъ этого мѣста, написано: «Ἰωάν. Καντακουζηνοῦ», со знакомъ →, что эти слова относятся къ указанному въ текстѣ слову. — Ред.

[2]) Тамъ же и съ тѣмъ же знакомъ написано: «Ducang. Cps. Chr. l., IV, p. 153».—Ред.

[3]) Тамъ же при названіи каждаго изъ этихъ монастырей написано—сперва: «Каракал. монастырь», потомъ «Ватопедъ» и затѣмъ «Лавра». — Ред.

τῆς αὐτῆς τοῦ Βατοπεδίου τιμιωτάτου ἐν μοναχοῖς κῦρ Ἀθανασίου, πρὸς δὲ καὶ τῶν οἰκείων τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ τοῦ τε ἐπάρχου κῦρ Γεωργίου τοῦ Ἴσαρι, κῦρ Νικολάου τοῦ Καβάσιλα καὶ τοῦ κῦρ Μάρκου Ἀγγέλου τοῦ Βαρδαλῆ[1]), οἳ δὴ παρῆσαν ἐπὶ τῆς γεγονυίας δευτέρας ἐξετάσεως, οτι οὐδεμία τις αἰτία εὕρηται τηνικαῦτα κατὰ τοῦδε τοῦ κῦρ Νίφωνος, κἀντεῦθεν ἐδικαιώθη παντελῶς καὶ ἠθῳώθη κατὰ τὸν ἀναγεγραμμένον τρόπον εἴχομεν ἂν κατὰ τὸν τοῦ δικαίου λόγον ἀρκεσθῆναι τούτοις ὑπὲρ τοῦ τοιούτου τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Νίφωνος καὶ μηδέν τι μηδαμῶς πλέον ἐπιζητῆσαι εἰς τὴν τῆς ἀληθείας ἀνεύρεσιν καὶ περίστασιν. Πλείονος μέντοι ἕνεκεν ἀσφαλείας καὶ τοῦ περιαιρεθῆναι πᾶσαν ἁπλῶς πρόφασιν, ἐπεὶ διηγόρευται τοῖς θείοις καὶ ἱεροῖς κανοσιν ἐν τῷ ἐκτεθέντι ὁρῳ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Ἐφέσῳ οὕτω πρὸς λέξιν *)· «συνελθόντες ἐφ' ἡμᾶς οἱ εὐλαβέστατοι καὶ θεοφιλέστατοι «ἐπίσκοποι Οὐαλεριανὸς καὶ Ἀμφιλόχιος καὶ σκέψιν προθέντες κοινὴν περὶ τῶν «λεγομένων ἐν ταῖς τῆς Παμφυλίας μέρεσι Μεσσαλιανῶν εἴτ' οὖν Εὐχιτῶν ἤγουν «Ἐνθουσιαστῶν, εἴτε ὁπωσοῦν ἡ μιαρωτάτη τῶν μνημονευθέντων αἵρεσις σαφη- «νισθείη, ἡμῶν δὲ διασκεπτούντων προεκόμισεν ὁ εὐλαβέστατος καὶ θεοφιλέστα- «τος ἐπίσκοπος Οὐαλεριανὸς χαρτίον συνοδικὸν περὶ τούτων αὐτῶν συνταχθὲν «ἐν τῇ μεγάλῃ Κωνσταντινουπόλει ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Σισίννου. Ὃ καὶ «ἀναγνωσθὲν ἐπὶ πάντων ἔδοξεν εὖ πεποιῆσθαι καὶ ὀρθῶς ἔχειν, καὶ συνήρεσεν «ἅπασιν ἡμῖν καὶ τοῖς θεοφιλεστάτοις ἐπισκόποις Οὐαλεριανῷ καὶ Ἀμφιλοχίῳ «καὶ πᾶσι τοῖς τῶν Παμφύλων καὶ Λυκαόνων ἐπαρχιῶν εὐλαβεστάτοις ἐπισκό- «ποις τὰ ἐν τῷ συνοδικῷ χαρτίῳ τυπωθέντα κρατεῖν ἅπαντα καὶ κατὰ μηδένα «τρόπον παραβαίνεσθαι αὐτά, βεβαίων οντων δηλαδὴ καὶ τῶν πεπραγμένων ἐν «Ἀλεξανδρείᾳ, ὥστε τοὺς ὄντας κατὰ πᾶσαν ἐπαρχίαν τῶν Μεσσαλιανῶν ἤγουν «Ἐνθουσιαστῶν αἱρέσεως ἢ καὶ ἐν ὑποψίαις τῆς τοιαύτης νόσου γεγενημένους, «εἴτε κληρικοὶ εἶεν εἴτε λαικοί, μεθοδεύεσθαι καὶ ἀναθεματίζοντας κατὰ τὰ ἐν «τῷ μνημονευθέντι συνοδικῷ διηγορευμένα ἐγγράφῳ μένειν τοὺς μὲν κληρικοὺς «ἐν τῷ κλήρῳ, τοὺς δὲ λαικοὺς ἐν τῇ κοινωνίᾳ τῆς ἐκκλησίας· ἀνανεύοντας δὲ «πρὸς τοῦτο καὶ μὴ ἀναθεματίζοντας τοὺς μὲν πρεσβυτέρους καὶ διακόνους καὶ «τοὺς ἑτέρους τινὰ βαθμὸν ἔχοντας ἐν ἐκκλησίᾳ ἐκκόπτειν καὶ κλήρου καὶ βαθ- «μοῦ καὶ κοινωνίας, τοὺς δὲ λαϊκοὺς ἀναθεματίζεσθαι»· ὀφειλομένως ἐξακολου-

---

[1]) Тамъ же написано: «Родня царя: Исари, Кавасила и Вардали».—Ред.

*) Это мѣсто читается только по-латыни въ изданіяхъ соборныхъ дѣяній у Манси, томъ IV, стр 1477, и у Лаббé, томъ III, стр. 809.

θήσαντες τῇ τῶν αὐτῶν ἱερῶν καὶ θείων κανόνων διαταγῇ διέγνωμεν δοῦναι αὐτὸν λίβελλόν τε καὶ ἐγγραφηνὸν τῆς κατ' αὐτὸν εὐσεβείας, ὁντινα δὴ καὶ δέδωκε φέροντα οἰκειόχειρον αὐτοῦ προταγὴν καὶ ὑποταγὴν ἀναγνωσθέντα εἰς ἐπήκοον πάντων ἡμῶν καὶ στερχθέντα συνοδικῶς, ὡς εὐσεβῶς καὶ ὀρθοδόξως ἐκτεθειμέν<ο>ν παρ' αὐτοῦ. Ὅθεν καὶ διὰ ταῦτα πάντα διέγνωμεν καὶ ἀπεφηνάμεθα κοινῇ συνοδικῇ ψήφῳ ἀνώτερον εἶναι τὸν δηλωθέντα τιμιώτατον ἐν ἱερομονάχοις κῦρ Νίφωνα τῆς ἀναπλασθείσης καὶ κινηθείσης κατ' αὐτοῦ τοιαύτης συκοφαντίας καὶ διαβολῆς καὶ πολλῇ τῇ τοῦ δικαίου περιουσίᾳ ἠθῳωμένον καὶ εὑρίσκεσθαι ἐν τῷ βαθμῷ τῆς ἱερωσύνης αὐτοῦ, καθὼς οἱ αὐτοὶ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ ὁ δηλωθεὶς ὅρος τῆς ῥηθείσης οἰκουμενικῆς συνόδου διαγορεύουσιν, ὀφειλόντων τῶν βουλομένων ἀδιστάκτως παντάπασιν καὶ ἀναμφιβόλως ὡς ἱερεῖ Θεοῦ τούτῳ δὴ τῷ τιμιωτάτῳ ἐν ἱερομονάχοις κῦρ Νίφωνι προσέρχεσθαι καὶ ἁγιάζεσθαι ὑπ' αὐτοῦ, ἅτε δὴ μηδενὸς ὄντος τοῦ προσισταμένου τε καὶ ἀπείργοντος ὀν δὴ τρόπον μετὰ πολλὴν καὶ ἀκριβῆ τῆν ἐξέτασιν καθαρῶς ἀνεφάνη καὶ ἀποδέδεικται. Ταῦθ' οὕτω παρ' ἡμῶν διαγνωσθέντα καὶ ἀποφανθέντα τῷ παρόντι περιελήφθησαν γράμματι ἐπιδοθέντι τῷ διαληφθέντι τιμιωτάτῳ ἐν ἱερομονάχοις κῦρ Νίφωνι εἰς παντελῆ ἀθῴωσιν αὐτοῦ καὶ ἀσφάλειαν μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος τετάρτης *).

Εἶχε καὶ ὑπογραφάς·

+ Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλησπόντου Ἀρσένιος +

+ Ὁ ταπεινὸς μητροπολίτης Ποντοηρακλείας καὶ ὑπέρτιμος Μεθόδιος +

+ Ὁ Μελενίκου καὶ ὑπέρτιμος ταπεινὸς Μητροφάνης +

+ Ὁ μητροπολίτης Βερρόίας καὶ ὑπέρτιμος Διονύσιος +

+ Ὁ ταπεινὸς μητροπολίτης Χριστουπόλεως Μακάριος +

+ Ὁ μητροπολίτης Ῥόδου καὶ ὑπέρτιμος Ἰωάννης +

+ Ὁ μητροπολίτης Διδυμοτείχου καὶ ὑπέρτιμος Θεόληπτος +

+ Ὁ ταπεινὸς μητροπολίτης Ἄπρω καὶ ὑπέρτιμος Γαβριὴλ καὶ τὸν τόπον ἐπέχων τοῦ Ἀχαίτων +

+ Ὁ ταπεινὸς μητροπολίτης Ἀμάστριδος καὶ ὑπέρτιμος Καλλίνικος +

Ἔτι καὶ ὀπισθεν ἑτέρας ὑπογραφάς·

+ Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θράκης καὶ Μακεδονίας Φιλόθεος +

+ Ὁ Θεσσαλονίκης πιστούμενος, εἰ καὶ ὕστερον παρεγενόμην +

*) 1851 года, которому соотвѣтствуетъ индиктъ 4-й.

Εἶτα τῆς παρούσης διαγνώσεως ἐξενεχθείσης ἐζητήθησαν παρ' ἡμῶν κατὰ τὸ εἰκὸς διὰ πλείονα τὴν ἀσφάλειαν καὶ ἔγγραφοι μαρτυρίαι τοῦ τε ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης ὑπερτίμου καὶ ἐξάρχου πάσης Θετταλίας πεποθημένου κατὰ πνεῦμα ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ, ἀλλὰ δὴ καὶ τοῦ τιμιωτάτου καθηγουμένου τῆς ἱερᾶς Λαύρας ἱερομονάχου κῦρ Ἰακώβου τοῦ Τρικανᾶ, τῶν καὶ πρότερον ἐξετασάντων ἀκριβῶς τὰ τοῦ πράγματος· ὧν δὴ καὶ γενομένων καὶ κομισθεισῶν ἐνταῦθα νῦν, κἀντεῦθεν πάσης προφάσεως περιαιρεθείσης, ἤδη ἐπιστώμεθα καὶ ἡμεῖς τὴν τοιαύτην διάγνωσιν καὶ ἡμετέραις ὑπογραφαῖς μηνὶ ἰαννουρίῳ, ἰνδικτιῶνος δ'.

+ Ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφείας ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λυδίας Μακάριος +

+ Ὁ ταπεινὸς μητροπολίτης Πηγῶν καὶ Παρίου καὶ ὑπέρτιμος Γεώργιος +

№ 54.

Краткій очеркъ исторіи православныхъ церквей Болгарской, Сербской и Румынской. Е. Голубинскаго. Москва. 1871 г., стран. 173—175.

№ 55.

σί | γνον
δα | μιανὸς
μο | ναχος.

Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Δαμιανὸς μοναχὸς καὶ ἡγούμενος τῆς μονῆς τῆς ὑπεραγίας Θεοτόκου τῆς ἐπιλεγομένης τοῦ Καλαφάτου, ὁ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἰδιοχείρως πήξας, ἀσφαλίζομαι διὰ τοῦ παρόντος μου οἰκειοθελοῦς γράμματος πρὸς σέ, κύριον Ἰάκωβον μοναχὸν τὸν προεστῶτα τῆς σεβασμίας καὶ ἱερᾶς βασιλικῆς μεγάλης λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀθανασίου, καὶ διὰ σοῦ πρὸς πάντας τοὺς ἐν τῇ αὐτῇ ἁγίᾳ λαύρᾳ ἀδελφοὺς καὶ πατέρας, ἐπὶ ὑποθέσει ταύτῃ. Ἐπειδήπερ εἰς ἀδυναμίαν τελείαν κατήντησα καὶ οὐκ ἰσχύω μεριμνᾶν καὶ ἀντέχεσθαι τῆς μονῆς καὶ ἀμοιρῶ ἀνθρώπου τοῦ μεριμνᾶν καὶ ἀντέχεσθαι καὶ προίστασθαι τῆς ἐκκλησίας, καὶ πολλὰ διασκεψάμενος καὶ οὐχ εὗρον, εὗρον δέ σε, τὸν προειρημένον κύριον Ἰάκωβον μοναχὸν καὶ καθηγούμενον τῆς σεβασμίας καὶ ἱερᾶς βασιλικῆς μεγάλης λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀθανασίου, καὶ πάντας τοὺς ἐν τῇ αὐτῇ ἁγίᾳ λαύρᾳ ἀδελφοὺς καὶ πατέρας δυναμένους μεριμνᾶν καὶ ἀντιποιεῖσθαι τοῦ μοναστηρίου, ἐμὲ δὲ ἄγειν ὡς πνευματικόν σου υἱὸν καὶ ἀναπαύειν ἐν πάσῃ ἀδείᾳ μὴ λυπῶν με ἔν τινι· καὶ

δὴ ἀπεντεῦθεν ἤδη ἀποδίδομαί σοι ταύτην τὴν μονὴν ὁλοκλήρως, τοῦ εἶναι εἰς τὴν ἐξουσιαν καὶ θέλησιν καὶ δεσποτείαν τῆς λαύρας, μετὰ πάντων τῶν πραγμάτων κινητῶν τε καὶ ἀκινήτων, καὶ τὸν περιορισμὸν αὐτῆς· κτιζειν, φυτευειν, καλλιεργεῖν, ὡς βούλεσθε, μὴ περικοπτομένη μήτε παρ' ἐμοῦ μήτε παρ' ἄλλου τινος. Εἰ δέ τις εὑρεθείη καὶ τολμήσει ποτὲ καιρῷ καὶ βουληθειη καταλῦσαι ταύτην μου τὴν πρᾶξιν, ἐχέτω τὴν ὀργὴν καὶ τὸ ἀνάθεμα τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος καὶ τῆς ὑπεραγίας Θεοτοκου καὶ τὴν κατάραν τῶν ἁγίων τιή πατέρων καὶ πάντων τῶν ἁγιων, εἶθ' ουτω ἀποπεμπέσθω ἀπὸ παντὸς δικαστηρίου τοῦ τε ἐκκλησιαστικοῦ καὶ πολιτικοῦ. Εἰ δὲ συμβῇ καὶ οὐκ ἀναπαύομαι, ἵνα μοι δίδηται σιτερέσιον, σῖτος μοδία ιβ', οἶνος μέτρα μ', οσπριον μοδία γ', ἔλεον λείτρας ιβ', μέλι γαρικὸν [1]) α', κηρὶν λείτρας δ', καὶ μετὰ θάνατόν μου μνημονεύοντές με, ὡς πολλὰ κοπιάσαντα. Καθορκῶ δὲ ὑμᾶς εἰς Κύριον τὸν Θεὸν ἡμῶν τοῦ μηδέποτε ἀποσπασθῆναι τὴν τοιαύτην μονὴν ἀπὸ τῆς λαύρας ἢ δωρηθῆναί τινι ἢ ἐκποιηθῆναι, ἀλλ' εἰς αἰῶνας τοὺς ἅπαντας ἔσται τῆς λαύρας, ὡς ἔφημεν. Ὁ δὲ περιορισμὸς τοῦ τοπου, οὗ κέκτηται ἡ τοιαύτη μονή, ἔχει οὕτως. Ἄρχεται ἀπὸ τῆς θαλάσσης καὶ τὸν ποταμὸν τὸν κατερχόμενον ἀπὸ τὴν Κομιώτησαν καὶ ἀνέρχεται μέσον ἀνατολῆς καὶ δύσεως ὀρθοὶ πρὸς τὸ νότιον μέρος, κρατεῖ τὸν ποταμὸν ολως δι' ολου ἀριστερὰ τὸ περιοριζομενον, καὶ ἀνέρχεται ἑως εἰς τὴν ὁδόν, τὴν ἐξερχομένην ἀπὸ τοῦ Ἁγίου ὄρους, περιοριζων ἐντὸς τὸ Δαιμονολίβανον· εἶτα στρέφεται κατὰ ἀνατολὰς κρατῶν τὴν αὐτὴν ὁδὸν καὶ ἀνέρχεται ἕως εἰς τὴν ῥάχην, καὶ ἐκεῖθεν κλίνει πρὸς τὸ βορειον μέρος, κρατεῖ τὴν ῥάχην καὶ διέρχεται τὸ Παλαιόκαστρον καὶ ἀκουμβίζει εἰς τὴν θάλασσαν· μεθ' οὗ στρέφεται δυσικά, κρατεῖ τὸν αἰγιαλὸν καὶ ἀκουμβίζει οθεν ἤρξατο, ἤτοι εἰς τὸν ποταμόν. Ἕτερον τμῆμα εἰς τὸν αὐτὸν τόπον τὸ καλούμενον καὶ λιβάδιον, ἀνάμεσα τοὺς δύο ποταμούς· ὅσον ἂν περιοριζεται ὑπὸ τῶν δύο ποταμῶν. Ἔχειν δέ με ἐξουσίαν, ἐὰν λαμβάνω τὰ σιτηρέσια, τοῦ καθέζεσθαι εἰς τὴν μονὴν καὶ μὴ ἀναχωρεῖν ἀλλαχοῦ. Ἐγράφη τὸ παρὸν ἐκδοτήριον χειρὶ Κυρίλλου μοναχοῦ μονῆς τοῦ Ἀκινδύνου. Ἔτος ϛχι, ἰνδικτιῶνος ι', ἐπὶ παρουσίᾳ τοῦ πανοσιωτάτου Πρώτου καὶ τῶν ὑπογραψάντων μοναχῶν.

+ Ὁ Πρῶτος τοῦ Ἁγίου ὄρους Κοσμᾶς μοναχὸς ὑπέγραψα.

+ Νικηφόρος μοναχὸς τοῦ Ζυγοῦ μονῆς ὑπέγραψα.

+ Λουκᾶς μοναχὸς ὁ τῆς Στροβιλέας μονῆς ὑπέγραψα.

+ Δαβὶδ μοναχὸς τοῦ Καλύκα.

---

[1]) Въ спискѣ еп. Порфирія, подъ этимъ словомъ, написано ‚«горшокъ».—Ред.

+ Γαβριὴλ πρεσβύτερος τοῦ ἁγίου Θεοδοσίου.

+ Ἰωαννίκιος μοναχὸς τῆς Χρησμητήσης ὑπέγραψα.

+ Κοσμᾶς μοναχὸς ὁ τοῦ ἁγίου Φιλίππου.

+ Ἀναστάσιος μοναχὸς τοῦ Στεφανίτζη. + Ἰωάσαφ μοναχὸς καὶ πρεσβύτερος τοῦ Σκορπίου.

+ Λουκᾶς μοναχός. Δαμιανὸς μοναχός. Διονύσιος μοναχός.

№ 56.

Ἡ τοῦ Καρακάλου σεβασμία μονὴ μία καὶ αὐτὴ τελοῦσα τῶν ὑφ' ἡμᾶς, ἄνδρας ἔχουσα πνευματικοὺς εὐλαβείᾳ πάσῃ καὶ σεμνῇ πολιτείᾳ ἐνασκουμένους πᾶσαν τε εὐλάβειαν πρὸς ἡμᾶς ἐνδεικνυμένους καὶ ὑποταγὴν ἔχοντας καὶ εὐπείθειαν τὴν προσήκουσαν, ἀξία ἐκρίθη καὶ τῆς παρ' ἡμῶν ἀγάπης καὶ ἀναδοχῆς καὶ ἀντιλήψεως. Ἐπεὶ οὖν οὕτως ἔχουσα, καιροῦ προϊόντος ἐδεήθησαν οἱ ἐν αὐτῇ ἀσκούμενοι μοναχοὶ ἐπιδοῦναι ἡμᾶς τούτοις τὸ τοῦ Ἐξυπολίτου κελλέδριον διὰ τὸ ἐξ αὐτοῦ καταῤῥέον εἰς τὴν τοῦ Καρακάλου μονὴν ὕδωρ, ἵνα ἔχοιεν αὐτὸ ἀνενοχλήτως καὶ ἀταράχως, ἅτε τῶν εἰς τὸ Ἐξυπολίτου εὑρισκομένων κωλυόντων αὐτὸ καὶ εἰς ἀρδείαν λαχάνων καὶ ἄλλων χρειῶν μὴ εὖ ὀχετευόντων καὶ ἐκ τούτου οὐκ ὀλίγων συμβαινουσῶν τῶν ὀχλήσεων, δικαίαν εἶναι τὴν τούτων αἴτησιν κρίναντες, κοινῇ ψήφῳ τῶν ὑφ' ἡμᾶς ἡγουμένων τὸ τοιοῦτον αὐτοῖς παῤέχομεν τοῦ Ἐξυπολίτου κελλέδριον, ὃ καὶ ὀφείλουσι κατέχειν ἀπό γε τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς χρόνους ἀναφαιρέτως καὶ ἀναποσπάστως μετὰ πάντων τῶν δικαίων αὐτοῦ καὶ νέμεσθαι ἀνενοχλήτως καὶ τὴν ἐξ αὐτοῦ παντοίαν ἀποφέρεσθαι πρόσοδον, ἀποδιδόντες καὶ τῇ Μέσῃ τὸ συνηθῶς πάλαι τῷ κελλίῳ διδόμενον. Ἀξιοῦμεν δὲ καὶ τοὺς καθ' ἡμᾶς μέλλοντας προστῆναι τοῦ Ἁγίου ὄρους τούτου ὁσιωτάτους Πρώτους στέρξαι τοῦτο καὶ διατηρῆσαι ἀμετάτρεπτον, καθὼς δὴ καὶ ἡμεῖς τὰς τῶν πρὸ ἡμῶν πράξεις ἐστέρξαμεν· οὐ γὰρ πρὸς χάριν οὐδὲ τῇ ἰδίᾳ βουλῇ καὶ γνώμῃ ἐξακολουθήσαντες, ἀλλ', ὡς ἀνωτέρω εἴρηται, τῇ τῶν πολλῶν ψήφῳ καὶ βουλῇ καὶ θελήσει τοῦτο πεποιήκαμεν. Ἐπεὶ οὐδὲ καινόν τι οὐδὲ ξένον οὐδὲ ἔξω τῆς τοῦ τόπου συνηθείας, ἀλλ' ὃ κατὰ διαφόρους καιροὺς εὕρομεν πολλοὺς τῶν πρὸ ἡμῶν ποιήσαντας, ἐκεῖνο δὴ καὶ ἡμεῖς πεποιήκαμεν. Μηδεὶς γοῦν τῶν ἁπάντων τῶν μεθ' ἡμᾶς βουληθείη ποτὲ ταύτην τὴν καλῶς παρ' ἡμῶν καὶ μετὰ πολλῆς τῆς δοκιμασίας γεγονυῖαν πρᾶξιν ἀνατρέψαι· ἐπεὶ καὶ ἀραὶ ἐξεφωνήθησαν καὶ δεσμοὶ ἐκκλησιαστικοὶ καὶ ἐπιτίμια κατὰ τοῦ

ποτὲ τῶν καιρῶν τοῦτο τολμήσαντος. Τούτου γὰρ χάριν ἐγεγόνει καὶ τὸ παρὸν γράμμα καὶ ἐπεδόθη τῇ τοῦ Καρακάλου διαληφθείσῃ σεβασμίᾳ μονῇ δι' ἀσφάλειαν ἐν μηνὶ φευρουαρίῳ, ἰνδικτιῶνος ζ', ἔτει ϛωλβ.

+ Ὁ Πρῶτος τῆς ἐν τῷ Ἁγίῳ ὄρει σεβασμίας μονῆς ἱερομόναχος Ἰσαάκ.

+ Ὁ καθηγούμενος τῆς σεβασμίας βασιλικῆς λαύρας Μακάριος ἱερομόναχος.

+ Ὁ ἡγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Βατοπεδίου Νίφων ἱερομόναχος.

+ Игуменъ Иверскій (по-грузински) *).

№ 57.

+ Ἐπὶ ἔτους ϡχξδ, ἐν μηνὶ ἀπριλίῳ ιε' ἐλθόντες οἱ Δοχιαρῖται ἐν τῇ μεγάλῃ συνάξει τοῦ Πρωτάτου μὲ βασιλικὸν ὁρισμὸν καὶ γράμματα τοῦ μποσταντζῆ-πασή, ἐξουσιάζοντος δὲ καὶ εἰς τὸ Ἅγιον ὄρος ὁ Χουσέην-ἀγάς. Καὶ ἦτον ἡ ὑπόθεσις αὐτῶν, ὁτι εἶχον βαρέα συδόσια καὶ τὸ μοναστήριον κατῆλθε ἐν μεγάλῃ πτωχείᾳ. καὶ ἐγύρευσαν νὰ κατευάσουν τὴν συδοσίαν αὐτῶν. Διὸ καὶ ἡμεῖς βλέποντες κατὰ τὴν ἀλήθειαν τὴν μεγάλην πτωχείαν καὶ στέρησιν τοῦ μοναστηρίου καὶ τὸν ὁρισμὸν τοῦ βασιλέως καὶ τοῦ μποσταντζῆ-πασή, ἅμα δὲ καὶ τοῦ κατὰ καιρὸν εὑρισκομένου ζαμπητζή, κοινῇ γνώμῃ καὶ βουλῇ πάντων τῶν μοναστηρίων καὶ τῆς μεγάλης συνάξεως, ἀποφασίσαμεν νὰ δίδουν εἰς τὰ χίλια γρόσια τριακοντα, ὁτι πρῶτον ἔδιδαν πεντήκοντα πέντε· καὶ εἴ τι χρέος εἶχαν καὶ προτήτερα, ὅλον ἀφήσαμεν αὐτῶν. Καὶ διὰ τὸ βέβαιον καὶ ἀμετάτρεπτον ἐδώσαμεν τὴν ὁμολογίαν ἡμῶν τῶν Δοχειαριτῶν μὲ ταῖς ὑπογραφαῖς τῶν εὑρισκομένων γερόντων καὶ προηγουμένων ἐν τῇ μεγάλῃ συνάξει καὶ μὲ τὴν βούλαν τοῦ Πρωτάτου διὰ τὸ ἀσύγχυστον καὶ βεβαιώτατον.

+ Проигуменъ лавры Іосифъ.

+ Проигуменъ Ватопеда.

+ Хиландарскій проигуменъ Викторъ**).

№ 58.

Διὰ τῆς παρούσης ὁμολογίας καῖ καθολικῆς ἀποδείξεως ὁμολογοῦμεν ἡμεῖς ἅπαντες ἡγούμενοι καὶ δίκαιοι πασῶν τῶν ἱερῶν μοναστηρίων καὶ γέροντες τῆς

*) Слѣдующая за этой подпись въ подлинникѣ вырѣзана.

**) Нѣтъ ни одного игумена.

ἡμετέρας μεγάλης συνάξεως τοῦ Ἁγίου ὄρους, ὅτι ἔστωντας καὶ πρὸ χρόνων νὰ εἶχον συμφώνησιν οἱ εὑρισκόμενοι τότε πατέρες τῆς μονῆς τῶν Ῥωσῶν μὲ τοὺς πατέρας τῆς μονῆς τοῦ Βατοπαιδίου, καὶ ἔδωσαν οἱ πατέρες τῆς μονῆς τοῦ Βατοπαιδίου τῶν πατέρων τῆς μονῆς τῶν Ῥωσῶν γρόσια τὸν ἀριθμὸν φ΄, καὶ οἱ Ῥούσοι ἔδωσαν τῶν Βατοπαιδινῶν τὸν τόπον, ὅνπερ ἔχουν εἰς τὴν μεγάλην Βίγλαν, διὰ νὰ βόσκουν τὰ πράγματά τους καὶ νὰ κατεβάζουν τὸν κάθε χρόνον μίαν ποσότητα ἀπὸ τὰ ἄνωθεν φ΄ γρόσια· καὶ τελειόνοντες οἱ χρόνοι κατὰ τὴν ἀναλογίαν τῶν ἀσπρῶν πάλιν νὰ μένει ὁ τόπος εἰς τὴν δεσποτείαν τῆς αὐτῆς μονῆς τῶν Ῥωσῶν. Τὸν ὁποῖον τόπον τὸν ἐδιακρατοῦσαν οἱ Βατοπαιδινοὶ ἕως τὴς σήμερον. Τανῦν δὲ χρεωστῶντας οἱ Βατοπαιδινοὶ τῶν πατέρων τῆς μονῆς τῶν Ἰβήρων μερικὰ ἄλλα δανικὰ ἐσυμφώνησαν νὰ τοὺς δώσουν τὸν αὐτὸν ἐπάνω εἰς τὸ χρέος τους. Καὶ ἐπειδὴ διὰ τὸ παρὸν εὑρίσκεται τὸ μοναστήριον τῶν Ῥωσῶν ἔρημον, καὶ ἀπέμειναν καὶ τὸ μοναστήριον καὶ οἱ τόποι του εἰς τὴν δεσποτείαν τῆς μεγάλης Μέσης, ἐλογαριάσθημεν ἡμεῖς μὲ τοὺς πατέρες τοὺς Βατοπαιδινοὺς καὶ ἐκατεύασαν ἀπὸ τὰ ἄνωθεν φ΄ γρόσια διὰ τοὺς ἀπερασμένους χρόνους κατὰ τὴν συμφωνίαν γρόσια ρ΄, καὶ ἀπέμεινεν ὁ τόπος πάλιν διὰ γρόσια τετρακόσια ἀπάνω εἰς τοὺς Βατοπαιδινούς. Τὸν ὁποῖον τόπον τὸν ἔδωσαν οἱ Βατοπαιδινοὶ τῶν πάλιν Ἰβηριτῶν διὰ τετρακόσια γρόσια ἀπάνω εἰς τὸ χρέος τους μὲ ὁμολογίαν· διὰ τὸ ὁποῖον ἐζήτησαν οἱ Ἰβηρῖται ὁμολογίαν καὶ παρ' ἡμῶν τῆς μεγάλης Μέσης διὰ τὸ βέβαιον. Ὅθεν πάλιν ἐσυμφωνήσαμεν ἡμεῖς μὲ τοὺς αὐτοὺς Ἰβηρίτας, ἵνα δώσουν εἰς τὴν μεγάλην Μέσην ἀπάνω εἰς τὰ τετρακόσια γρόσια τὰ Βατοπαιδινὰ καὶ ἕτερα γρόσια ρ΄ καὶ νὰ κατευάζουν τὸν κάθε χρόνον γρόσια πέντε καὶ νὰ φυλάγουν καὶ μερικὰ γήδια, ὁποῦ εὑρίσκονται τῆς μονῆς τῶν Ῥωσῶν ἀνέξοδα καὶ ἐὰν περισσεύουν ἀπὸ τὰ ἑκατὸν πεντήκοντα, ρν΄, νὰ ἔχῃ νὰ βάνῃ τζομπάνη ἡ μεγάλη Μέση μὲ τὸ ἔξοδόν τους, τὰ ὁποῖα ἑκατὸν γρόσια τὰ ἔδωσαν οἱ Ἰβηρῖται εἰς τὴν μεγάλην Μέσην καὶ τὰ ἐλάβαμεν, καὶ ἔγινα ὅλα διὰ τὸν αὐτὸν τόπον γρόσια φ΄. Ὅθεν διὰ τοῦ παρόντος δηλοποιοῦμεν ὅλοι κοινῇ γνώμῃ· τὸ πῶς ἐδώσαμεν τὸν αὐτὸν τόπον τῶν Ῥωσῶν, τὸν εἰς τὴν μεγάλην Βίγλαν, μὲ ὅλον του τὸ σύνορον ὁμοῦ, μὲ τὰ λειβάδεια του καὶ δένδρα ἥμερα, ὅσα περιέχουν τριγύρῳ τὰ μανδριόσπητα, νὰ εἶναι εἰς τὴν δεσποτείαν τῶν πατέρων τῆς μονῆς τῶν Ἰβήρων, νὰ τὸν διακρατοῦν κατὰ τὴν ἄνωθεν συμφωνίαν εἰς διωρίαν χρόνους ἑκατόν, νὰ βόσκουν τὰ πράγματά τους, εἴ τι λογῆς πράγματα θελήσουν νὰ βάλουν καὶ νὰ κατευάζουν, ὡς ἄνωθεν, τὰ πέντε γρόσια τὸν κάθε χρόνον, ἕως οὖν νὰ τελειωθοῦν τὰ ἄνωθεν φ΄ γρόσια, καὶ τελειόνωντας οἱ ἄνωθεν χρόνοι

καὶ ἡ ποσότητα τῶν φ΄ γροσίων, νὰ μένῃ πάλιν ὁ τόπος ἐλεύθερος εἰς τὴν δεσποτείαν τῆς μεγάλης Μέσης. Εἰ δὲ καὶ φανισθῇ τινάς ποτε καιρῶν ἐναντίος καὶ θελήσῃ νὰ εὐγάλῃ ἀπὸ τὸν τοπον τοὺς αὐτοὺς Ἰβηρίτας, πρὶν νὰ τελειώσουν οἱ ὁρισμένοι χρόνοι, νὰ μὴν ἔχουν, νὰ κατευάζουν ἀπὸ τὰ ἄσπρα τους οἱ Ἰβηρῖται τὰ κατὰ χρόνον πέντε γρόσια. μόνον νὰ πέρνουν τὰ ἄλλα τους τὰ πεντακόσια γρόσια σῶα καὶ ἀνελλιπὲς ἀπὸ τὴν μεγάλην Μέσην. Οὕτως κοινῇ γνώμῃ ἐσυμφωνήσαμεν καὶ ὑπογράψαμεν τὸ παρὸν καὶ τὸ ἐσφραγίσαμεν μὲ τὴν βούλαν τῆς μεγάλης Μέσης καὶ δεδώκαμεν αὐτο εἰς τὰς χεῖρας τῶν πατέρων τῶν Ἰβηριτῶν, τοῦ τε καθηγουμένου κυρίου Δαμασκηνοῦ καὶ σκευοφύλακος κυρίου Παισίου καὶ προηγουμένου καὶ τῶν λοιπῶν πατέρων εἰς ἀσφάλειαν ἐν μηνὶ ὀκτωβρίῳ, ἔτους αχϟγ.

Ἀκόμα ξεκαθαρίζομεν καὶ τοῦτο, ὁτι ὀψέ ποτε δώσῃ ὁ Θεὸς νὰ ἀνακαινισθῇ τὸ μοναστήριον τῶν Ῥωσῶν καὶ χρειασθῇ τὸν τόπον, νὰ ἔχει νὰ λογαριάζουν νὰ ξεπεύτουν ἀπὸ τὰ ἄσπρα κατὰ τὴν ἄνωθεν σύμβασιν καὶ τὰ λοιπὰ νὰ τὰ πληρώνουν τῶν Ἰβηριτῶν καὶ νὰ μένῃ πάλιν εἰς τὴν δεσποτείαν τοῦ μοναστηρίου, καὶ ταῦτα ὁταν εἶναι διὰ τὸ μοναστήριον. Εἰ δὲ δίδουν καὶ τὸ πάρουν νὰ τὸ δώσουν εἰς ἄλλο μοναστήριον, νὰ μὴν ἔχουν ἐξουσίαν, μόνον νὰ μένῃ εἰς τὸ διηνεκὲς ὡς ἄνωθεν τῶν Ἰβηριτῶν, ἕως νὰ τελειωθοῦν οἱ χρόνοι. Εἰ δὲ καὶ δυναστικῶς θελήσουν νὰ τὸ πάρουν νὰ τὸ δώσουν εἰς ἄλλο μοναστήριον, νὰ μὴν κατευάζουν ἀπὸ τὰ ἄσπρα μόνον νὰ τὰ πάρουν οἱ Ἰβηρῖτες σωστὰ γρώσια φ΄.

Προηγούμενος Νικηφόρος καὶ σκευοφύλαξ τῆς λαύρας στέργω καὶ μαρτυρῶ τὰ ἄνωθεν.

Іаковъ изоугравски дикеи.

Καθηγούμενος τῆς σεβασμίας μονῆς τοῦ Βατοπεδίου Μάξιμος.

Йгѵменъ хиландарскій Дамаскинъ еромонахъ.

Ὁ δικαῖος τοῦ Παντοκράτορος Ἀνατόλιος.

Ὁ προηγούμενος τῆς σεβασμίας αὐτῆς μονῆς Γεράσιμος.

Ὁ καθηγούμενος τοῦ Κουτλουμουσιου Ἀναστάσιος.

Δικαῖος τοῦ Δοχειαρίου Σάββας ἱερομόναχος.

Ὁ προηγούμενος τῆς σεβασμίας μονῆς τοῦ Ξυροποτάμου.

Γέρω Αὐξέντιος λαυριώτης Κάλλιστος Βατοπεδινος.

Παχώμιος Χηλανταρινός. Γεράσιμος Ἰβηρίτης.

Καθηγούμενος τοῦ Γρηγορίου στέργω τὰ ἄνωθεν.

№ 59.

Въ началѣ славянскаго четвероевангелія, хранящагося въ библіотекѣ Аѳоно-Павловскаго монастыря и писаннаго въ 1560 году во дни Іωанна Петра воеводы Угровлахійскаго, на первомъ листѣ приписано:

+ Да ⟨сѣ⟩ знаѣ, когда ѹзеχѹ Немци Бѹдимь. въ лето ҂зрг. въ второ лето бись гладъ великь ζело по вьселенен. м҃ ѡ҃ки ζа о҃ѹ. Въ то время беше егѹмень Илиа на свети Павль. Записахъ многогрѣшнїи попь Илиа ѿ Пловдивь. Въ то време ѹселисе ѹ свету гору воивода калугеръ. събра м҃ момьци. и биеше калугере и глобѣше. сѣчѣше и їωвеси калугере отъ Широпотань монастирь.

Передаю это по-русски:

+ Да будетъ вѣдомо! Когда Нѣмцы взяли Будимъ, въ лѣто 7103, во второе лѣто былъ весьма великій голодъ во вселенной. Сорокъ окъ (120 фунтовъ) стоили 400 аспръ. Въ то время въ монастырѣ св. Павла игуменомъ былъ Илія. Это написалъ я многогрѣшный попъ Илія изъ Пловдива. Въ то время на Св. горѣ поселился воевода монаховъ (ага), собралъ къ себѣ 40 молодцовъ, и билъ монаховъ, грабилъ и сѣкъ ихъ, а иноковъ Ксиропотамскаго монастыря вѣшалъ.

№ 60.

Athos der heilige Berg. — См. «Neueste Beschreibung derer Griechischen Christen in der Türckey, aus glaubwürdiger Erzehlung Herrn Athanasius Dorostamus, Archimandriten des Patriarchen zu Constantinopel,... aufgeseszt, erläutert und bestätiget mit neuen Zeugnissen der berühmtesten Nachrichten,... von Jacob Elssner. Berlin. 1737» (стр. 110).

«§ XVIII. An diesem Ort Kareis wohnet auch der türkische Aga im Nahmen des Bostangi-Bassa, unter dessen Schirm der Berg stehet, und jährlich 12000 Thäler an ihn zahlet, ausser was noch an den Sultan nach Thessalonich, fast noch einmahl so viel, gezahlet werden muss. Der Aga hat einen türkischen und andere griechische Knechte, und bekommt täglich zu seinem Unterhalt einen Hammel, Brod, Reiss, Butter und Eyer, Wein und Brantwein, und hat einen Mönchen zum Koch».

Это же самое оповѣстилъ объ агѣ и Рико ранѣе Гейнекція.

Les couvents du mont Athos sont indépendans et ont le Bostangi Bachi pour protecteur. Il nomme tous les ans, au commencement de mars, un aga pour aller en qualité de son député recueillir le tribut annuel, ou la rente de 12000 écus, dont dix bourses, ou 5000 écus, lui sont affectées pour son entretien. Outre cela, chaque monastére lui donne une brebis tous les mois, sans conter les présens d'agneaux, des chévreaux, et de choses de cette nature, qu'on lui fait à Pasques. Ce député a une maison à Kareis, où il est servi par trois ou quatre domestiques, mais jamais une femme n'y est admise.

(Ср. Histoire de l'éstat present de l'église grecque et de l'église armenienne Trad. par M. de Rosemond. A Middelbourg. 1692, стр. 254—255).

№ 61.

Затѣмъ въ концѣ рукописи: Κυριακοδρόμιον Μαξίμου ἱερομονάχου τοῦ Πελοποννησίου, хранящейся въ библіотекѣ Аѳоно-Русскаго монастыря, ‹приписано:›

1.—Εἰς τοὺς 1765 ἐγγκάλεσαν οἱ Θεσσαλονίκης ἀγάδες τὸ Ἅγιον ὄρος· ποι .....ασίδες καὶ ἔχουν λου‹μ›πάρδες διὰ πόλεμον καὶ ἔχουν ἀρσανάδες καὶ ἔχουν καράβια μέσα διὰ πόλεμον, καὶ εἶναι ... πέντε χιλιάδες ἄνδρες ἁρματωμένοι. Καὶ ἔστειλεν Ἀνὰν ἀγὰ μετρεῖν τὰ ὀνόματά τους, καὶ ἐμέτρησε τοὺς καλογέρους, καὶ εὑρέθηκαν τρεῖς χιλιάδες· καὶ ἀκόμι ἐμέτρησε σπίτια, λεπτοκαρα, ἀμπέλια, κήπους, καὶ ἐπεριπάτησε σχεδὸν ὅλους βράχους.

№ 62.

Ἔχει λαῦρα ἐν ἀρσανᾷ κελλία εὔμορφα καὶ παρακλήσιον θαυμαστόν, καὶ ἐπάνωθεν λουμπάρδαις μεγάλαις καὶ καλαῖς διὰ φύλαξιν τοῦ λιμένος καὶ διὰ νὰ δίδουσιν εἴδησιν εἰς τὸ μοναστήριον ἐπάνω, ὅταν ὑπάγῃ κανένας προσκυνητής, καὶ διὰ νὰ ὑποδέχωνται καὶ τοὺς ἀπὸ τῶν ταξιδίων ἐρχομένους προηγουμένους καὶ ἱερομονάχους μετὰ χαρᾶς καὶ ἀγαλλίασεως. —Ἔχει Βατοπέδιον πύργους ὑψηλοὺς πέντε καὶ ἄλλους μικροτέρους τέσσαρας καὶ λουμπάρδας μεγάλας καὶ θαυμαστάς, καὶ μάλιστα μίαν ὑπὲρ τὰς ἄλλας κομματιαστὴν τεχνικώτατα ἡρμοσμένην μὲ βίδαις.—Ἡ μονὴ τῶν Ἰβήρων ἔχει πύργους ὑψηλοὺς καὶ δυνατοὺς καὶ κελλία πολλὰ καὶ ἀρσανᾶν εἰς τὸ κατάγιαλον μέγαν καὶ θαυμαστὸν μὲ πύργον ὑψηλότατον, ἑξῆντα σκαλούνια ἔχει ἕως τὸ πάτωμα τὸ ἐπάνω καὶ παλεμίστραις γύρωθεν καὶ λουμπάρδας.

№ 63.

Ἐκ τῶν «Ἐκκλησιαστικῶν τε καὶ πολιτικῶν Ἀθανασίου Κομνηνοῦ Ὑψυλαντίου. Τομος θ'». Χειρόγραφον ἐν βιβλιοθήκῃ τῆς ἱερᾶς μονῆς τῆς ἐν τῷ ὄρει Σινᾷ.

1764 ἔτος. — Ἡ μονὴ τῶν Ἰβήρων, ἡ Λαύρα τοῦ ἁγίου Ἀθανασίου καὶ τὸ Βατοπέδιον εἶχαν διένεξίν τινα. Τότε ἀπῆλθε εἰς τὸ Ὄρος ἄρχων τις τῶν Τουρκῶν πρὸς ἀπαρίθμησιν τῶν καλογήρων· ἧς τινος γνωσθείσης εἰς τὴν αὐλὴν διώρισε τώρα πρῶτον χαράτζια τοῖς ἐκεῖσε μοναστηριακοῖς, τῶν ὁποίων ὁ ποχτζᾶς κωστίζει τὸν χρόνον δεκαπέντε πουγγεῖα, ἅπερ ὥρισεν ὁ ἄναξ νὰ εἶναι εἰσόδημα τοῦ δραγομάνου τῆς Πόρτας, καὶ τοῦ νὰ πληρώνῃ ἡ μεγάλη μέση ἐτησίως 625 γρόσια ἀνὰ ἕκαστον μῆνα. Τὴν σήμερον (1782 ἔτος) ὅλα τὰ ἐτήσια ἔξοδα τοῦ Ὄρους εἰσὶ τὰ ἑξῆς·

Γρόσια:

1500		διὰ τὸ κρέας τοῦ ὀτζακίου τοῦ Ποσταντζὶ-πασί·
666		διὰ τὸ κελπάζι·
533	ἄσπρα 40	μουκατᾶς ὅλου τοῦ Ὄρους·
7000	—	χαρζιλίκι τοῦ βασιλέως τζέπι-χουμαγιοῦν λεγόμενον·
1501	ἄσπρα 60	σπέντζας·
2500	—	τὸ ἀγαλίκι τοῦ ἀνθρώπου τοῦ Ποσταντζὶ-πασί·
1000	—	διὰ τροφήν του·
5000	—	τὸ δέκατον ἐλαιῶν, ἀμπελώνων, φουντουκίων, κερασίων κ. τ. λ.
10000	—	διάφορα [1]) χρεωστουμένων κεφαλαίων·
7500	—	ποχτζᾶς τῶν χαρατζίων.

37200 γρόσια καὶ ἄσπρα 100.

(Ср. Ἀθανασίου Κομνηνοῦ Ὑψηλάντου Ἐκκλησιαστικῶν καὶ πολιτικῶν τῶν εἰς δώδεκα βιβλίον ἡ' θ' καὶ ι' ἤτοι τὰ μετὰ τὴν ἅλωσιν (1453—1789). (Ἐκ χειρογράφου ἀνεκδότου τῆς ἱερᾶς μονῆς τοῦ Σινᾶ). Ἐκδιδόντος ἀρχιμ. Γερμανοῦ Ἀφθονίδου Σιναίτου. Ἐν Κωνσταντινουπόλει. 1870, стр. 400—401).

№ 64.

Выкупный актъ молдавскаго господаря Богдана и матери его Роксандры 7060=1570 года, мѣсяца августа, индикта 13-го, на пергаминномъ листѣ съ тремя небольшими печатями изъ воска на шнуркахъ. На одной изъ нихъ читается имя: **Богданъ** (въ архивѣ Дохіара).

[1]) Въ спискѣ еп. Порфирія, рукою послѣдняго, подъ этимъ словомъ написано: «проценты». Вм. 10000 въ спискѣ еп. Порфирія стоитъ, по ошибкѣ, 1000. — Ред.

Ἐν ἔτει ζος. Ἐν ἐκείνῳ τῷ καιρῷ, ὅτε ἐλθὼν ὁ Ἐλεμήνης ὁ βασιλικος, ἤτοι τοῦ σουλτὰν Σελήμη, μετὰ ὁρισμοῦ αὐτοῦ, ἵνα περιλάβῃ τὰ τῶν μοναχῶν καὶ μοναστηρίων πράγματα ἅπαντα κινητά τε καὶ ἀκίνητα, ὅσα εἰσὶν τὰ τῶν μοναχῶν· μετόχια, μύλους, περιβόλαια, ἀμπελῶνας, κήπους, χωράφια καὶ τὰ λοιπά, οὐ μόνον δὲ τοῦ Ἁγίου ὄρους, ἀλλὰ καὶ παντὸς τοῦ κόσμου, ὅσα εἰσὶν ἐν τῷ κράτει αὐτοῦ· ἐπώλησαν οὖν ταῦτα πάντα τοῖς ἐξωτέροις ὡς αὐθεντικὰ οἱ ἀνελεήμονες. Καὶ ἡμεῖς κλαίοντες καὶ λυπούμενοι τὴν πολλὴν ἡμῶν στέρησιν κ. τ. λ. прибѣгли къ благочестивѣйшему Богдану всей Молдовлахійской земли и къ матерѣ его Роксандрѣ, яко ктиторамъ Дохіарской обители. Καὶ αὐτοὶ ἐξηγόρασαν πάντα κινητά τε καὶ ἀκίνητα, καὶ ἐλευθέρωσαν ἡμᾶς καὶ τὸ μοναστήριον ἀπὸ τοῦ χρέους, и возвратили вещи, и во второй разъ сдѣлались ктиторами монастыря. За это благодѣяніе дохіарскіе старцы условились съ Роксандрою совершать поминовеніе воеводы Александра, отца Богданова, ктитора обители ихъ, который въ монашествѣ назывался Пахоміемъ.

Это условіе сдѣлано въ 7078 году, мѣсяца августа, индикта 13-го.

Ὁ Μπογδὰν ἔδωκε σοῦμα ἄσπρα χιλιάδας ρζέ. + Іаковъ духовникъ. + Симеонъ игуменъ іеромонахъ. + Θεοφανъ проигуменъ, и прочіе старцы дохіарскіе.

№ 65.

Τῷ κραταιῷ καὶ θεοστέπτῳ βασιλεῖ Μαξιμιλιανῷ Εὐγένιος ἐπίσκοπος καὶ καθηγούμενος τοῦ ἁγίου Σινᾶ σὺν πᾶσι τοῖς ἱερομονάχοις καὶ μοναχοῖς ἐν Κυρίῳ χαίρειν.

Τολμῶν ὁ δοῦλος καὶ εὐχέτης τῆς κραταιᾶς καὶ θεοστέπτου βασιλείας σου, δέσποτα μου ἅγιε, ἀναφέρω. Τὸ τριπόθητον γράμμα τῆς θεοτιμήτου βασιλείας σου, ἐν τῇ ἀρχῇ τοῦ ἰουνίου τοῦ ,αφξε' ἔτους κεχαραγμένον, λίαν ἀσπασίως ἐδεξάμεθα, θεοπρόβλητε βασιλεῦ· δι' οὗ τὴν μεγίστην εὐσπλαγχνίαν, ἣν ἔχεις πρὸς ἡμᾶς, ἀκριβῶς ἔγνωμεν, οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ἐλεημοσύνην, τὴν διὰ τοῦ αἰδεσίμου ἐν μοναχοῖς κυρίου Μερκουρίου καὶ ἡμετέρου γενικοῦ ἐπιτρόπου ἡμῖν ἀπὸ τῆς κρατίστης βασιλείας σου πεμπομένην, λίαν γηθοσύνως εἰλήφαμεν πρὸς ἀνακαινισμὸν μὲν καὶ ἀνάκτισιν τῆς ἡμετέρας μονῆς, μνημόσυνον δὲ αἰώνιον τῆς θεοδοξάστου βασιλείας σου καὶ τῶν γονέων αὐτῆς. Ἀμείψαι τοίνυν Κύριος ὁ Θεὸς τὸν μισθὸν τῇ θεομεγαλύντῳ βασιλείᾳ σου ἔν τε τῷ νῦν

